# ΙΣΤΟΡΙΑ

τῆς

# ΡΟΥΜΟΥΝΙΑΣ

ἢ

## ΕΚΘΕΣΙΣ

τῶν ἀξιολογωτέρων μνημονευομένων συμβάντων ἐν τοῖς ἀριστεροῖς κάτω παριστρίοις, ἀπὸ τῆς ἐσβολῆς τῶν αἰγυπτίων μέχρι τῆς καταστάσεως τῶν ῥουμουνικῶν ἀρχηγεμονιῶν τοῦ Ῥουμουνικοῦ ἀγροῦ καὶ τῆς Μολδόβης,

*Νῦν πρῶτον συντεθεῖσα καὶ τύποις ἐκδοθεῖσα ἐν Λειψίᾳ τῆς Σαξονίας, ἐν τῇ τυπογραφίᾳ τοῦ Ταουχνίτζ.*

---

Τόμος α΄. Μέρος α΄.

---

1816.

*Ὁ τὴν ἱστορίαν καὶ τὴν γεωγραφίαν τῆς ἑαυτοῦ πατρίδος ἀγνοῶν, τὸ νήπιόν ἐστι τῆς πατρίδος.*

**Συγγραφεῖς ἐξ ὧν τὸ ἱστορικὸν εἴληπται·**

*Ηρόδοτος.*

*Στράβων.*

*Αῤῥιανός.*

*Δίων Κάσσιος.*

*Σωκράτης.*

*Σωζόμενος.*

*Ζώσιμος.*

*Ευτρόπιος.*

*Βυζαντίς.*

*Γερμανικὴ μετάφρασις τῆς γενικῆς ἱστορίας.*

---

**Τόμος α'. Μέρος α'.**

ΤΩ ΜΕΓΑΛΕΙΟΤΑΤΩ

καὶ

ΦΙΛΑΝΘΡΩΠΟΤΑΤΩ

ΑΥΤΟΚΡΑΤΟΡΙ

πασῶν τῶν

ΡΟΥΣΣΙΩΝ

# ΑΛΕΞΑΝΔΡΩ

Τῷ πρώτῳ,

ΤΩ ΠΡΟΣΤΑΤΗ

Τῶν λόγων καὶ τῶν ἐπιστημῶν.

## Βασιλεῦ!

Η ἀγαθότης τῆς μεγάλης ὑμῶν καρδίας, ἡ φιλάνθρωπος ὑμῶν προστασία τῶν εὐεργετριῶν τῆς ἀνθρωπότητος, τῶν ἐπιστημῶν, ὧν ἄνευ, χάος καὶ ἀκοσμία ὁ κόσμος, ἡ ἐμὴ ἰδιαιτέρα βαθεῖα εὐγνωμοσύνη, παριστῶσι με νῦν πρὸς τῆς φιλανθρώπου ὑμῶν μεγαλειότητος προσφωνοῦντα καὶ ανατιθέντα αὐτῇ τὴν ἱστορίαν τῆς Ρουμουνίας, μόνον μέσον ἐς ἔνδειξιν τῆς με-

γάλης μου πρὸς αὐτὴν εὐγνωμοσύνης. Πρῶτος Ἀλέξανδρος ὁ φιλιππίδης, ὁ ζηλωτὴς τῶν ἐπιστημῶν, ἥκων ἐκ μέσης ἡμέρας, ἐφάνη μόνον ὡς ἀστραπὴ τῇ Ρουμουνίᾳ. Δεύτερος Ἀλέξανδρος ὁ ῥωμανίδης, ὁ φίλος τῆς ἀνθρωπότητος, ὁ φωνῇ λαοῦ χρηστὸς ἐπονομασθεὶς, ἦρξέ ποτε τοῦ ἐῴου αὐτῆς, ἀγαθῇ τύχῃ πολυχρονίως. Τρίτος Ἀλέξανδρος ὁ παυλίδης, ἐπιφανεὶς ἐξ ἄρ-

*κτου, λάμπει νῦν τῷ ἑῴῳ τῆς Ρουμουνίας. Αναμφιβόλως νῦν ὑπὸ τὸ εὐθὲς καὶ ἤπιον σκῆπτρον τῆς αὐτοῦ φιλεπιστήμονος καὶ φιλανθρώπου μεγαλειότητος, ἡ ἀπόλιστος μὲν, ἀρίστη δὲ καὶ πολυβότειρα Βασσαραβία, ὄψεται τὸν ζῆλον τοῦ πολισμοῦ τοῦ πρώτου, καὶ τὴν κηδεμονίαν τῆς εὐτυχίας τοῦ δευτέρου, καὶ παύσεται πλανωμένη ἐν τῷ πολυκύμονι πελάγει*

τοῦ βίου, ἀποβλέπουσα πρὸς τὸν σωτήριον ἀστέρα τῆς ἄρκτου. Δέξασθε εὐμενῶς, φιλανθρωπότατε βασιλεῦ, τὸ προσφερόμενον μικρὸν σημεῖον μεγάλης εὐγνωμοσύνης. Ζῆτε ἐῤῥωμένως ἐς μακροὺς χρόνους. Η πολυτίμητος ὑμῶν ζωὴ ἐστὶν ἡ εὐτυχία καὶ ἡ ἡσυχία πολλῶν ἐθνῶν, ἅπερ η θεία πρόνοια ἐμπιστεύεται τῇ ἀγαθοτάτῃ καρδίᾳ τοῦ Ἀλεξάνδρου παυλίδου, και

*ἡ παραμυθία τῆς ἀνθρωπότητος.*

*Τῆς ὑμετέρας μεγαλειότητος*

*ὁ ὑποκλινέστατος*
*καὶ εὐγνωμονέστατος*
*Δημήτριος*
*φιλιππίδης.*

# ΙΣΤΟΡΙΑ
## ΤΗΣ
# ΡΟΥΜΟΥΝΙΑΣ.

## *Κεφάλαιον ά.*

### ΣΚΥΘΑΙ

Τὸν τῇ ἱστορίᾳ ἐφικτὸν χρόνον ἀνατρέχοντες, τὴν μεταξὺ τȣ̃ Ουγγ, τȣ̃ Τισσȣ̃, τȣ̃ Ἴστρȣ, τȣ̃ Ευξείνȣ πόντȣ, τȣ̃ Τύρα καὶ μέρȣς ἔτι τῆς ἑῴας καρπαθίας ῥάχεως ἀπολαμβανομένην χώραν, ὁρῶμεν μέρος τῆς πάλαι Σκυθίας, ὥπερ ὀνόματι οἱ παλαιότεροι καὶ σωζόμενοι ἱστορικοὶ, τὰ ἐντὸς μὲν καὶ ἀριστερὰ καὶ κάτω τȣ̃ Ιστρȣ, πρός βοῤῥᾶν δὲ τȣ̃ εὐξείνȣ πόντȣ καὶ τῆς Μαιώτιδος λίμνης, ἐκάλȣν συχ-

νότερον. Δίκαιον δὲ τὴν χώραν ταύτην Ρεμενίαν καλεῖν, ἀπὸ τε Ρεμένος ὀνόματος, ὅπερ οἱ παλαιότεροι, καὶ πολλὰ πολυαριθμότεροι οἰκήτορες ἑαυτοῖς διδόασι, παρονομάζοντας, καὶ σεβομένες τετο μόνον τὸ ὄνομα, πᾶν ἕτερον ἀποῤῥίπτειν, ὡς ἀλλότριον καὶ ὑβριστικὸν καὶ φιλαυτικὸν καὶ ματαιόσοφον.

Α δὴ ἴσμεν παλαιότερα περὶ τῆς χώρας ταύτης, ἔχομεν ταῦτα ἀναντιῤῥήτως, ὡς ἀπὸ πηγῆς τινὸς ἀρχαίας τῶ ἀνθρωπίνων γνώσεων, ἀπὸ τῶν σοφῶν ἱερέων τῆς Αἰγύπτε, τῶν πατέρων τῶν Ελλήνων κατὰ τὴν σοφίαν, διὰ τε Αλικαρνασσέως Ηροδότε τε πατρὸς τῆς σωζομένης ἱστορίας. Ουτος γὰρ φιλομαθείας χάριν ἐπορεύθη εἰς Αιγυπτον, καί φησιν. ἤκεσα καὶ ἄλλα ἐν Μέμφι, ἐλθὼν ἐς λόγες τοῖσι ἱερεῦσι τε Ηφαίστε, καὶ δὴ καὶ ἐς Θήβας καὶ Ηλιούπολιν αὐτέων ἕνεκεν ἐτραπόμην, ἐθέλων εἰδέναι εἰ συμβήσονται τοῖσι λόγοισι τοῖσι ἐν Μέμφι· οἱ γὰρ

Ἡλιϐπολῖται λέγονται Αἰγυπτίων εἶναι οἱ λογιμώτατοι.

## Σεζωστρις αἰγύπτιος.

Σέζωστριν Βασιλέα Αἰγύπτϐ τριακοσιοστὸν τριακοστὸν δεύτερον γεγενημένον μετὰ Μῆνα τὸν πρῶτον, ὡς κατέλεγον ἐκ βύβλϐ οἱ ἱερῆες, πρῶτον μὲν πλοίοισι μακροῖσι ὁρμηθέντα ἐκ τϐ̃ ἀραβίϐ κόλπϐ, τϐ̀ς περὶ τὴν ἐρυθρῆν θάλασσαν κατοικημένϐς καταστρέφεσθαι, ἐς ὃ πλέοντά μιν πρόσω, ἀπικέσθαι ἐς θάλασσαν, μηκέτι πλωτὴν ὑπὸ βραχέων. Ενθεῦτεν δὲ, ὡς ὀπίσω ἀφίκετο ἐς Αιγυπτον, κατὰ τῶν ἱερέων τὴν φάτιν, στρατιὴν πολλὴν λαβὼν, ἤλαυνε διὰ τῆς ἠπείρϐ, πᾶν ἔθνος τὸ ἐμποδὼν καταστρεφόμενος. Ταῦτα δὲ ποιέων, διεξήϊε τὴν ἤπειρον, ἐς ὃ ἐκ τῆς Ασίας ἐς τὴν Ευρώπην διαβὰς, τϐ́ς τε σκύθας, καὶ τϐ̀ς θρήϊκας κατεστρέψατο. Ενθεῦτεν δὲ ἐπιστρέψας, ὀπίσω ἤϊε, καὶ ἐπεί τε ἐγένετο ἐπὶ Φάσι ποταμῷ, ϐ̓κ ἔχω τὸ ἐνθεῦτεν ἀτρεκέως ειδέναι, εἴτε αὐ-

*τὸς ὁ βασιλεὺς Σέζωστρις, ἀποδασάμενος τῆς ἑωϋτȣ̃ στρατιῆς μόριον ὅσον δὴ, αὐτȣ̃ κατέλιπε τῆς χώρας οἰκήτορας, εἴτε τῶν τινες στρατιωτέων τῇ πλάνῃ αὐτȣ̃ ἀχθεσθέντες, περὶ Φᾶσιν ποταμὸν κατέμειναν. Φαίνονται γὰρ ἐόντες οἱ κόλχοι αἰγύπτιοι. Ἤλαυνε διὰ τῆς ἠπείρȣ λέγων Ἡρόδοτος, τὰ μέχρις Ινδίας καὶ τὰ ἐν ἐντὸς αὐτῆς ἐννοεῖ.*

*Διόδωρος δὲ ὁ ἐξ Αργυρίȣ τῆς Σικελίας, τὰ Σεζώστρεως ἢ κατ᾽ αὐτὸν Σεζοώσεως, ἀναγράφων, φησί· καὶ γὰρ τὸν Γάγγην ποταμὸν διέβη, καὶ τὴν Ινδικὴν ἐπῆλθε πᾶσαν ἕως Ὠκεανȣ̃, καὶ τὰ τῶν σκυθῶν ἔθνη μέχρι Ταναΐδος ποταμȣ̃ τȣ̃ διορίζοντος τὴν Ευρώπην ἀπὸ τῆς Ασίας, ὁμοίως δὲ καὶ τὴν λοιπὴν Ασίαν ἅπασαν ὑπήκοον ἐποιήσατο, καὶ τῶν κυκλάδων νήσων τὰς πλείστας. Διαβὰς δὲ εἰς τὴν Ευρώπην καὶ διεξιὼν ἅπασαν τὴν Θράκην, ἐκινδύνευσεν ἀποβαλεῖν τὴν δύναμιν, διὰ σπάνιν τροφῆς καὶ τόπων δυσχωρίας.*

*Ταῦτα δὲ λέγων Διόδωρος ἐννοεῖν δί-*

δωσιν, ὅτι πρῶτον ὁ Σεζόωσις μέχρι Ταναϊδος, ἐξ Ἀσίας πάντως, ἐπερχόμενος, ἀφίκετο· εἶτα πρὸς δυσμὰς τραπόμενος, διέβη εἰς τὴν Ευρώπην, καὶ ὅτως ὄχ ὁμολογόμενα λέγει Ηροδότῳ. Ἀλλὰ μήποτε Διόδωρος ταῦτα παρ' ἑτέρων, ἐκδιδόναι εἰς Κασπίαν, ἀγεωγράφως, τὸν Τάναϊν οἰομένων, ἤ τινα τῶν εἰς αὐτὴν ἐκβαλλόντων ποταμῶν ἐκλαμβανόντων, παραλαβὼν, ἀπεριεργότερον εἴρηκε; Ἀλλὰ περὶ τότων ὄντος τὸ λόγο, ὁ ἁλικαρνασσεὺς τὸ ἀργυριέως πιθανότερος. Ηρόδοτος δὲ πάλιν λέγων, ἐς τότες (τὸς Θρᾶκας) ὁ προσώτατα ἀπικέσθαι τὸν αἰγύπτιον στρατὸν· ἐν μὲν γὰρ τῇ τότων χώρῃ φαίνονται σταθεῖσαι αἱ στῆλαι, τῷ δὲ προσώτατα, ὀκέτι, τῷ ὁ προσώτατα τὰ πρὸς δύσιν τῆς Θράκης κείμενα μέρη ἐννοεῖ, Μακεδονίαν τε, λέγω, καὶ τὴν λοιπὴν Ελλάδα, ὅπο καὶ τοιαῦται στῆλαι ὀκ ἐφαίνοντο. Στήλας δὲ ἀνίστη Σέζωστρις ἐν τοῖς κατακτηθεῖσι τόποις, δεικνύσας διὰ γραμμάτων τῶν λεγομένων ἱερῶν (δύο γὰρ εἴδη γραμμά-

των παρὰ τοῖς αἰγυπτίοις) τό, τε ἑωϋτȣ ὄνομα καὶ τῆς πάτρης, καὶ ὡς δυνάμει τῇ ἑωϋτȣ κατεστρέψατο. Οτέων δὲ ἀμαχητὶ καὶ εὐπετέως παρέλαβε τὰς πόλις, τȣ́τοισι ἐνέγραφε ἐν τῇσι στήλῃσι κατὰ ταυτὰ καὶ τοῖσι ἀνδρηΐοισι τῶν ἐθνέων γενομένοισι· καὶ δὴ καὶ αἰδοῖα γυναικὸς προσανέγραφε, δῆλα βουλόμενος ποιέειν, ὡς ἦσαν ἀνάλκιδες. Τὰς δὲ στήλας, τὰς ἵστα κατὰ χώρας ὁ Αἰγύπτȣ βασιλεὺς Σέζωστρις, αἱ μὲν πλεῦνες ȣ̓κέτι φαίνονται περιεȣ̃σαι, ἐν δὲ τῇ Παλαιστήνῃ Συρίῃ αὐτὸς ὥρεον ἐȣ́σας, καὶ τὰ γράμματα τὰ εἰρημένα ἐνεόντα, καὶ γυναικὸς αἰδοῖα. Εἰσὶ δὲ καὶ περὶ Ιωνίην δύο τύποι ἐν πέτρῃσι ἐγκεκολαμμένοι τȣ́τȣ τȣ̃ ἀνδρὸς, τῇτε ἐκ τῆς Ερεσίης ἐς Φώκαιαν ἔρχονται, καὶ τῇ ἐκ Σαρδίων ἐς Σμύρνην. Εκατέρωθι δὲ ἀνὴρ ἐγγέγλυπται, μέγαθος πέμπτης σπιθαμῆς· τῇ μὲν δεξιῇ χειρὶ ἔχων αἰχμὴν, τῇ δὲ ἀρστερῇ, τόξον, καὶ τὴν ἄλλην σκευὴν ὡσαύτως· καὶ γὰρ αἰγυπτίων καὶ αἰθιοπίδα ἔχει· ἐκ δὲ τȣ̃ ὤμȣ ἐς τὸν

ἕτερον ὦμον διὰ τῶν στηθέων, γράμματα ἱερὰ αἰγύπτια διήκει ἐγκεκολαμμένα, λέγοντα τάδε. Εγὼ τήν δε τὴν χώρην ὤμοισι τοῖσι ἐμοῖσι ἐκτησάμην· Ος τις δὲ καί ὁκόθεν ἐστὶ, ἐνθαῦτα μὲν ȣ̓ δηλοῖ, ἑτέρωθι δὲ δεδήλωκε. Τὰ δὲ καὶ μετεξέτεροι τῶν θεησαμένων, Μέμνονος εἰκόνα εἰκάζȣσί μιν εἶναι, πολὺ τῆς ἀληθείας ἀπολελειμμένοι. Διόδωρος δὲ καὶ τὸ ἐπίγραμμα ὅλον ἢ μέρος ἀναφέρων, τήν δε τὴν χώραν ὅπλοις κατεστρέψατο τοῖς ἑαυτοῦ βασιλεὺς βασιλέων καὶ δεσπότης δεσποτῶν Σεζόωσις, προστίθησιν ὅτι καὶ ἐν ταῖς στήλαις τῶν μαχίμων ἀνδρῶν ἀνδρὸς αἰδοῖον κατεσκευάζετο.

Σέζωστρις ἐβασίλευεν αἰγυπτίων πρὸ τȣ̃ τρωϊκȣ̃ πολέμȣ, μετ' αὐτὸν δὲ Φερὼς ὁ παῖς αὐτȣ̃, καὶ μετὰ τȣ̃τον ἀνὴρ μεμφίτης, τῷ κατὰ τὴν ἑλλήνων γλῶσσαν ȣ̓νομα Πρωτέα εἶναι. Επὶ τȣ́τȣ Αλέξανδρον ἁρπάσαντα Ελένην ἐκ Σπάρτης, ὡς οἱ ἱερῆες ἔλεγον Ηροδότῳ, ἀποπλέειν ἐς τὴν ἑωϋτȣ̃· καί μιν, ὧς ἐγένετο ἐν τῷ αἰγαίῳ πελάγεϊ, ἐξῶσται ἄνεμοι ἐκβάλλȣσι ἐς τὸ

αἰγύπτιον πέλαγος, καὶ, Πρωτέως κελεύσαντος, αὐτός τε καὶ Ελένη καὶ τὰ χρήματα πᾶντα ἀνήχθησαν ἐς Μέμφιν. Ησίοδον καί Ομηρον, φησὶν Ηρόδοτος, δοκέω μεν τετρακοσίοισι ἔτεσι πρεσβυτέρȣς γενέσθαι, Ηρόδοτος δὲ ἐν τῇ πέμπτῃ ἑκατονταετηρίδι πρὸ τȣ ἡμετέρȣ ἤκμασεν ἔτȣς. Οι σκύθαι ἄρα καὶ οἱ ὁμόγλωσσοι τȣτοις θρᾶκες, περὶ τὴν δεκάτην ἑκατονταετηρίδα πρὸ Χριστȣ, κατῴκȣν τὰς καταστραφείσας καὶ κατακτηθείσας χώρας ὑπὸ τȣ αἰγυπτίȣ Σεζώστρεως. (1)

Σέζωστρις δὲ φαίνεται, ἐπειδὴ ἐπιστρέφων ἐπὶ Φάσι ἐγένετο, περιελθὼν τὸν εὔξεινον πόντον· ȣ γάρ ἂν ἄλλως ἐπιστρέφων, ἐκεῖ ἐγένετο. Ειτα καὶ ὁ ἱερεὺς τȣ Ηφώιστȣ τὸν ἐν τῷ Ηφαιστείῳ τῆς Μέμφιος ἀνδριάντα Δαρείȣ μὴ περιϊδὼν ἔμπροσθεν τȣ τȣ Σεζώστριος, φάσκων ȣ οἱ πεποιεῖσθαι ἔργα, οἱά περ Σεζώστριϊ τὰ

(1) Τῷ καταστρέφεσθαι, κτῆσιν βίᾳ ὅπλων ἐννοεῖ Ηρόδοτος καὶ οὐ λεηλασίαν ἁπλῶς καὶ ἁρπαγὴν ἐξ ἐπιδρομῆς

*αἰγυπτίῳ· Σέζωστριν μὲν γὰρ ἄλλα τε καταστρέψασθαι ἔθνεα ὀυκ ἐλάσσω ἐκείνου, καὶ δὴ καὶ σκύθας· Δαρεῖον δὲ ὀυ δυνασθῆναι σκύθας ἑλεῖν· ὀυκων δίκαιον στάναι ἔμπροσθεν τῶν ἀναθημάτων ἐκείνου· πάντως τοιοῦτόν τι ἐνόει, καταστροφὴν τῶν ἐντὸς Ἴστρου σκυθῶν, καὶ παρὰ πάντα τὸν βόρειον πόντον· ὀυ γὰρ ἂν ἄλλως μέγα τε ἦν καὶ ἀξιοθαύμαστον τὸ ἔργον· τοὺς γὰρ πέραν τοῦ Ἴστρου κατοίκους, γέτας ὀνομάζει Ἡρόδοτος, ἀλλ' ὀυ σκύθας. Ἔπειτα δὲ καὶ Δαρεῖος τὰ πέραν τοῦ Ἴστρου κατεστρέψατο, καὶ εἰ καὶ ὁ Σέζωστρις τούτους μόνους κατέστραπτο, περιεῖδεν ἂν ὁ Ἱερεὺς τοῦ Ἡφαίστου τὸ τοῦ Δαρείου ἀνάθημα ἔμπροσθεν· Δαρεῖος τε αὐτὸς ὀυκ ἂν ἠνέσχετο ἐν δευτέρῳ λόγῳ παρὰ λόγον τιθέμενος. Ουκοῦν, καταστραφέντων τῶν ἐν ἀριστερᾷ τοῦ Ἴστρου καὶ παρὰ πάντα τὸν βόρειον Πόντον σκυθῶν, εὐχερὴς καὶ εὐδιάπρακτος ἔμενεν ἡ διὰ τῶν ἑώων τοῦ Πόντου ἐπιστροφὴ εἰς τὴν Αἴγυπτον τῷ Σεζώστρει, καὶ προτιμητέα ἀνδρὶ κοσμόκαταγωνιστῇ*

καὶ φιλοδόξῳ διὰ τὸ παράδοξόν τε καὶ δύσβατον.

Φαίνεται τοίνυν Σέζωστρις περάσας τὸν Ἴστρον, καὶ τὰ μνημονευόμενα παλαιότερα στρατεύματα μετὰ τὰ σκυθικὰ καὶ τὰ κιμμέρια, τὰ ἐς τὴν ἡμετέραν Ρȣμȣνίαν εἰσβαλόντα, τὰ αἰγυπτιακὰ ὄντα. Ουκȣ̃ν καὶ τὸν Τύραν, καὶ τὸν Βορυσθένη καὶ τὸν Τάναϊν ἢ τὸν κιμμέριον βόσπορον, διέβη ὁ Σέζωστρις, κἀκεῖθεν διὰ τῆς Κολχίδος ἐπέστρεψεν εἰς τὴν Αἴγυπτον. Ὁρῶμεν δὲ ὕστερον καὶ τοῖς κιμμερίοις καὶ ἄλλοις, καὶ δὴ καὶ τοῖς στρατηγοῖς τȣ̃ Μιθριδάτȣ, ȣ̉ ξένην ȣ̉δ' ἀήθη τὴν ὁδὸν οὖσαν, τὴν δυσείσβολον μὲν διὰ τὰς δυσχωρίας, ȣ̉ μὴν δὲ πάντη ἀπρόσιτον καὶ ἀδιάβατον. Νεοπτόλεμον τὸν Μιθριδάτȣ στρατηγὸν, φησὶν ὁ Στράβων, ἐν τῷ κιμμερίῳ βοσπόρῳ, θέρȣς μὲν, ναυμαχίᾳ περιγενέσθεαι τῶν βαρβάρων, χειμῶνος δὲ, ἱππομαχίᾳ· πάντως τὸ ἱππικὸν τȣ̃το, ὥσπερ καὶ ἄλλα, διὰ τῶν ἑῴων παραλίων τȣ̃ Πόντȣ, εἰς τὴν Σκυθίαν εἰ-

σέβαλλον. Ουμὴν ὀδὲ τὸν Μογγῦλον Τιμὺρ Μπέην ἡγητέον τῦ μεγάλυ Σεζώστρεως ὑπέρτερον, ὀδὲ δοξομανεῖν μεῖζον.

Ἀλλὰ γὰρ τὴν τῦ Σεζώστρεως ἐπὶ σκύθας ἐκστρατείαν οἱ τὰ ἑτέρων ῥᾷον ἐπικρίνοντες, οἱ νεώτεροι, λέγω, Πολύβιοι καὶ Στράβωνες, ἀμφισβητήσιμον καὶ ἀμφίβολον οἴονται, ὡς ἄρα τῶν ἱερέων μεγαλύνειν βυλομένωὐ τὰ Σεζώστρεως καὶ φιλεθνείᾳ πλάττειν τοιαῦτα ἀρεσκομένων. Ἔτι δὲ καὶ τὰ περὶ Ἀτλαντίδος ἐν ὁμοίᾳ τίθενται μοίρᾳ, καὶ δέον θαυμάζειν τῶν λεγομένων ἕνεκα, αὐτοὶ, ὡς τάχα φίλοι τῆς ἀληθείας, ὡς μὴ παραδεχόμενοι τάχα, δίκην εὐπτοήτυ καὶ φιλοθαύμυ ὄχλυ, τὰ θαυμάσια, λανθάνυσιν ἑαυτὺς, ἀποῤῥίπτοντες παραλόγως καὶ κακοήθως, νὴ τὴν ἀλήθειαν, αὐτὴν τὴν ἰδίαν ἀλήθειαν. Ουδὲν ξένον, παλαιὸν ἤδη τὸ πάθος ἀνθρώπῳ, καὶ Στράβωνα ὁρῶμεν, Ἡρόδοτον καὶ Πολύκλειτον ἀπ᾿ ἑωϋτῆς εἶναι θάλατταν, τὴν Κασπίαν λέγοντας, μὴ παύοντα προπετέστερον τῦ δέοντος κρίνοντα καὶ καθα-

πτύμενον. Ημῖν δὲ τὰς φυσικὰς καὶ ἠθικὰς ἐν κόσμῳ μεταβολὰς μετὰ θαύματος διασκεπτομένοις, καὶ ἑκατέρων ἴχνη ἀναμφισβήτητα, ἐκείνων μὲν, ἐν τῇ τῆς γῆς ἐπιφανείᾳ ὁρῶσι, τέτων δὲ, ἐν τοῖς μετὰ ταῦτα γενομένοις, καὶ διὰ πλῆθος μαρτύρων ἀναντιῤῥήτοις, ἐδέν ἐστιν ἀπαναίνεσθαι. Τί δ' ἐκ ἂν γένοιτο, ἐν τῷ μακρῷ χρόνῳ, ὥς πέρ φησι καὶ ὁ γηραιὸς καὶ σεβάσμιος Ηρόδοτος. Σέζωστριν δὲ τὴν περίοδον τε Πόντε ποιῆσαι, ὥς περ καὶ ἄλλες ὕστερον τέτε τε καὶ τῆς μεσογείε αὐτῆς, μὰ τὴν ἱερὰν ἀλήθειαν, ἐκ ἀπίθανον. Οὐ γὰρ χθὲς, ἐδὲ προχθὲς οἱ ἄνθρωποι, καὶ μάλιστα, ὅσοι καταστροφεῖς ἐθνῶν καὶ κατακτήτορες, δοξομανεῖν ἤρξαντο. Παλαιὸν πάντη τὸ πάθος ἀνθρώποις καὶ τέτοις σύγχρονον. Μήποτε δὲ καὶ Σέζωστρις λόγον ἔχει πρὸς τὴν Αραβίαν, ὃν καὶ ὁ πολλῷ ὕστερον κοσμοδυνάστης Τιμὲρ μπέης πρὸς τὴν μεγάλην Σκυθίαν; Η γὰρ Ἀραβία καὶ ἡ μεγάλη Σκυθία διὰ τὸ ὁμοιοδίαιτον τῶν κατοί-

*κων, ὡς περ μεγάλα ἡφαιστεῖα ἐν τῷ κόσμῳ θεωρητέαι, ἀφ' ὧν τὰς μεγάλας καὶ κοσμοφθόρȣς ἐκρήξεις συμβαίνει γίνεσθαι.*

*Πότε δὲ οἱ σκύθαι ȣ̓ς Σέζωστρις κατεστρέψατο, ὡς οἱ ἱερεῖς τῆς Αἰγύπτȣ ἔλεγον, εἰς τὰ Βόρεια τȣ̃ Πόντȣ ἀφίκοντο; Πάντως ȣ̓ πολλὰς δεκάδας ἐνιαυτῶν πρὸ τȣ̃ Αγαμέμνονος. Αλλὰ πρῶτοι πάντων ȣ̃τοι; Πάντως ȣ̓δ' αὐτοὶ πρῶτοι ὡς ȣ̓δ' ἐκεῖνοι, περὶ ὧν ἱστορεῖ ὁ Ηρόδοτος, ὕστατοι. Ισως καὶ οἱ προπάτορες τῶν ἑλλήνων σκυθικῶς καὶ αὐτοὶ καὶ ἕτερα ἔθνη, εἰσέβαλον εἰς τὰ βόρεια τȣ̃ Πόντȣ· ὥσπερ καὶ οἱ πολαιότατοι κιμμέριοι, οἵτινες καὶ πρὸ τȣ̃ τρωϊκȣ̃ πολέμȣ ἐν πολλοῖς τῆς Ευρώπης μέρεσι διεσπάρατο, καὶ διητῶντο, ὥσπερ καὶ νῦν οἱ ἐπέκεινα τȣ̃ βορειοτάτȣ ποταμȣ̃ Αναδὶρ οἰκȣ̃ντες τζȣ̃κτζοι, καὶ οἱ πρὸς ἕω αὐτῶν νησιῶται, μᾶλλον δὲ φωλεύοντες, ὥςπερ θῆρες, καταλύματα ἔχοντες σχεδὸν ὑπόγεια καὶ σκοτεινά· ἄνωθεν γὰρ ἀπὸ τῆς στέγης, διὰ τρύπης τινὸς μᾶλλον ἢ διὰ θύρας, ἡ εἰσέλευσις, καὶ συνοικία ὅλη*

*τὸ πεντηκοντοργυιαῖον οἰκητήριον, πλήρες φθειρῶν καὶ ἑτέρων ζωϋφίων, καὶ δυσωδίας, καὶ ᾅδης αὐτόχρημα. Ὡς περ λέγω, καὶ οἱ παλαιότατοι κιμμέριοι, ὓς καὶ κερβερίους τινὲς ὠνόμαζον, φησὶν ὁ Ευστάθιος, καὶ τρῆρας καὶ χειμερίȣς. Ἀλλ' ἡ ἱστορία φαίνεται χθὲς ἀρξαμένη. Ὁρῶμεν μόνον ὅτι ἐν Ρȣμȣνίᾳ ἦσαν καὶ περὶ τὴν δεκάτην ἑκατονταετηρίδα πρὸ τȣ̃ ἔτȣς ἡμῶν ἀλλοδαποὶ, καὶ τὰ ἔθνη ἐνδομυχȣ̃ν τι ἐνορμȣ̃ν πρὸς ἔκρηξιν καὶ ἐκτοπισμὸν ἔχȣσι; καὶ ματαβολαὶ διὰ τȣ̃το ἐν τῷ ἠθικῷ κόσμῳ, ὥσπερ καὶ ἐν τῷ φυσικῷ, παρεπόμενα ἀναγκαῖα τυγχάνȣσι.*

*Τίνος ἕνεκα ἦλθον οἱ σκύθαι εἰς ταῦτα τὰ μέρη; Οτȣ ἕνεκα καὶ οἱ ȣ̃ννοι ὕστερον καὶ οἱ Τȣ̃ρκοι καὶ οἱ Μογγȣ̃λοι. Σκύθαι δὲ ἀπό τινος βασιλέως ȣ̃τω παρωνομάσθησάν· ἀλλὰ, διὰ τὴν παλαιότητα, πίπτει ἐκτὸς τȣ̃ τῆς ἱστορίας χρόνȣ τὸ ὄνομα, καὶ μῦθος ἄντικρυς φαίνεται· ἀλλὰ τὰ μετέπειτα γενόμενα, τὴν ἀλήθειαν τεκμαίρεσθαι δίδωσι. Τί δὲ καὶ Ζεὺς αυτὸς, καὶ*

Ηρακλῆς αὐτὸς σημαίνειν βȣλονται, ὡς εἰς θέατρον εἰς τὰ σκυθικὰ εἰσαγόμενοι; Τί δ' ἂν τις τεκμαίροιτο καὶ ἐκ τȣ̃ φοίνικος Ηρακλέȣς μετὰ μήδων καὶ περσῶν ἐκ τῆς Ισπανίας εἰς τὴν Μαυρȣσίαν καὶ τὴν Νȣμιδίαν περαιωθέντος, τῶν βανδήλων πολὺ πρότερον; Τί δε καὶ ἐκ τῶν ἐν Αφρικῇ γετȣ́λων συνάγωμεν; Αλλὰ ταῦτα μὲν ἐάσθω. Διόδωρος δὲ παρακατιὼν καὶ ἐντὸς τȣ̃ τῆς ἱστορίας χρόνȣ γενόμενος, φησὶ, καὶ βασιλεῖς εἶχον οἱ σκύθαι ἀξιολόγȣς, ἀφ' ὧν τȣ̀ς μὲν σάκας προσαγορευθῆναι· τȣ̀ς δὲ, μασσαγέτας· τȣ̀ς δε, ἀριμασπȣ̀ς, καὶ τȣ́τοις ὁμοίως ἄλλȣς πλείονας. Πλήθει δὲ καὶ ἡ τῶν ἑλλήνων, Ιστορία τοιȣ́των· ἀλλ' ἐπηνέχθωσαν ἡμῖν νεώτερα παραδείγματα. Ουτȣργȣ̀ρ καὶ Κȣτȣργȣ̀ρ ἀδελφοὶ ἦσαν, λέγει ὁ ἱστορικὸς Προκόπιος, καὶ οἱ Ουτȣργȣ̃ροι καὶ Κȣτȣργȣ̃ροι, οἱ ἀπὸ τȣ́των ὀνομασθέντες, ἐπιβόητά εἰσιν ἔθνη ἐν τῇ ἡμετέρᾳ Ευρώπῃ, ὡς μήποτ' ὤφειλον. Τȣρκ καὶ Ταταρ ὁ τȣ́τȣ ἀπόγονος κατὰ τὸν Αμπȣλγασῆν ἱστορικὸν

τάταρον· ἔτι δέ καὶ ὁ τȢ Τατὰρ ἀδελφὸς Μογγȣ̀λ, κατὰ τὴν ταταρικὴν παράδοσιν, ἡγεμόνες ἦσαν, καὶ οἱ τȣ̃ρκοι καὶ τάταροι καὶ μογγȣ̃λοι ἀπ᾽ αὐτῶν τὸ ὄνομα ἔλαβον, ὥσπερ ἔπειτα οἱ Νογαΐδαι ἀπὸ τȢ Νογᾶ, καὶ οἱ Τζιαγαταΐδαι, ὥσπερ ὠνομάζοντο τὰ πολυάριθμα τȢ Τιμȣ̀ρ μπέη στρατεύματα ὑπὸ τῶν Ἀσιανῶν, ἀπὸ τȢ Τζιαγατάη υἱȢ τȢ μεγάλȣ Τζιγγησχάνη, τȢ τῆς μικρᾶς καὶ μεγάλης Μπȣχαρίας ἡγȣμόνος. καὶ οἱ Ουσμπέκοι ἀπὸ τȢ Ουσμπὲκ, καὶ παραπλήσια τȣ́τοις καὶ πολλοὶ ἕτεροι. Ησαν δὲ οἱ νογαΐδαι, ὡς περ καὶ οἱ τζιαγαταΐδαι, καὶ οἱ ȣ̓σμπέκοι, μογγȣλικοὶ τάταροι. Ην μὲν ȣ̃ν τὸ σκύθης καθόλȣ πολλῶν ἐθνῶν ὄνομα, ὥςπερ καὶ ἐν τοῖς ἡμετέροις χρόνοις τὸ τάταρος.

Πόθεν ἦλθον οἱ σκύθαι; Ἀπὸ τȢ μυχȢ τῆς Ἀσίας, ἀπὸ τȢ βορείȣ τῆς Σίνης. Σκύθας γὰρ τȣ̀ς νομάδας, φησὶν Ηρόδοτος, οἰκέοντας ἐν τῇ Ἀσίᾳ, πολέμῳ βιασθέντας ὑπὸ τῶν μασσαγετέων, οἴχεσθαι

διαβάντας ποταμὸν Ἀράξεα (1) ἐπὶ γῆν τὴν κιμμερίην. Τὴν γὰρ νῦν νέμονται σκύϑαι, αὕτη λέγεται τὸ παλαιὸν εἶναι κιμμερίων. Πάντως δὲ τῶν κιμμερίων, οἱ μὲν ἐπὶ τὸ βόρειον μέρος, τῶν σκυϑῶν αὐτοῖς ἐπιπεσόντων, καί μέχρι τῶν παρωκεανίων ἀφίκοντο, ἵνα πολὺ πρότερον κιμμέριοι διητῶντο, καὶ μέρος πολὺ ἐπὶ ϑάλασαν πρὸς πόλον ἀνῆκον, κιμμερικὴ χερσόνησος παρωνομάσϑη· οἱ δὲ ἐπὶ δυσμὰς, ἵνα πάλιν ἕτεροι παλαιότερον διεσπάρατο, βιοῦντες ὥςπερ νῦν οἱ τζοὐκτζοι· ὅϑεν καὶ ὁ μῦϑος ἐς νεκυομαντείαν τοῖς ὑπογαίοις αὐτῶν, ἐπιτηδείοις ἔσι διὰ τὸ ταρταρικὸν τρόπον τινὰ ζοφῶδες, ἐχρή-

---

(1) Κατὰ τὴν περιγραφὴν τοῦ Ηροδότου, ὁ Αράξης ἐστὶν ὁ νοτιότερος ποταμὸς τῶν δύο μεγάλων ποταμῶν τῶν ἐκβαλλόντων ἐς τὴν Αραλίαν λίμνην. Ο Αράξης μείζων, καὶ τὸν ῥοῦν ἔχει, ὡς οἱ κρατοῦντες βούλονται. Ποτὲ μὲν ἐς τὴν Κασπίαν, ποτὲ δὲ ἐς τὴν Αραλίαν. Οἱ τάταροι ἐκστρατείαν ἐπὶ σφᾶς τοῦ μεγάλου Πέτρου ὑποπτεύοντες, τὸν ῥοῦν αὐτοῦ εἰς τὴν Αραλίαν ἔτρειψαν. Τοῦτο καὶ οἱ παλαιοὶ πέρσαι ἐποίησαν.

*σατο· οἱ δὲ, ἐπὶ τὸ νότιον, καὶ διὰ τῶν ἀνατολικῶν παραποντίων, εἰσέβαλον ἐς τὴν Ἀσίαν. Οἱ μὲν γὰρ κιμμέριοι ἀεὶ τὴν παρὰ θάλασσαν ἔφευγον, οἱ δὲ σκύθαι, παρεκτραπόμενοι ἐν τῷ διώκειν τὲς κιμμερίες, καὶ ἐν δεξιᾷ ἔχοντες τὸν Καύκασον, ἐσέβαλον ἐς τὴν Μηδικήν.*

*Κιμμερίες σκυθικόν ἔθνος λέγεσιν εἶναι, ἀλλ' οἶμαι, κάλλιόν ἐστι λέγειν σκύθας κιμμερικὸν ἔθνος εἶναι, καὶ ἀπόμοιραν τε ἔθνες τέτε, τε πολύ παλαιότερον ἐκ τε βορείε τῆς Ἀσίας ἐκραγέντος ἐς τὸ δυτικὸν τε παλαιε κόσμε· ὥσπερ μετὰ ταῦτα καὶ οἱ καγγάροι, καὶ οἱ κεμάνοι καὶ οἱ χαζάροι καὶ τόσοι ἕτεροι, καὶ οἱ τὰ βόρεια οἰκεντες φινοὶ, μᾶλλον δὲ σεύμοι, ὥσπερ αὐτοὶ ἑαυτὲς ὀνομάζεσι, καὶ τὰ τέτοις ὁμογενῆ ἔθνη, τε μεγάλε ἔθνες τῶν τύρκων ἀπόμοιρά εἰσι, καὶ λόγον ἔχεσιν οἱ σκύθαι πρὸς τὲς κιμμερίες, ὃν καὶ οἱ καγγάροι πρὸς τὲς τύρκες. Ἐκέκτηντο δὲ οἱ κιμμέριοι μεγάλην δύναμίν ποτε ἐν Βοσόρῳ, φησίν ὁ Στράβων, καὶ ὁ κιμ-*

μερικὸς βόσπορος ἀπ' αὐτῶν ἐκλήθη. Πολὺ δ' αὐτῶν τὸ ὄνομα παρὰ τοῖς παλαιοῖς ἕλλησι· καὶ δοκεῖ ἡμῖν πολλάκις καὶ τέτες διὰ τῆς ἡμετέρας Ρεμενίας διαβῆναι, αὐτήν τε καὶ τὰ πέραν τῦ Ιστρε ληστρικῶς ἐπιτρέχοντας. Ποσειδώνιος, κατὰ τὸν Στράβωνα, ὂ κακῶς εἰκάζει ὅτι ληστρικοὶ ὄντες καὶ πλάνητες οἱ κίμβροι, μέχρι καὶ τῶν περὶ τὴν Μαιῶτιν λίμνην ἐποιήσαντο στρατείαν, ὁρμηθέντες ἀπὸ τῆς κιμβρικῆς χερσονήσε. Καὶ δικαίως, κατ' αὐτὸν, ἐπιτιμᾷ τοῖς συγγραφεῦσι, τῷ τε Εφόρῳ καὶ τῷ Κλειτάρχῳ, τὴν αἰτίαν τῆς ἀποδημίας τῇ πλημμυρίδι ἀπονέμεσιν, ἥν ὁ Στράβων ἀπίθανον πάντη ἡγεῖται, τὰς βλεπομένας νῦν ὑφάλες οἰκοδομὰς, ἐν τοῖς ἐκεῖ πε παρωκεανίοις, ὥςπερ καὶ τὴν Κασπίαν ἀπ' ἑωῦτῆς ἐεσαν θάλασσαν μὴ ἑωρακώς. Φησὶ γὲν, γελοῖον δὲ τῷ φυσικῷ καὶ αἰωνίῳ πάθει δὶς ἑκάστης ἡμέρας συμβαίνοντι, παροργισθέντας τὲς κίμβρες, ἀπελθεῖν ἐκ τῦ τόπε. Εοικε δὲ πλάσμασι τὸ συμβῆναι ποτὲ

*πλημμυρίδα ὑπερβάλλουσαν· ἐπιτάσεις μὲν γὰρ καὶ ἀνέσεις δέχεται ὁ Ὠκεανὸς, τεταγμένας μέν τοι καὶ περιοριζούσας. Ποσειδώνιος μὲν οὕτως οἰόμενος, καλῶς καὶ δικαίως οἴεται· ἀναστάσεις γὰρ καὶ μεταναστάσεις καὶ παλιμμεταναστάσεις συχνὰς σύμπαντες καὶ παλαιοὶ καὶ νεώτεροι ἱστοροῦσι γίνεσθαι· καὶ κιμμερίων μοῖραν πιθανὸν διὰ λῃστείαν μεταναστῆναι καὶ πρὸς τὰ νότια τραπέσθαι πολλάκις, ὥσπερ καὶ ὕστερον, μοῖρα μεγάλη κίμβρων βοῤῥῆθεν ἐκραγεῖσα, μοίρας ὅλας ῥωμαίων κατακόψασα, αὐτῇ τῇ κοσμοκράτορι Ῥώμῃ περὶ τῶν ὅλων ἐξ αὐτῶν κινδυνευσάσῃ, καὶ τῷ πολυπαθεῖ καὶ μεγάλῳ στρατηγῷ Μαρίῳ τὴν σωτηρίαν ὀφλησάσῃ, φοβερὰ ἐγένετο· ἐπιτιμᾷν δὲ ἑτέροις ἑτέραν λέγοντας αἰτίαν ὑπὸ τῶν τότε φυσικῶν ἀγνοουμένην, καὶ ἀναιρεῖν ἀπερισκέπτως καὶ προπετῶς τὰ παρ᾽ ἐκείνων λεγόμενα, πάντῃ ἄλογον· πιθανὸν γὰρ καὶ διὰ ἑτεροίαν καὶ ἀήθη πλημμυρίδα, καὶ παραδειγμάτων νῦν οὐ σπανίζομεν.*

*Παραπλήσια δὲ κιμμερίοις διασχισθεῖσι καὶ πόῤῥω ἀλλήλων μεταναςᾶσι, καὶ ἑτέρυς πολλὺς κἂν τοῖς μετέπειτα χρόνοις βλέπομον. Καγγάρων ἡττηθέντων ὑπὸ χαζάρων καὶ οὔζων, οἱ μὲν πρὸς ἕω καὶ πέραν τῦ ποταμῦ Οὐρὰλ ἢ Ιαΐκ, καὶ μέχρι τῆς Σογδιανῆς, τῆς νῦν Μπυχαρίας, ἐτράπησαν, οἱ δὲ ἐκ τῦ ἐναντίυ μέρυς τοῖς μοαγγίοροις ἐπεῤῥάγησαν. Τῦτων δ' αὖ πάλιν τῶν μοαγγύορων ἡττηθέντων, οἱ μὲν ἐς τὸ νότιον καὶ πέραν Τανάϊδος ἐτράπησαν, καὶ κατεσκήνωσαν, ἵνα καὶ νῦν ὁρᾶται τὰ ἴχνη τῆς αὐτῶν μητροπόλεως, ἢ μᾶλλον εἰπεῖν, λῃςορμητηρίυ· οἱ δὲ, ἐς δυσμὰς, ἐς τὴν Ρυμυνίαν, καὶ μετ' ὐ πολὺ καταλιπόντες ταύτην, ἐς Παιονίαν μετανέςησαν.*

*Εςι δὲ τῷ ὄντι ἐκπλήξεως καὶ θαύματος ἄξιον τῷ μετὰ τῆς προσηκύσης προσοχῆς καὶ σκέψεως, τὰς μεταναςάσεις τῶν ἐθνῶν, καὶ ἀλληλεμπτώσεις καὶ ἀλληλεξώσεις συχνάκις ὁρῶντι ἐν ἱςορίᾳ. Οἱ μασσαγέται ἐπιπίπτυσι τοῖς σκύθαις· οὗτοι*

δὲ, ὥσπερ κύματα ἀγριαινομένης θαλάσσης φερόμενοι, τοῖς κιμμερίοις ἐπιτίθενται· οὗτοι δ' αὖ πάλιν, κατά τινα οἱονεὶ συμφωνηθεῖσαν περίοδον, τοῖς τὰ δυτικὰ τῆς Ἀσίας κατοικοῦσιν, ἐπιῤῥήγνυνται. Ξενιζέσθω δὲ μηδεὶς τῷ λόγῳ. φιλοτιμίᾳ γὰρ οἱονεὶ καὶ ἁμίλλῃ, καὶ τρόπον τινὰ ἐκ προμελέτης, οὐδὲν ξένον καὶ γελοῖον, μὰ τὴν ἀλήθειαν, ἄπρακτον οἱ ἄνθρωποι εἴασαν. Πάριοι, ξάνθιοι, πίσουροι, δαϊκὰ ἔθνη, μακραῖς ὁδοῖς διεξιόντες τὴν παρὰ τὴν Κασπίαν θάλασσαν ἔρημον καὶ ἄνυδρον, ὥσπερ καὶ νῦν δρᾶται, καὶ παρ' ἐγχωρίων ἐμάθομεν, κατέτρεχον τήν τε Ὑρκανίαν καὶ τὴν Νησαίαν καὶ τὰ παρθναίων πεδία· οἱ δὲ, συνέθεντο φόρους. Φόρος δὲ ἦν, φησὶν ὁ Στράβων, τὸ ἐπιτρέπειν, τακτοῖς τισι χρόνοις, τὴν χώραν κατατρέχειν καὶ φέρεσθαι λείαν· ἐπιπολαζόντων δὲ αὐτῶν παρὰ τὰ συγκείμενα, ἐπολεμεῖτο, καὶ πάλιν διαλύσεις καὶ ἀναπολεμήσεις ὑπῆρχον. Ἰδοὺ τοίνυν καὶ συγκείμενα ξένα καὶ παρά-

δοξα καὶ γελοῖα, καὶ ὐδὲν ξένον· ὁρῶμεν γὰρ καὶ ἐν τοῖς μετέπειτα χρόνοις παραπλήσια.

Τὰ ἔθνη ἀεὶ τὰ αὐτὰ τυγχάνυσι, καὶ ὅσῳ πλησιέςερα τῇ φύσει, ἢ ὥςπερ ἔθος λέγειν, ὅσῳ ἀγριώτερα, τόσῳ ὁμοιότερα. Τὔρκοι μὲν γὰρ ἀβάροις τοῖς κατὰ τὸν πολὺν τὴν σιναϊκὴν παιδείαν Δεγγίνην, ἐκ τῶν ἀνατολικωτάτων τῆς μεγάλης Σκυθίας ἐξελθὔσιν, ἐπέπεσον· ὗτοι δὲ πάλιν σαβίροις ἐπιτίθενται· σαβίροι δ' αὖθις τοῖς κατοικὖσι πέραν τῦ Βόλγα βυργάροις ἐπιῤῥήγνυνται· βέργαροι δ' αὖ πάλιν τοῖς τὰ βόρεια τῆς Μαιώτιδος λίμνης νεμομένοις ἐπέρχονται. Πόσα ἔθνη πρὸ τῶν σκυθῶν τὸ αὐτὸ ἔπραξαν! Πόσα καὶ μετὰ τὺς μογγὖλυς τὸ αὐτὸ πράξυσι! Η ἀνθρωπίνη φρόνησις ἱκανή ἐςι τὰς τοιαύτας λυσσεπιδρομὰς καὶ ἀλληλεξώσεις τῶν ἐθνῶν προϊδεῖν καὶ ἀποτρέψαι; Εὐχῆς μὲν πολλῆς τῦτο ἄξιον, πιθανότητος δὲ ουδ' ὀλίγης. Ηλπιζον ὁ Αλέξανδρος καὶ ὁ Καῖσαρ τὰς ἑαυτῶν πατρίδας πτῶμα καὶ λή-

ἴσμα βαρβάρων γενέσθαι; Τȣ́των πάντων τῶν ἐθνῶν, καὶ πολλῶν ἄλλων ἡ ἡμετέρα Ρȣμȣνία, συναλίςρα τυγχάνȣσα, τὸ θέατρον ὑπῆρχε καὶ ὁρμητήριον. Σὺ δ' ἀναγνῶςα ἔννοιαν καθαροτέραν τῶν ἐθνῶν τȣ́των ἔχειν βȣλόμενος, ἀναπόλει καὶ παράςηθι σαυτῷ τὰ ταταρικὰ ἔθνη, τὰ καὶ νῦν ἔτι ὑπὲρ τὸν Ιαΐκ καὶ περὶ τὸν Ομπ, καὶ τὸν Ιανισέαν καὶ Λέναν τȣ̀ς μεγάλȣς ποταμȣ̀ς, καὶ τὰ πρὸς νότον τȣ́των, ὧν ἀπὸ πολλῶν ἵππων καὶ βοῶν καὶ προβάτων ὁ βίος· καὶ παράβαλε τὰ παλαιὰ ἀνωτέρω ἔθνη τȣ́τοις· μᾶλλον δὲ τοῖς πρὸς βοῤῥᾶν καὶ ἕω τῆς Αρὰλ λίμνης κατεσκηνωμένοις κιρυτζίδαις, καὶ τοῖς πρὸς ἕω τȣ́των σȣαγγαροῖς, ὡς αὐτονόμοις ἔτι. Παραπλήσια τȣ́τοις καὶ κιμμέριοι, καὶ σκύθαι, καὶ γέται καὶ γότθοι, καὶ ȣ̔́ννοι καὶ τῦρκοι, καὶ ȣ̔́γροι καὶ κύρτοι καὶ ἴυρκοι καὶ βȣργαροι, καὶ ȣ̓τȣργȣ̃ροι, καὶ κȣτȣργȣ̃ροι, καὶ χαζάροι καὶ ȣ̔́ζοι καὶ καγγάροι καὶ μοαγγȣ̃ροι καὶ κȣμάνοι καὶ οἱ λοιποὶ, τό πάλαι λῃςρομανῶς τά ἀνατολικά καὶ βό-

ρεια τῆς Εὐρώπης περιφερόμενοι ἐνέμοντο.

Τῶν δὲ κιμμερίων οἱ πρὸς μέσην ἡμέραν τραπέντες, διὰ τῆς Κολχίδος ἐσέβαλον ἐς τὴν ἐλάσω Ἀσίαν, καὶ Σάρδεις, πλὴν τῆς ἀκροπόλεως, εἷλον ἐπὶ Ἄρδυος, καὶ ὑπὸ τȣ̃ υἱωνȣ̃ αὐτȣ̃ Ἀλυάττεω ἐξηλάθησαν. Οἱ δὲ σκύθαι, παρεκτραπέντες, τȣ̀ς κιμμερίȣς διώκοντες, πορευόμενοι ἐν δεξιᾷ ἔχοντες τὸν Καύκασον, ἐνέπεσον ἐς τὴν Μηδικήν. Κυαξάρης, φησὶν Ἡρόδοτος, ἐςρατεύετο ἐπὶ Νῖνον, τιμωρήσων τε τῷ πατρὶ, καὶ τὴν πόλιν ταύτην ἐξελεῖν θέλων· καὶ οἱ, ὡς ξυμβαλὼν ἐνίκησε τȣ̀ς ἀσσυρίȣς, περικατημένῳ τὴν Νῖνον, ἐπῆλθε σκυθέων ςρατὸς μέγας, ἦγε δ' αὐτȣ̀ς βασιλεὺς σκυθέων Μαδύης Πρωτοθύεω παῖς, οἳ ἐσέβαλον μὲν ἐς τὴν Ἀσίην κιμμερίȣς ἐκβαλόντες ἐκ τῆς Εὐρώπης, τȣ́τοισι δὲ ἐπεσπόμενοι φεύγȣσι. Ἐκ μὲν ȣ̃ν τῆς Κολχίδος ȣ̓ πολλὸν ὑπερβῆναι ἐς τὴν Μηδικὴν, ȣ̓ μέντοι οἵγε σκύθαι ταύτῃ ἐσέβαλον, ἀλλὰ τὴν κατύπερθεν ὁδὸν πολλῷ μακροτέραν ἐκτραπόμενοι, ἐν

*δεξιᾷ ἔχοντες τὸ Καυκάσιον ὄρος, οὕτω ἐς τὴν Μηδικὴν ἀπίκοντο. Ενθαῦτα οἱ μὲν μῆδοι συμβαλόντες τοῖσι σκύθοισι καὶ ἑσσωθέντες τῇ μάχῃ, τῆς ἀρχῆς κατελύθησαν· οἱ δὲ σκύθαι, τὴν Ἀσίαν πᾶσαν (1) ἐπέσχον. Ἐνθεῦτεν δὲ ᾖσαν ἐπ' Αἴγυπτον, καὶ, ἐπείτε ἐγένοντο ἐν τῇ Παλαιστίνῃ, Ψαμμίτιχος σφέας Αἰγύπτου βασιλεὺς ἀντιάσας, δώροισίτε καὶ λιτῇσι ἀποτρέπει προσωτέρω πορεύεσθαι· οἱ δὲ, ἐπεί τε ἀναχωρέοντες ὀπίσω, ἐγένοντο τῆς Συρίης ἐν Ἀσκάλωνι πόλεϊ, τῶν πλειόνων σκυθέων παρεξελθόντων ἀσινέων, ὀλίγοι τινὲς αὐτῶν ὑπολειφθέντες, ἐσύλησαν τῆς οὐρανίης Ἀφροδίτης τὸ ἱρὸν, τὸ παλαιότατον πάντων τῆς θεᾶς. Τούτοισι δὲ καὶ τοῖσι τουτέων ἐκγόνοισι ἐνέσκηψε ἡ θεὰ θήλειαν νοῦσον (2). Ἐπὶ μέν νυν ὀκτὼ καὶ εἴκοσι ἔτεα*

---

(1) *Ο ἔςι τὴν ἄνω Ἀσίαν κατ' αὐτὸν Ἡρόδοτον, τὰ πρὸς τῷ ἰσθμῷ καὶ ὑπὲρ τὸν ἰσθμὸν τῆς ἐλάσσονος Ἀσίας μέρη, τὰ περὶ Τίγρην καὶ Εὐφράτην.*

(2) *Ἡ θήλεια νόσος τῶν σκυθῶν, ὡς φησιν ὁ διδάσκαλος τῆς χειρουργίας Ρισσερὰνδ ἐν τῇ χειρουργικῇ νοσο*

ἦρχον τῆς Ἀσίης οἱ σκύθαι, καὶ τὰ πάντα σφι ὑπὸ ὕβριος καὶ ὀλιγωρίης ἀνάστατα ἦν· χωρὶς μὲν γὰρ φόρων, ἔπρησσον τὸ ἑκάστοτε ἐπέβαλλον. Τούτων τοὺς πλεῦνας Κυαξάρης τε καὶ μῆδοι ξεινίσαντες καὶ καταμεθύσαντες κατεφόνευσαν, καὶ οὕτως ἀνεσώσαντο τὴν ἀρχὴν μήδοις. Ὁ δὲ σικελὸς Διόδωρος φησὶ, τοὺς σκύθας καὶ μέχρι Νείλου ἀφικέσθαι.

Οἱ τοὺς κιμμερίους τοίνυν διώξαντες σκύθαι, οὐχ οἱ πρῶτοι εἰσὶν οἱ ἀπὸ τῶν ἑώων ἐνταῦθα ἀφικόμενοι· καὶ γὰρ καὶ οἱ θρᾶκες (σκυθικὸν δὲ καὶ οὗτοι ἔθνος) περά-

---

γραφία, ἀνανδρότης ἦν (ἐνίοις πάντως συμβαίνουσα) ἐκ τῆς πολλὰ συχνῆς ἱππείας προσγινομένη τοῖσι σκύθησι· στενοχωρούμενοι γὰρ καὶ συμπιεζόμενοί πως οἱ ὄρχεις, εἴτε στενοῖς ἱματίοις, εἴτε ἄλλως πως ὡς καὶ συχνῇ ἱππείᾳ, ἀτροφίαν ἔχουσι παρεπόμενον, καὶ αὕτη, ἀνανδρότητα, καὶ αὕτη πάλιν, ἀνανδρίαν· αὕτη δὲ αὖθις, θηλυφροσύνην καὶ βίον θηλυπρεπέα πάντη καὶ θηλυφάνειαν. Καὶ στρατιώτην ῥωμαλέον καὶ ἐνεργὸν, εἴπερ καὶ ἄλλος, μάρτυρα τοῦ λόγου ἐπάγεται, ὃν διὰ παραπλήσιον πάθημα θηλυπρεπῶς θηλυβιοῦντα ἑώρα ἔπειτα· πάντως οὖν ἡ θήλεια νόσος, ἣν ἄλλοι ἄλλως ἐκλαμβάνουσιν, αὕτη ἦν, καὶ ὁ Ρισσεραὶνδ ἐπέβαλε πάντων κάλλιον.

σαντες τὸν ἐξ αὐτῶν ὀνομασθέντα Θρακικὸν βόσπορον, ἢ τὸν Ἴστρον, ἦλθον, ὥς φασιν, ἐς τὴν Εὐρώπην, ὅπερ καὶ ἄλλα συγγενῆ τούτοις ἔθνη ὁρῶμεν ποιήσαντα ὕστερον. Οἱ Θρᾶκες, φησὶν ὁ Στράβων, ὁμόγλωσσοι τοῖς γέταις καὶ τοῖς Δακοῖς ἦσαν. Οἱ γέται, φησὶν ὁ ἱστορικὸς Προκόπιος, ὁμόγλωσσοί εἰσι τοῖς γότθοις, καί, κατὰ τὸ ἡμῖν δοκοῦν, τὸ γότθος ἀπὸ τοῦ γέτης προῆλθεν ὀνόματος, (ἢ τοὐναντίον εἰ βούλει) ἢ θάτερον παραφθειρομένη προφορὰ θατέρου τυγχάνει. Οἱ δὲ ἔκ τινων σλαβικῶν ὀνομάτων εἰκάζοντες, καὶ τοὺς γέτας σλαβικὸν ἔθνος ἀποφαινόμενοι, οὗτοι μοι δοκοῦσι καὶ τοὺς ἡμετέρους ῥωμούνους, ὅτι πρὸ χρόνου ἐν ταῖς ἐκκλησίαις αὐτῶν σλαβικῇ ἐχρῶντο γλώττῃ, σλαβικὸν ἔθνος νομίζουσι, καὶ Μπαχλούϊ καὶ Βασλούϊ (ῥύακες ἐν Μολδόβῃ) ἀκούοντες, ἀποφαίνονται παραπλήσια. Ἀλλὰ Στράβων καὶ Προκόπιος, δύο τῶν ἀξιολογωτέρων καὶ ἀξιοπιστοτέρων παλαιῶν ἱστορικῶν, πολὺ κάλλιον τὰ ἀφορῶντα τοὺς γέτας καὶ τοὺς γότθους ᾔδεσαν, καὶ κρεῖσσον

τύτοις ἢ αὐτοῖς ἕπεσθαι. Εἶτα δὲ καὶ τὸν κοινὸν χαρακτῆρα τῶν σλαβικῶν ἐθνῶν, τὸ δημοκρατικὸν ἄκρατον, λέγω, ὁρῶμεν παρὰ τῷ Προκοπίῳ τῷ τῶν γετῶν ἀντικείμενον. Ἔτι δὲ πρὸς τύτοις οἱ τὰς φιλολῃΐας καὶ φιλοπλατῦντας σκηνίτας γέτας, σλάβυς εἶναι διϊσχυριζόμενοι, ὑποτιθέασιν, ἐπ' ὑδενὸς δεδηκότες, ὑπερορῶντες μόνον ἀρότρυ τε καὶ καλαύροπος, καὶ περὶ ξίφη μόνον καὶ τόξα καὶ δόρατα σπυδάζοντες, ὅτι, ἅμα καὶ ὁμῦ γέταις, ὑδὲν ἦν ἕτερον ἔθνος κάτοικον, καὶ ἐν μεταναστάσει τῶν γετῶν, ἔρημος πάντῃ ἔμενεν ὁ τόπος κατοίκων. Ἀλλ' ἦσαν καὶ ἐν Γετίᾳ, ὡς ἔπειτα ἐν Γοτθίᾳ καὶ Καγγαρίᾳ καὶ Κυμανίᾳ, καὶ ἕτεροι κάτοικοι, σλάβοι πάντως ὑποτελεῖς γετῶν καὶ ἥσυχοι γεωργοὶ καὶ ποιμένες, καὶ τύτων ἦσαν κτίσματα αἱ μείζυς συνοικίαι, ἃς πόλεις ὀνομάζει ὁ Πτολεμαῖος.

Οἱ δακοὶ ἢ δαυοὶ ἢ δαυοὶ οἰκῦντες ὑπὲρ τὺς καταῤῥάκτας καὶ μέχρι τῶν καταῤῥακτῶν τῦ Ἴστρυ, πρόγονοι πάντως εἰσὶ τῶν, οἳ ἐπιχωρίως μὲν, δάϊτζοι νῦν ὀνομάζον-

ται, ὑπὸ δὲ τῶν ἄλλων ἐθνῶν, ἀλλαμανοὶ, νέμτζοι, τεδέσκοι· καὶ ȣδεμία ἀμφιβολία ὅτι τὸ δακοὶ (ἢ δάτζοι), ἢ δανοὶ ἢ δανοὶ, ἡ αὐτὴ λέξις τῷ δάϋτζ τυγχάνει, εἰ καὶ δάϋτζοί τινες ἑτεροίαν τινὰ πάντη ἐτυμολογίαν διδόασι τῷ ὀνόματι. Ότι δὲ καὶ ἡ γλῶσσα τῶν νῦν δάϋτζ τῆς πάλαι τῶν δακῶν ἢ γότθων τυγχάνει γέννημα, τȣ̃το ἀναντίῤῥητον. Οὐ μὴν ἀλλὰ καὶ ἡ τῶν δαῶν γλῶσσα καὶ τῶν σακῶν (ἢ δακῶν εἰ βȣ́λει) ὥπερ ὀνόματι τοὺς σκύθας ὠνόμαζον οἱ πέρσαι, φησὶν ὁ Ηρόδοτος, καὶ τῶν πάρθων καὶ τόσων ἄλλων τȣ̃ βορείȣ τῆς Περσίας ἐθνῶν, ἃ καταλέγειν περιττὸν ἐνταῦθα, τῶν ἕλληνας ἐκεῖθεν ἐκβαλόντων καὶ τοῖς κοσμοδυνάςαις ῥωμαίοις ἀξιόλογοι καὶ σεβαςὴν ἀντίςασιν ποιησαμένων, ἀδελφὴ τῇ τῶν δακῶν ἢ δανῶν καὶ γότθων ἐτύγχανε, καὶ τῇ παλαιᾷ ταύτῃ συγγενείᾳ καὶ ἀδελφότητι τὴν ὁμοιότητα τῶν γλωσσῶν τῶν καθ' ἡμᾶς δάϋτζ καὶ περσῶν ἀπονέμειν εὔλογον. Ο περίφημος Αρσάκης δάης ἦν, καὶ ἔθνος ἦν παρὰ τοῖς ἑῴοις δάαι

*γερμάνιον καλέμενον. Ουκῦν, καὶ τὸ γερμανὸς ὄνομα ἐκεῖθεν ποθὲν ἦλθεν, εἰ καὶ Στράβων ἑτεροίαν τινὰ πάντη παραγωγὴν δίδωσι τῷ ὀνόματι· καὶ ἐοίκασί πως αἱ τοιαῦται παραγωγαὶ καὶ ἐτυμολογίαι ἐκείναις, ἃς καταφλυαρεῖ ἡμῶν ὁ ἐτυμολόγος, εὐήθειαν πολλὴν δεικνύων καὶ φαυλοήθειαν.*

*Οι μασσαγέται καὶ αὐτοὶ σκυθικὸν ἦσαν ἔθνος, ὁμὴν δὲ καὶ οἱ πολὺ ὑπὲρ τὴν Μαιῶτιν ἐνδιαιτώμενοι θυσσαγέται· καὶ οἱ πλεῖςοι τῶν σκυθῶν ἀπὸ τῆς Κασπίας θαλάσσης ἀρξάμενοι, δάαι προσαγορεύονται, φησὶν ὁ Στράβων· τῶν δὲ δαῶν τὺς τὰ ἑωθινὰ τῆς Κασπίας οἰκῦντας, πάρνυς ἰδιαίτερον προσαγορεύυσι, καὶ πρὸς βοῤῥᾶν τῶν τυραγετῶν καὶ τύτοις ὅμοροι καὶ τοῖς γερμανοῖς βαςάρναι εἰσὶ. Μήποτε δὲ καὶ οἱ βαςάρναι ὗτοι ὐκ ἀλλότριοι τῶν πάρνων, καὶ οἱ νῦν μπάϊερ τῶν παρίων· ἕκαςοι γὰρ δαϊκὰ ἔθνη· καὶ οἱ γερμάνιοι τῦ Ηροδότου, οἱ ἡμέτεροι γερμανοί εἰσι, ἢ τὰ ὀνόματα, τῶν πραγμάτων μηδεμίαν*

σχέσιν ἐχόντων, τῇ αὐτῇ φωνῇ συμβαίνειν, καὶ τρόπον τινὰ τὰ αὐτὰ φαίνεσθαι, κατὰ τύχην, φήσομεν; Σκύθης μὲν ἦν τὸ καθόλȣ ὄνομα τȣ̃ ἔθνȣς καὶ ἀρχαῖον, ἀλλ' ȣ̓ καὶ τὸ ἀρχαιότερον· κιμμέριοι γὰρ πρὸ τῶν σκυθῶν ἦσαν· ἔπειτα δὲ ταῖς διαιρέσεσι καὶ ὑποδιαιρέσεσι πολλὰ πρȣ́κυψαν ὀνόματα, ὧν πάλιν τινὰ καθόλȣ δοκȣ̃σιν εἶναι, ὥς περ τὸ γερμανὸς, τὸ δάης, καὶ τὸ δάϋτζος. Τοιȣ̃τό τι καὶ τῷ τȣ̃ρκος καὶ τάταρος καὶ μογγȣ̃λος συνέβη ὕςερον, καὶ παπλήσια τοιαῦτα ȣ̓ παύσȣσιν ἐν τῷ μακρῷ χρόνῳ συμβαίνοντα. Ἀλλὰ ταῦτα μὲν ἅλις, ἡμεῖς δὲ ἐπαναλαβόντες πάλιν τὴν σειρὰν τȣ̃ λόγȣ, ἐπὶ τȣ̀ς σκύθας τῆς ἡμετέρας Ρȣμȣνίας ἐπανακάμψωμεν.

## Δαρεῖος πέρσης.

Δαρεῖος ὁ Υςάσπεω, διαδεξάμενος τὴν περσέων ἀρχὴν καὶ ἑλὼν Βαβυλῶνα, τίσασθαι βȣλόμενος τȣ̀ς σκύθας, ὅτι ἐκεῖνοι πρότεροι ἐσβαλόντες ἐς τὴν Μηδικὴν καὶ νικήσαντες μάχῃ τȣ̀ς ἀντιωμένȣς, ὑπῆρξαν

ἀδικίης, ϛρατεύει ἐπ' αὐτȣ̃ς. Γελοία μὲν ἡ τῆς ἐκϛρατείας αἰτία, Δαρεῖος δὲ κρύπτειν τάχα βȣλόμενος ἀκορέϛȣ ψυχῆς διάθεσιν, τίσιν λόγον προβάλλεται, καὶ παρασκευάζεσθαι ἐπιτάττει, καὶ τῷ σοφῷ Αρταβάνῳ τῷ ἀδελφῷ αὐτȣ̃, τῆς ἄφρονος ταύτης ὁρμῆς ἀποτρέπειν αὐτὸν βȣλομένῳ, καὶ πειρωμένῳ, καὶ τῶν σκυθῶν τὴν ἀπορίαν καταλέγοντι, ȣ̓κ ἐπείθετο. Ειδομεν δὲ καὶ ἐν τοῖς ἡμετέροις χρόνοις, ἑτέρȣς Αρταβάνȣς καὶ ἑτέρȣς Δαρείȣς πρὸς τὰ αὐτὰ μέρη ἐκϛρατεύειν παραβόλως βȣληθέντας, καὶ τὰς συμβȣλὰς ἐκείνων ματαίας, παράφρονα πάντη ἐγχειρήματα, καὶ μανικὴν ἐκϛρατείαν ἀποτρέψαι μὴ δυνηθέντων, καὶ τȣ́τȣς χείρω πολὺ Δαρείȣ παθόντας, ἀφρονεϛέρȣς τȣ́τȣ τυγχάνοντας. Σκύθαι δὲ πυθόμενοι Δαρεῖον ϛρατείαν ἐπὶ σφᾶς παρασκευάζεσθαι, ἔπεμψαν ἐς Σπάρτην συμμαχίαν ποιήσοντες. Πέμψαντας γὰρ ἐς Σπάρτην φησὶν Ηρόδοτος συμμαχίηντε ποιέεσθαι καὶ συντίθεσθαι, ὡς χρεὼν εἴη, αὐτȣ̀ς μὲν τȣ̀ς σκύθας παρὰ Φάσιν τὸν πο-

ταμὸν πειρᾷν ἐς τὴν Μηδικὴν ἐσβαλεῖν, σφέας δὲ τὲς σπαρτιάτας κελεύειν, ἐξ Ἐφέσου ὁρμεομένες ἀναβαίνειν, καὶ ἔπειτα ἐς τὠϋτὸ ἀπαντᾷν. Φαίνεται δὲ ὅτι ὀκ ἔσχον πειθομένες τὲς σπαρτιάτας οἱ σκύθαι. Ἡρόδοτος ὀ πάνυ τοι ἀξιοδιήγητον τὸ πρᾶγμα ἡγόμενος, τὸ ἀποτέλεσμα τῆς σκυθικῆς ἀποςολῆς ἀπεσιώπησε· ὀμὴν ἀλλὰ καὶ αὐτὴν τὴν ἀποςολὴν ἐν μὴ οἰκείῳ ἀναφέρων τόπῳ, λόγε πάρεργον τρόπον πνὰ διηγήσατο. Ἀλλ᾽ ἃ τότε, ὡς πασίδηλα ἐν μικρῷ λόγῳ ἐτίθετο, ἐν τοῖς ἡμετέροις χρόνοις, μικρὲ, ἀγνοέμενα, λόγε πολλὲ τυγχάνει καὶ σπεδῆς ἄξια· ἐμφαίνει γάρ τὰς τῶν ἐθνῶν σχέσεις καὶ ἐπιμιξίας πρὸς ἄλληλα. Οὕτω μέν οὖν καὶ ἕτερα πολλὰ τοιαῦτα, μικρὲ λόγε ἄξια νομιζόμενα, ἀπεσιωπήθησαν, ἄλλα δὲ πάλιν, ὡς ὄντα τι, τῷ ὄντι δὲ μηδὲν ἢ μικρόν τι ὄντα, τῷ τῆς ἱςορίας κηρύττονται ςόματι.

Δαρεῖος ὦν ἀπικόμενος ἐκ Σέσων, τῆς Καλχιδονίης ἐπὶ τὸν Βόσπορον, ἵνα ἔζευκτο ἡ γέφυρα, ἐνθεῦτεν ἐσβὰς ἐς νέα, ἔπλεε

ἐπὶ τὰς Κυανέας καλευμένας. Αἱ δὲ Κυάνεαι, φησὶν ὁ Στράβων, πρὸς τῷ ςόματι τῦ Πόντυ εἰσὶ δύο νησίδια· τὸ μὲν, τῇ Ευρώπῃ προσεχές· τὸ δὲ, τῇ Ασίᾳ. Εζόμενος δὲ ἐπὶ τῷ ἱρῷ, ἐθηῆτο τὸν Πόντον ὄντα ἀξιοθέητον· πελαγέων γὰρ ἁπάντων πέφυκε θωϋμασιώτατος. Ὡς δὲ ἐθηήσατο τὸν Πόντον, ἔπλεε ὀπίσω ἐπὶ τὴν γέφυραν, τῆς ἀρχιτέκτων ἐγένετο Μανδροκλῆς ὁ σάμιος· καὶ ςήλας ἔςησε δύο ἐπὶ τῦ Βοσπόρυ λίθυ λευκῦ, ἐνταμὼν γράμματα, ἐς μὲν τὴν, ἀσσύρια, ἐς δὲ τὴν, ἑλληνικὰ, ἔθνεα πᾶντα ὅσά περ ἦγε (δεικνύσας). Τῦτων μυριάδες ἐξηριθμήθησαν χωρὶς τῦ ναυτικῦ, ἑβδομήκοντα σὺν ἱππεῦσι, νέες δὲ, ἑξακόσιαι συνελέχθησαν. Τῇσι μὲν ςήλῃσι ταύτῃσι βυζάντιοι ἔπειτα ἐχρήσαντο πρὸς τὸν βωμὸν τῆς ὀρθωσίης Ἀρτέμιδος, χωρὶς ἑνὸς λίθου γραμμάτων ἀσσυρίων πλέυ. Τῦ δὲ Βοσπόρυ ὁ χῶρος ὃν ἔζευξε Δαρεῖος, ὡς ἐμοί δοκέει συμβαλλομένῳ, μέσον ἐςὶ Βυζαντίυ τε καὶ τῦ ἐπὶ ςόματι ἱρῦ.

Δαρεῖος δὲ δωρησάμενος Μανδροκλέα, διέβαινε ἐς τὴν Εὐρώπην, τοῖσι Ἴωσι παραγγείλας πλέειν ἐς τὸν Πόντον μέχρι Ἴςρȣ ποταμȣ̃· ἐπεὰν δὲ ἀπίκωνται ἐς τὸν Ἴςρον, ἐνϑαῦτα αὐτὸν περιμένειν, ζευγνύντας τὸν ποταμόν. Ἀπικόμενος δὲ ἐς τὸν Ἴςρον ὁ ναυτικὸς ςρατὸς, καὶ ἀναπλώσας ἀνὰ τὸν ποταμὸν δύο ἡμερέων πλόον ἀπὸ ϑαλάσσης, τȣ̃ ποταμȣ̃ τὸν αὐχένα ἐκ τȣ̃ σχίζεται τὰ ςόματα τȣ̃ Ἴςρȣ, ἐζεύγνυε. Δαρεῖος δὲ ἐπορεύετο διὰ τῆς Θρηΐκης, καὶ τὰ μὲν ἄλλα τῶν ἐϑνέων ἀμαχητὶ σφέας αὐτὲς παρέδοσαν Δαρείῳ· γέται δὲ ϑρηΐκων ἐόντες ἀνδρειότατοι καὶ δικαιότατοι, ἐδȣλώϑησαν. Ο δὲ Μανδροκλῆς ζωαγραφάμενος πᾶσαν τὴν ζεῦξιν, καὶ βασιλέα Δαρεῖον ἐν προεδρίῃ κατήμενον, καὶ τὸν ςρατὸν αὐτȣ̃ διαβαίνοντα· ταῦτα γραψάμενος, ἀνέϑηκε ἐς τὸ ἥραιον, ἐπιγράψας τάδε,

Βόσπορον ἰχθυόεντα γεφυρώσας ἀνέθηκε,
Μανδροκλέης Ἥρῃ, μνημόσυνον σχεδίης.
Αὐτῷ μὲν ςέφανον περιθεὶς, σαμίοισι δὲ κῦδος,
Δαρείȣ βασιλέως ἐκτελέσας κατὰ νȣ̃ν.

Δαρεῖος δὲ, ὡς ἀπίκετο, καὶ ὁ πεζὸς ἅμ'

αὐτῷ ϛρατὸς, ἐπὶ τὸν Ιϛρον, ἐνθαῦτα, διαβάντων πάντων, ἐκέλευσε τὺς Ιωνας τὴν σχεδίην λύσαντας, ἕπεσθαι κατ' ἤπειρον ἑωϋτῷ, καὶ τὸν ἐκτῶν νεῶν ϛρατόν. Μελλόντων δὲ τῶν Ιώνων ποιέειν τὰ κελεόμενα, Κώης ὁ Ερξάνδρυ, ϛρατηγὸς ἐὼν τῶν Μιτυληναίων, Δαρείυ ἐπιτρέποντος εἰπεῖν τὴν γνώμην, ἔλεξε· ὦ βασιλεῦ, ἐπὶ γῆν μελλων ϛρατεύεσθαι, τῆς ὔτε ἀρηρόμενον φαίνεται ὐδὲν, ὔτε πόλις οἰκεομένη (ταῦτα πάντως ἀπεριεργότερον εἴρηται), γεφύρην ταύτην ἔα κατὰ χώρην ἑϛάναι, φυλάκους αὐτῆς λιπὼν, τύτυς οἵπέρ μιν ἔζευξαν· καὶ ἤντε κατὰ νόον πρήξωμεν, εὑρόντες σκύθας, ἄποδος ἡμῖν· ἤντε καὶ μὴ σφέας εὑρεῖν δυνώμεθα, ἥγε ἄποδος ἡμῖν ἀσφαλής. Ου γὰρ ἔδεισά κω μὴ ἑσσωθέωμεν, ἀλλὰ μᾶλλον μὴ ὐ δυνάμενοι εὑρεῖν, πάθωμέν τι ἀλώμενοι. Καὶ τάδε λέγειν φαίη τις ἂν με ἑωϋτῦ ἕνεκεν, ὡς καταμείνω· ἐγὼ δὲ γνώμην ἀρίϛην σοι, ὦ βασιλεῦ ἐς μέσον φέρων, αὐτὸς μέντοι, ἕψομαί τοι, καὶ ὐκ ἂν λειφθείην. Κάρτα τε ἥσθη τῇ γνώμῃ Δα-

ρεῖος, καὶ χρηςῆς συμβϑλίης χρηςοῖσι ἔργοισι, σωθεὶς ὀπίσω ἐς οἶκον τὸν ἐὸν, ἀμείψεσθαι τὸν λέσβιον εἴπας, καὶ ἀπάψας ἅμματα ἑξήκοντα ἐν ἱμάντι, ἔλεγε, ἄνδρες ἴωνες, ἐπεάν με ἴδητε πορευόμενον, ἀρξάμενοι λύετε ἅμμα ἓν, ἑκάςης ἡμέρης, ἢν δὲ διεξέλθωσιν ὑμῖν αἱ ἡμέραι τῶν ἁμμάτων, καὶ ἐγὼ μὴ παρέω, ἀποπλέετε ἐς τὴν ὑμετέραν αὐτέων. Ταῦτ' εἴπας, ἐς τὸ πρόσω ἠπείγετο.

Οι δὲ σκύθαι δόντες σφίσι λόγον, ὡς ϑκ οἷοίτέ εἰσι τὸν Δαρείϑ ςρατὸν δηώσασθαι μϑνοι, ἔπεμπον ἀγγέλϑς ἐς τϑς πλησιοχώρϑς, τῶν οἱ βασιλῆες συνελθόντες, ςρατϑ ἐπελαύνοντος μεγάλϑ, ἐβϑλεύοντο. Εσαν δὲ οἱ συνελθόντες βασιλῆες ταύρων καὶ ἀγαθύρσων καὶ νευρῶν καὶ ἀνδροφάγων καὶ μελαγχλαίνων, καὶ γελωνῶν καὶ βϑδινῶν καὶ σαυρομάτεον. (1) Επὶ τϑ-

(1) Μήποτε τὰ ὀνόματα ταῦτα πρὸς τὸ σκύθης τὸ πρωτεῦον, λόγον ἔχει, ὃν καὶ μπαβαρὸς, σάξων, σϑαβὸς, βεςφαλὸς πρὸς τὸ δάϋτζος, ἢ μᾶλλον, μπάϋερ, σάξε, σβάμπε, βεςφαλίγγερ, ἢ, εἰ βϑλει, τὰ, καγγάρος, ὔζος, κϑμάνος καὶ τὰ λοιπὰ πρὸς τὸ τῦρκος.

των ὧν τῶν καταλεχθέντων τὲς βασιλῆας ἁλισμένες, ἀπικόμενοι οἱ σκυθέων ἄγγελοι, ἔλεγον τὰ εἰκότα, καὶ ὡς, εἰ γὰρ ἐπ' ἡμέας μένες ἐςρατηλάτεε ὁ πέρσης, τίσασθαι τῆς πρόσθεν δελοσύνης βελόμενος, χρῆν αὐτὸν πάντων τῶν ἄλλων ἀπεχόμενον, οὕτως ἰέναι ἐπὶ τὴν ἡμετέρην, καὶ ἐδήλε ἂν πᾶσι ὡς ἐπὶ σκύθας ἐλαύνει, καὶ ὲκ ἐπὶ τὲς ἄλλες. Νῦν δὲ τές τε δὴ ἄλλες ἔχει ὑπ' ἑωϋτῷ θρήϊκας, καὶ δὴ καὶ τὲς πλησιοχώρες ἡμῖν γέτας. Ταῦτα σκυθέων ἐπαγγελλομένων, ἐβελεύοντο οἱ βασιλῆες οἱ ἀπὸ τῶν ἐθνέων ἥκοντες· καί σφεων ἐσχίσθησαν αἱ γνῶμαι· καὶ οἱ μὲν αὐτῶν ὑπεδέκοντο σκύθῃσι τιμωρήσειν, οἱ γελωνοὶ καὶ οἱ βεδινοὶ καὶ οἱ σαυρομάται· οἱ δ' ἕτεροι ὲκ ἠθέλησαν.

Τὸ μέρος τῦ Ἴςρε τὸ ζευχθὲν, κάτω τῦ Γαλατζίε καὶ τῦ Ῥὲν ἢ Τομαρόβης ἐςὶν, ὅπε ὁ ποταμὸς διασχίζεσθαι καὶ ποιεῖν τὰ ςόματα ἄρχεται. Αὐχένα τῦτο τὸ μέρος καλεῖ Ἡρόδοτος, ὡς τῶν ςομάτων χειρῶν ἢ βραχιόνων λόγον ἐχόντων, καὶ καλῦσιν

ὕτω κατὰ μεταφορὰν, ἐν πολλαῖς γλώσσαις, τὰ τῶν ποταμῶν μέρη ὁπῦν διασχιζόμενα. Καταπλέοντι τὸν ποταμὸν ἀπὸ Γαλατζίυ, ἐν ἀριςερᾷ τρεῖς εἰσιν ἰςρολίμναι, οἱονοὶ κόλποι τῦ Ἴςρυ. Τύτων ἡ πρώτη, Μπράδεσι καλυμένη, ἐν δεξιᾷ ἐςι τῦ Πρύτυ· ἡ δὲ δευτέρα καὶ μείζων ταύτης, Καγγὺλ καλυμένη, ἐν ἀριςερᾷ ἐςι τῦ Ῥέν· ἡ δὲ τρίτη, ἡ Ἰαλπὺχ καλυμένη, ἡ μείζων ἑκατέρων, ἐπὶ πλεῖον εἰς τὴν Βασσαραβίαν ἀνέχυσα, ἐν τῷ μέσῳ τῦ πλῦ σχεδὸν κεῖται, τῦ μεταξὺ Γαλατζίυ καὶ τῆς ἄκρας τῦ Σωληνᾶ. Ἐν ἀριςερᾷ ταύτης διασχίζεσθαι ὁ Ἴςρος ἄρχεται, κἀνταῦθά πυ κατὰ τὸν Ἡρόδοτον ἐζεύχθη ὑπὸ τῶν Ἑλλήνων τῷ Δαρείῳ ὁ Ἴςρος, ἀντικρὺ τῆς Ἰαλπὺχ ἰςρολίμνης. Ἐν τῷ μυχῷ τῆς τρίτης ταυτησὶ λίμνης καὶ κώμη κεῖται Τομπὰκ καλυμένη. Ἰδὺ ἐφεξῆς καὶ ἃ περὶ τύτυ λέγει ὁ Στράβων.

Πρὸς δὲ ταῖς ἐκβολαῖς τῦ Ἴςρυ μεγάλη νῆσος ἐςί, Πεύκη καλυμένη· κατασχόντες δ' αὐτὴν βαςάρναι, γερμανικὸν ἔθνος, πευκηνοὶ ἀπ' αὐτῆς προσηγορεύθησαν.

*Εισὶ δὲ καὶ ἄλλαι νῆσοι πολὺ ἐλάττȣς· αἱ μὲν, ἀνωτέρω ταύτης· αἱ δὲ, πρὸς τῇ θαλάσσῃ. Επτάςομος γάρ ἐςιν ὁ Ιςρος, μέγιςον δὲ τὸ ἱερὸν ςόμα καλȣ́μενον, δι' ȣ̓ ςαδίων ἀνάπλȣς ἐπὶ τὴν Πεύκην ἑκατὸν εἴκοσι, ἧς κατὰ τὸ κάτω (μᾶλλον δὲ κατὰ τὸ ἄνω· τȣ̃το γὰρ Ηρόδοτος σημαίνειν βȣ́λεται) ἐποίησε τὸ ζεῦγμα Δαρεῖος· δύναιτο δ' ἂν ζευχθῆναι καὶ κατὰ τὸ ἄνω. Τȣ̃το δὲ καὶ πρῶτον ἐςὶ ςόμα ἐν ἀριςερᾷ εἰσπλέοντι τὸν Πόντον, τὰ δ' ἑξῆς, ἐν τῷ παράπλῳ τῷ ἐπὶ Τύραν κεῖται. Διέχει δ' αὐτȣ̃ τȣ̃ ἱερȣ̃ ςόματος, τὸ ἕβδομον ςόμα, περὶ τριακοσίȣς ςαδίȣς. Γίνονται μὲν ȣ̃ν μεταξὺ τῶν ςομάτων νησίδες. Τὰ μὲν δὴ τρία ςόματα, ἐφεξῆς τῷ ἱερῷ ςόματι, ἐςὶ μικρά· τὰ δὲ λοιπὰ, τȣ̃ μὲν, πολύ ἐλάσσονα· τῶν δὲ, μείζονα. Εντεῦθεν δὲ (ἐκ τȣ̃ ἱερȣ̃ ςόματος) ἐπὶ Τύραν ποταμὸν πλωτὸν ἐννεακόσιοι στάδιοι.*

*Τοιαῦτα μὲν ȣ̃ν ἐπὶ Στράβωνος τὰ μεταξὺ τῶν ἀκροστομάτων τȣ̃ Ιστρȣ ἀπολαμβανόμενα, ἐν δὲ τοῖς ἡμετέροις χρόνοις*

πάντη μετήλλακται. Ημὲν γὰρ ἀπὸ τῆς διασχίσεως τȣ̃ Ιστρȣ ἀρχομένη νῆσος Πεύκη, κάτω ἐπὶ πολὺ τὸ πάλαι καθῆκεν· ȣ̓ γὰρ ἂν ἄλλως ἡ μεγίστη ἐτύγχανεν, ὥστε καὶ καταφύγιον διωκομένων, καὶ ὁρμητήριον λῃςευόντων εἶναι· τὰ δὲ μετ᾽ αὐτὴν μέχρι θαλάσσης νησία, ἐλάττονα ἐτύγχανε. Νῦν δὲ, κατά τινας ἰχνογραφίας τῶν ἐκβολῶν τȣ̃ Ιςρȣ, τὰ ἐναντία ὁρᾶται· τὰ μὲν γὰρ παρὰ θάλασσαν ποτὲ μὲν νησίδια, νῦν δὲ νῆσοι, πολὺ μείζους τῆς νῦν Πεύκης τυγχάνȣσι, καὶ ἡ ἀπὸ τȣ̃ αὐχένος ἀρχομένη καὶ ποιȣ̃σα τȣ̃τον, πολὺ ἐλάσσων. Αἴτιον δὲ τȣ́τȣ τȣ̃ τοῖς μὴ ἀνασκεπτομένοις τὰ φυσικὰ ἀναγκαῖα συμβαίνοντα, ἀπορίαν καὶ ἔκςασιν ἐμποιȣ̃ντος, ἡ ἐπισυρομένη ἀεὶ ὑπὸ τȣ̃ ποταμȣ̃, καὶ τοῖς ὕδασιν αὐτȣ̃ συγκυλιομένη ἰλὺς, ἥςπερ καθιζανȣ́σης κατ᾽ ὀλίγον ἐν ταῖς ἐκβολαῖς, δι᾽ ἀπειρομίκρων ἐνεργȣ́σης καὶ δημιȣργȣ́σης τῆς φύσεως, καὶ τῆς προσχώσεως μὴ πανομένης, καὶ τȣ̃ προσχώματος ἀνεπαισθήτως αὐξανομένȣ, τέλος, τενάγη ξηραίνεται,

καὶ μέρος θαλάσσης ἐξηπειροῦται, καὶ αἱ ἐκβολαὶ τῶν ποταμῶν ὡς τὰ πολλὰ ἐξέχουσι πολὺ ἐπὶ θάλασσαν, καὶ ἐγκολποῦσθαι ἐφ' ἑκάτερα τὴν θάλασσαν αἴτιαι.

Ἕτεροι δὲ πάλιν ποταμοὶ ἐς μυχὸν κόλπου ἐκβάλλοντες, μειοῦσι κατ' ὀλίγον τὸ τοῦ κόλπου μῆκος, καὶ οὐδεμία φαινομένη ἐξοχὴ, καὶ οὐδὲν εἰς ἀντίστασιν πρὸς τὴν πρότασιν συντείνουσιν ἐπιφέρεσθαι. Ταύτῃ τοι καὶ Νεῖλος πελαγιώτερος νῦν εἰς θάλασσαν ἐκδιδοῖ, ἢ ἐπὶ Στράβωνος· καὶ ἐπ' αὐτοῦ, πελαγιώτερος πάλιν, ἢ ἐφ' Ἡροδότου· καὶ πεδία ὅλα ἔν τισι μέρεσι γίνεται, χερσαίων ζώων εἰς βοσκὴν ἐπιτήδεια, ὅπου πρότερον ἰχθύες νεμόμενοι ἐνήχοντο. Εἰσὶ δὲ καὶ τοῦ ἡμετέρου Ἴστρου αἱ ἐκβολαὶ, τῶν παρακειμένων τόπων πελαγιώτεραι. Εἴπομεν ἀνωτέρω, ὡς τὰ πολλὰ τὰ τῶν ποταμῶν στόματα πελαγιώτερα, ὅτι ἐστί τινα τοῦ ναντίου πάντῃ φαινόμενα, ὅ ἐστιν, οὐκ ἐξέχουσι, τῆς ἰλύος ἐνθαλάσσῃ προσχωμένης, ἀλλ' ὥσπερεὶ ἐς τὰ ὀπίσω ὠθουμένης, εἴσοχαὶ καὶ κόλποι γίνονται ἐν ταῖς ἐκβολαῖς. Τοιαῦ-

*ται ὁρῶνται οἱ τȣ μεγίςȣ τῶν ποταμῶν τῆς γῆς, τȣ ἐν τῇ μεσημβρινῇ Κολομβικῇ ἐκβολαὶ, καὶ ἕτεραι ἑτέρων πρὸς ἕω ἐκδιδόντων εἰς τὸν Ωκεανόν. Μήποτε τȣτο, ἀποτέλεσμα τῆς περὶ τὸν ἄξονα ἡμερησίας κινήσεως τῆς γῆς ἐςι, τȣ Ωκεανȣ τῇ γῇ καὶ τῷ ποταμίῳ ῥῷ ἀνθιςαμένȣ, καὶ τὴν καταφερομένην ἰλὺν ἀνωθȣντος καὶ ἀναπέμποντος, καὶ προσχȣσθαι τῷ αἰγιαλῷ μὴ συγχωρȣντος;*

*Η δὲ Πευκη πολὺ ἐλάσσων νῦν ἐςι, καὶ, χρωμένοις τοῖς μέτροις τȣ Στράβωνος, περὶ τριακοσίȣς ςαδίȣς τῆς θαλάσσης ἀφίςαται, ἐκτὸς εἰμή τις τὴν προκειμένην τῆς ἐν τῇ Δομπρίτζῃ Δȣλτζῆς φρȣρίȣ νῆσον τὴν Πεύκην οἴοιτο. Αλλ' ἦν μέν ποτε καὶ αὕτη μέρος τῆς Πεύκης, νῦν δὲ πολὺ ἀφίςαται τȣ αὐχένος, ὅς μοι δοκεῖ κατὰ τὸν ςρατιωτικὸν τȣ Μπράȣερ τῆς Μολδόβης χωρογραφικὸν πίνακα, τὸν ἀκριβέςερον ἴσως παντὸς ἑτέρȣ τυγχάνοντα, ἐν ἀριςερᾷ τῆς ἀνωτέρω Ιαλποὺχ ἱςρολίμνης ἐςί· Εντεῦθεν ὁ Ιςρος διασχίζεσθαι πάλιν ἄρχε-*

ται, καὶ νησίδια ἐνταῦθα μετὰ τὴν διάσχισιν, καὶ κατωτέρω ὀλίγον, ἕτερον νησίον, τȣ̃ φρȣρίȣ Ισμαὴλ προκείμενον, μέρη τῆς Πεύκης νήσου τὸ πάλαι, παλινδρομȣ̃ντος τȣ̃ ῥεῖθρȣ, βίᾳ τῶν κατωτέρω προσχώσεων, τῶν τȣ̃ ποταμȣ̃ τὸ δάπεδον μετεωριζȣσῶν, καὶ ἐξηπειρȣσῶν τὸν τόπον, καὶ ἐπικλυζȣσῶν τὰ ἄνω μέρη, καὶ ποιȣσῶν τὰ πρότερον ἔξαλα, ὕφαλα. Μεγίϛη δὲ νῦν νῆσος ἡ προκειμένη τȣ̃ ἐν Βασσαραβίᾳ Κελλίȣ φρȣρίȣ. Σωληνᾶς δὲ, πάλαι μὲν μικρὸν κατὰ Στράβωνα ϛόμα, νῦν μόνος ἐϛὶ μεγάλαις ναυσὶ διὰ βάθος πλώϊμος, τȣ̃ ῥεύματος ἐνταῦθα ἐλάσσονα τρίψιν, διὰ τὴν ἐλάσσονα σκολιότητα, πάσχοντος, καὶ ὁρμητικώτερον φερομένȣ καὶ τὴν πρόσχωσιν καὶ μετεώρισιν τȣ̃ ἐδάφȣς ȣ̃τω κωλύοντος.

Α δὲ περὶ τῶν ἐκβολῶν τȣ̃ Ιϛρȣ, ὡς πρὸς τὴν νῦν θέσιν τῶν ϛομάτων καὶ τῶν διασχισμάτων, καὶ τῶν ἐν αὐτοῖς ἀπολαμβανομένων νήσων καὶ νησιδίων εἰρήκαμεν, ὡς πρὸς βάσιν βεβαίαν καὶ ἀψευδῆ τάχα,

τὸν τῦ Μπράυερ γεωγραφικὸν πίνακα τῆς Μολδόβης καὶ Βασσαραβίας ὁρῶσιν εἴρηται, μηδὲν δι' ἑτέρων καὶ ἐν Μολδόβῃ διατρίβυσι, μαθεῖν τι ἄξιον πίςεως ἔχυσιν· ὑμὴν ὑδὲ δι' ἑαυτῶν, καί περ μεγάλως ἐφιεμένων. Εθέλοντες γεμὴν μαθεῖν τι ἀκριβέςερον ἐκδόσεως τῷ ὄντι ἄξιον· ἤδη γὰρ καὶ ὁ Μπράυερ ἡμῖν ὕποπτος, καὶ ὑκ αὐτόπτης, ἀλλ' ἐσφαλμένων περιγραφῶν, παραγραφῶν τῷ ὄντι, χυδαῖος ἀκροατής, ἢ ἀπερίεργος ἑτέρων γεωγραφικῶν πινάκων ἀντιγραφεὺς ἐδόκει, τὸν νῦν ἐν Βασσαραβίᾳ διοικητὴν, ςρατηγὸν καὶ πολεμικὸν γεωμέτρην Αρτιγγ ἠρωτήσαμεν, εἴτις παρ' αὐτῷ ἀκριβεςέρα τῶν τῦ Ιςρυ ἐκβολῶν ἰχνογραφία εἴη, καὶ ἔχοντα ᾐτήσαμεν καὶ ἐλάβομεν· καὶ ἡ καθ' αὐτὸ Βασσαραβία τῦ ἐν τῷ τέλει τῦ βιβλίυ, χωραγραφικῦ τῆς Ρυμυνίας πίνακος, καθ' ὃν ἡμῖν ὁ ςρατηγὸς Αρτιγγ ἐδάνεισε χωρογραφικὸν πίνακα ἀντιγέγραπται καὶ κεχαλκογράφηται. Διενηνόχασι δὲ πολὺ κατὰ τῦτον αἱ ἐκβολαὶ τῦ Ιςρυ, πασῶν ὧν εἶδον ἐν ἑτέροις γεω-

γραφικοῖς πίναξι, καὶ πάντως αὗτος ἐςὶν ὁ ἀκριβέςερος πάντων, τοῖς ῥύσσοις ἤδη τῶν ἀπὸ τῶν ἐκβολῶν τȣ̃ Πρȣ́τȣ μέχρι τȣ̃ Πόντȣ, ἀριςερῶν παριςρίων ὑποχωρηθέντων· ὅτω, ῥαδίως ὅτοι γεωγραφικόν τι ἄξιον πίςεως ποιεῖν δύνανται.

Κατὰ τȣ̃τον ȣ̓̃ν τὸν γεωγραφικὸν τῆς Βασσαραβίας πίνακα, διασχίζεσθαι καὶ ποιεῖν τὰ ςόματα ὁ Ἰςρος ἄρχεται, πρὸς μεσημβρίαν πως τȣ̃ φρȣρίȣ Ἰσμαὴλ, ἐν ἀριςερᾷ τῆς λίμνης Ἰαλπȣ̀χ· καὶ ὁ ἀριςερὸς βραχίων κλίνει πως πρὸς τὸ βόρειον, καὶ ὁ δεξιὸς πρὸς τὸ ἀνατολικονότιον· ὥςε τὴν ἀρχὴν τῆς σχηματιζομένης νήσȣ, ȣ̓κ αὐχένα λεπτὸν, ἀλλ᾽ ὠμοπλάτην ὅλην, πλατεῖαν, μεγάλην εἶναι, καὶ τῷ ὄντι ἡρακλείαν, τȣ̃ πλάτȣς ἀπὸ Ἰσμαὴλ ὄντος μέχρι τῆς διασχίσεως. Ἡ νῆσος αὕτη, ἡ ἀρχομένη ἀπὸ τῆς διασχίσεως, καθήκει νῦν μέχρι θαλάσσης, πρὸς ἕω ἐκτεινομένη, καί ἡ μεγίςη ἐςὶ τῶν ἐν τοῖς ςόμασι τȣ̃ Ἰςρȣ. Αὕτη ἐςὶν ἡ Πεύκη τȣ̃ Στράβωνος, ἡ πάλαι μὲν κατ᾽ αὐτὸν ἑκατὸν εἴκοσι ςαδίȣς ἀπέ-

χȣσα τȣ̃ Πόντȣ, νῦν δὲ ὑπ' αὐτȣ̃ βρεχομένη. Εν δεξιᾷ ταύτης καὶ τȣ̃ Σωληνᾶ ςόματος, ἔςιν ἡ δευτέρα τὸ μέγεθος νῆσος, ἀπὸ θαλάσσης καὶ αὐτὴ ἀρχομένη, καὶ περαιȣμένη, πολὺ κάτω τῆς διασχίσεως, ȣ̓κ εἰς ὀξὺ, ἀλλ' εἰς πλατὺ καὶ αὐτὴ ἀπολήγȣσα. Υπὲρ αὐτῆς δὲ νησίδιον τρίγωνον, ȣ̃ τὴν κορυφὴν ὁ πρωτεύων δεξιὸς βραχίων τȣ̃ Ιςρȣ ποιεῖ, διασχιζόμενος εἰς τὸν Σωληνᾶν ἐν ἀριςερᾷ, καὶ εἰς τὴν αὔλακα τȣ̃ ἁγίȣ Γεωργίȣ ἐν δεξιᾷ· ἧδε βάσις βέβηκε τῇ ἀνωτέρω δευτέρᾳ νήσῳ τὸ μέγεθος. Τρίτη δὲ νῆσος τὸ μέγεθός ἐςιν, ἡ δεξιὰ τῆς δευτέρας, καὶ χωριζομένη ἀπὸ ταύτης τῇ τȣ̃ ἁγίȣ Γεωργίȣ αὔλακι ἢ ςόματι, πολὺ μείων ἑκατέρας τῶν ἀνωτέρω, καθήκȣσα καὶ αὕτη ἐς θάλασσαν. Εν ἀριςερᾷ δὲ τῆς μεγάλης νήσȣ, ἀναμεταξὺ Ισμαὴλ καὶ Κελλίȣ, ȣ̓ πόῤῥω τȣ̃ Ισμαὴλ, διασχιζόμενος ὁ ἀριςερὸς βραχίων τετράπλευρόν πως ποιεῖ, καθῆκον μέχρι Κελλίȣ, καὶ πολλὰ νησίδια ἐν ἑαυτῷ περιλαμβάνον· καὶ αὖθις κάτω τȣ̃ Κελλίȣ καὶ ȣ̓ πόῤῥω, διασχίζεται ὁ αὐτὸς βραχίων καὶ

κύλον μέγαν ποιεῖ, καὶ πολλὰ συμπερικλείει νησίδια, ἅ περ, μάλα προσφυῶς, κυκλάδας νήσȣς ὀνομάζειν δίκαιον. Ἔπειτα συνέρχεται πάλιν διασχισθεὶς ὁ βραχίων, καὶ συγκλειόμενος ἐσβάλλει ἐς τὸν Πόντον ἑνὶ ϛόματι, ὅ περ τὸ βορειότατον ἐϛί. Πρὸ δὲ τῆς εἰσβολῆς ταύτης νησίδια τέσσαρα κεῖνται μικρὰ παντάπασι. Τῆς δὲ αὔλακος τȣ̃ ἁγίȣ Γεωργίȣ διασχιζομένης καὶ ποιȣ́σης τὸ τρίτον τῷ μεγέθει νησίον, ἡ δεξιὰ αὖλαξ, πολὺ μείων τῆς ἀριϛερᾶς, εἰς λίμνην, Ραζὲλ ὀνομαζομένην, ἐσβάλλει, ἐς ἣν, καὶ ἕτερα ἑτέρωθεν ἐρχόμενα, ἐσβάλλȣσιν ὕδατα· αὕτη δὲ ἡ λίμνη ἐκβάλλει ἐς τὴν θάλασσαν δι᾽ ἑνὸς μεγάλȣ ϛόματος, καὶ διὰ δύω μικρῶν πάμπαν κατωτέρω. Συναριθμȣμένȣ ȣ̃ν καὶ τȣ̃ ϛόματος τῆς Ραζὲλ λίμνης, τέσσαρσι μεγάλοις ϛόμασιν ἐκβάλλει νῦν ὁ Ἴϛρος εἰς θάλασσαν, πάλαι δὲ, πέντε μὲν κατὰ τὸν Ἡρόδοτον, ἑπτὰ δὲ κατὰ τὸν Στράβωνα. Εἰσὶ δὲ καὶ ὑπὲρ τὴν πρωτεύȣσαν διάσχισιν τȣ̃ Ἴϛρȣ νησίδια, ὑπὲρ τȣ̃ αὐχένος τȣ̃ Ἡροδότȣ ὥς φησι καὶ Στράβων.

*Α δὲ παρ' ἡμῶν ἐῤῥέθησαν ἀνωτέρω περὶ τῆς νῦν καταστάσεως τῶν ἐκβολῶν τȣ̃ Ἴςρȣ, ἑπομένων ἑτέροις γεωγραφικοῖς πίναξιν, ειάθη ὡς εἴρηται ἤδη πρὸ δύο ἐνιαυτῶν, ἵν' οἱ ἀναγινώσκοντες εἰδείησαν ὡς ȣ̓δὲν γεωγραφικῶν πινάκων ἐςὶν ἀτελέςερον, καὶ ῥαδίως κρίνειν περὶ τȣ́των καὶ ἀποφαίνεσθαι, προπέτεια. Οἱ τȣ̀ς τόπȣς μόνον καλῶς εἰδότες ἰδίοις ὄμμασι χρώμενοι, καὶ ἐν τῇ φαντασίᾳ αὐτῶν μετὰ προσοχῆς καὶ τῆς προσηκȣ́σης ἐξετάσεως, ἐγκολαμμένας τὰς εἰκόνας αὐτῶν ἔχοντες, ȣ̃τοι καὶ ἀγράμματοι ὄντες, περὶ ὀρθότητος γεωγραφικῶν πινάκων κρίνȣσι κάλλιον. Οὐκȣ̃ν συγγνωμονικώτεροι ὦμεν, παλαιȣ̀ς πίνακας ὁρῶντες καὶ περιγραφὰς ἀναγινώσκοντες· εἰγὰρ νῦν τὰ τοιαῦτα σφαλμάτων ȣ̓ σπανίζȣσι, τί δεῖ περὶ τῶν παλαιῶν νομίζειν, οἳ τῶν εὐκολυντικῶν ἡμετέρων τρόπων ἐςέρηντο.*

*Ὁ δὲ ἱμὰς τȣ̃ Δαρείȣ βασιλικῆς τῷ ὄντι ἀμαθείας καὶ σκαιότητος καὶ ἀπονοίας τυγχάνει σημεῖον ἀναμφισβήτητον. Εἰδέ*

τις καὶ τῆς ὠμότητος αὐτȣ̃ καὶ ἀπανθρωπίας ζητεῖ σημεῖον, ἡ ἐκςρατεία αὕτη πασίδηλον. Προςεθείσθω δ' ὅμως καὶ τὸ ἐφεξῆς, τὸ ȣ̓κ ἀγρίας μόνον καὶ ἀπερισκέπτȣ βαρβαρότητος διάθεσιν δεικνύον, ἀλλὰ καὶ ἀςικὴν δολιότητα καὶ ἐσκεμμένην ἀπανθρωπότητα ἐμφαῖνον. Ἐξελαύνοντος τὸν ςρατὸν τȣ̃ βαρβάρȣ, Οἰόβαζος, φησὶν Ἡρόδοτος, ἐδεήθη, τριῶν ἐόντων οἱ παίδων, καὶ πάντων ςρατευομένων, ἕνα αὐτῷ καταλειφθῆναι· ὁ δὲ οἱ ἔφη, ὡς φίλῳ ἐόντι, καὶ μετρίων δεομένῳ, πάντας τȣ̀ς παῖδας καταλείψειν, καὶ κελεύει τȣ̀ς ἐπὶ τȣτέων ἐπεςεῶτας ἀποκτεῖναι πάντας τȣ̀ς Οἰοβάζȣ παῖδας· καὶ ȣ̃τοι ἀποσφαγέντες αὐτοῦ ταύτῃ ἐλίποντο.

Τῶν δὲ ἐθνέων τȣ́των οἱ σαυρομάται τὰ πρὸς βορέην ἄνεμον νέμονται ὑπὲρ ποταμὸν Τάναϊν, ἀρχόμενοι ἐκ τȣ̃ μυχȣ̃ τῆς Μαιήτιδος λίμνης· βȣδινοὶ δὲ ὑπεροικέȣσι τȣ́των, γῆν νεμόμενοι πᾶσαν δασέην ὕλῃ παντοίῃ, τῶν κατύπερθε πρὸς βορέην, ἔρημος, καὶ μετὰ ταύτην ἀποκλίναντι

μᾶλλον πρὸς ἀπηλιώτην, νέμονται Θυσσαγέται, ἔθνος πολλὸν καὶ ἴδιον. Συνεχέες δὲ τούτοισι Ἰύρκαι, ὑπὲρ δὲ τούτων, τὸ πρὸς τὴν ἠῶ τετραμμένον, οἰκέουσι σκύθαι ἄλλοι, ἀπὸ τῶν βασιληΐων ἀποστάντες. Οἱ βασιλήϊοι σκύθαι οἱ ἄριστοι καὶ τοὺς ἄλλους σκύθας νομίζοντες δούλους σφετέρους εἶναι. Κατήκουσι δὲ οὗτοι, τὸ πρὸς τὴν μεσημβρίην, ἐς τὴν Ταυρικὴν, ἀπὸ τῶν ταύρων οὕτω παρονομαζομένην. Τὰ δὲ κατύπερθε, πρὸς βορέην ἄνεμον, οἰκέουσι μελάγχλαινοι, εἵματα μέλανα πάντες φορέοντες. Πέρην μὲν οὖν τοῦ Γέῤῥου ποταμοῦ οἰκέουσι οἱ βασιλήϊοι σκύθαι, ἐντὸς δὲ, οἱ νομάδες σκύθαι, τοὺς ἕλληνες, οἱ οἰκέοντες ἐπὶ τῷ Ὑπανι ποταμῷ, βορυσθενεΐτας καλέουσι, σφέας δὲ αὐτοὺς, ὀλβιοπολίτας. Στράβων δέ φησι, πλεύσαντι δὲ τὸν βορυσθένη σταδίους διακοσίους, ὁμώνυμος αὐτῷ πόλις ἐστὶν, ἡ δ' αὐτὴ καὶ Ὀλβία καλεῖται, μέγα ἐμπορεῖον, κτίσμα μιλησίων. Ἐντεῦθεν ὡς ἀπὸ μεσαιτάτου τῆς Σκυθίας, τῆς περιγραφῆς Ηρόδοτος ἄρχεται. Τῶν γεωργῶν κατύπερθε,

*πρὸς βορέην ἄνεμον, ἀνδροφάγοι οἰκέουσι. Τὰς δὲ Θυσσαγέτας πολλὸν καὶ ἴδιον ἔθνος ὄντας, καθ' Ηρόδοτον, πατέρας αὐτὰς τοῦ νῦν μεγάλου ἔθνους τῶν σλάβων, τοῦ ἀπὸ Βόλγα μέχρι Τριὲς, καὶ ἀπὸ Βαλτικῆς θαλάσσης μέχρι Θεσσαλίας ἐκτεινομένου, ἡγεῖσθαι, μὰ τὴν ἀλήθειαν, πιθανότητος καὶ λόγου οὐκ ἀλλότριον.*

*Ταῦτα μὲν πρὸς ἠῶ τοῦ Βορυσθένεος. Πρὸς δὲ ἑσπέρην πρῶτοι καλλιπίδαι, ἐόντες ἕλληνες σκύθαι, ὑπὲρ τούτων ἀλαζόνες. Οὗτοι καὶ οἱ καλλιπίδαι, καὶ σῖτον σπείρουσι, καὶ σιτεύονται, καὶ κρόμμυα καὶ φακοὺς καὶ σκόροδα καὶ κέγχρους. Υπὲρ δὲ ἀλαζόνων οἰκέουσι σκύθαι ἀροτῆρες, οἳ οὐκ ἐπὶ σιτήσει σπείρουσι τὸν σῖτον ἀλλ' ἐπὶ πρήσει. Τούτων δὲ κατύπερθε οἰκέουσι νευροί. Οἱ δὲ γελωνοὶ, εἰσὶ τὸ ἀρχαῖον ἕλληνες, ἐκ δὲ τῶν ἐμπορείων ἐξαναστάντες, οἴκησαν ἐν τοῖσι βουδινοῖσι, καὶ γλώσσῃ, τὰ μὲν, σκυθικῇ, τὰ δὲ, ἑλληνικῇ χρέονται. Βουδινοὶ δὲ οὐ τῇ αὐτῇ γλώσσῃ χρέονται, γελωνοῖς, ὑπὸ μέντοι ἑλλήνων καλέονται*

*καὶ οἱ βυδινοὶ, γελωνοὶ, ὐκ ὀρθῶς καλεύμενοι.*

*Η Σκυθία τῦ Ηροδότυ, πρὸς ἑσπέραν καὶ βοῤῥᾶν καὶ ἕω, αὕτη ἐςί. Τῦ Ηροδότυ λέγοντος, Εἰσὶ δὲ οἵδε οἱ μέγαν τὸν Ιςρον ποιεῦντες ποταμοὶ, διὰ μέν γε τῆς σκυθικῆς χώρης, πέντε μὲν οἱ ῥέοντες, τόν τε σκύθαι Πόρατα (μᾶλλον δὲ Πύρατα* (1)*) καλέυσι, ἕλληνες δὲ πύρετον, καὶ ἄλλος Τιαραντὸς, καὶ Αραρός τε καὶ Νάπαρις καὶ Ορδησσός. Ο μὲν πρῶτος λεχθεὶς τῶν ποταμῶν (ὁ Πύρατα), μέγας καὶ πρὸς ἠῶ ῥέων, ἀνακοινῦται τῷ Ιςρῳ τὸ ὕδωρ· ὁ δὲ*

---

(1) *Τεκμαίρομαι δὲ ὅτι Πούρατα ἔλεγον οἱ σκύθαι, καὶ οὐ Πόρατα, τῇ τε προφορᾷ τῶν νῦν κατοίκων Προυτ λεγόντων· καὶ τῇ γραφῇ τῇ ἑλληνικῇ· τὸ γὰρ υ πάντως οὐχ ὡς ι προέφερον οἱ ἕλληνες· εἰ γὰρ οὕτω, περιττὸν ἂν ἦν πάντως τὸ υ. Πῶς δὲ προὔφερον οἱ ἕλληνες; Εμοὶ δοκεῖ ὡς νῦν καὶ οἱ φρανσαῖοι, καὶ ὡς προφέροι τις ἂν τὸ ιου μονοσυλλάβως ἐπιτροχάδην διαλεγόμενος, καὶ ἡ προφορὰ αὕτη εἴθισται καὶ νῦν παρὰ τοῖς ἕλλησι. Θαύματος δὲ ἄξιον ὅτι τὸ ἰύρκης τοῦ Ηροδότου καὶ τὸ τύρκος καὶ τὸ κύρτος τοῦ Στράβωνος, προφέρονται καὶ νῦν ἔτι ὑπὸ τῶν ἐπιχωρίων καθ' ἣν ἐγὼ προφορὰν τεκμαίρομαι τὴν τῇ τοῖ ου πλησιάζουσαν.*

δεύτερος, καλȣμενος Τιαραντὸς, πρὸς ἑσπέρης τε μᾶλλον, καὶ ἐλάσσων. Ο δὲ δὴ Αραρος καὶ ὁ Νάπαρις καὶ ὁ Ορδησσὸς, διὰ μέσȣ τȣ́των ἐόντες, ἐσβάλλȣσι ἐς τὸν Ιςρον. Οὗτοι μὲν αὐτιγενέες ποταμοὶ σκυθικοὶ συμπληθύȣσι αὐτόν. Εκ δὲ ἀγαθύρσων Μάρις ποταμὸς ἰέων συμμίσγεται τῷ Ιςρῳ . . . . . Ετέρωθι δὲ πάλιν. Ηδη ὦν ἀπὸ μὲν τȣ̃ Ιςρȣ τὰ κατύπερθε ἐς τὴν μεσόγαιαν φέροντα, ἀποκλήιται ἡ Σκυθικὴ, ὑπὸ μὲν πρώτων, ἀγαθύρσων· μετὰ δὲ, νευρῶν· ἔπειτα δὲ, ἀνδροφάγων· τελευταίων δὲ, μελαγχλαίνων. Επειτα ἀπαριθμεῖ τȣ̀ς πρὸς ἕω τȣ̃ Ιςρȣ, καὶ μετ' αὐτὸν ὀνομάζει Τύραν, ȣ̔ ἐπὶ τῷ ςόματι κατοίκηνται ἕλληνες. οἳ τυρῆται καλέονται· Υπανιν, Βορυσθένη, ὅς ἰχθύας καλλίςȣς τε διακριδὸν καὶ πλείςȣς παρέχεται· πίνεσθαί τε ἥδιςος ἐςί· ποίη τε, τῇ ȣ̓ σπείρεται ἡ χώρη, βαθυτάτη καὶ ἐπιχυλωτάτη πασέων ποιέων τῶν ἡμεῖς ἴδμεν, γίνεται, ἅλεςτε ἐπὶ τῷ ςόματι αὐτȣ̃ αὐτόματοι πήγνυνται ἄπλετοι· κήτεά τε μεγάλα, ἀνά-

κανθα, τὰ, ἀντακαίϐς καλέϐσι, παρέχεται εἰς ταρίχευσιν, ἄλλα τε πολλὰ θωϋμάσαι ἄξια· · · · ἀγχϐ δὲ θαλάσσης οἱ συμμίσγεται ὁ Ὕπανις, ἐς τῶϋτὸ ἕλος ἐκδιδϐς· Παντικάπην σύμμισγόμενον τῷ βορυσθένεϊ· Ὑπάκυριν, ἕβδομον Γέῤῥον καὶ τέλος, ὄγδοον τὸν Τάναϊν, ὅς ἐκδιδοῖ ἐς τὴν καλεομένην λίμνην Μαιῆτιν, ἣ ϐρίζει σκύθας τε τϐς βασιληίϐς καὶ σαυρομάτας. Ταῦτα, λέγω, τϐ Ηροδότϐ λέγοντος δῆλα τὰ ὅρια αὐτῆς, ὁ Ιςρος μέχρι τϐ Ολτϐ ἢ καὶ ἐπέκεινα, μέχρι τϐ ὁρίϐ τῆς Κραϊοβικῆς καὶ τϐ Μπανάτ· καὶ γὰρ καὶ μετὰ ταῦτα καὶ ἑτέρων παρομοίων ἐθνῶν τὸ κράτος ὁρῶμεν μέχρι τϐτϐ, ὡς φυσικὸν ὅριον ὄντος, ἐκτεινόμενον· ϐδ' ἐξ ὧν Ηρόδοτος λέγει, συνάγειν ἔχοι τις ἂν τὸν Ολτον ὁριςὸν ὅριον· ὑπὲρ Ιςρϐ δὲ ὃ καὶ νῦν τὸν Ρϐμϐνικὸν ἀγρὸν τϐ Αρδελίϐ διορίζει ὅριον διὰ τϐ βορείϐ τῆς Μολδόβης μέχρι τϐ Τύρα ἀφικνϐμενον· πάντως γὰρ ἡ χώρα τῶν ἀγαθύρσων καὶ ἐς τὸ βόρειον τῆς Μολδόβης ἐξ ἕω παρετείνετο, καὶ ἐκ δυσμῶν

ἴσως μέχρι τῆς συμβολῆς τȣ̃ Ἰςρȣ καὶ τȣ̃ Μάρεως· πάλαι γὰρ ὁ Μάρις, ἔλεγον, εἰσβάλλει εἰς τὸν Ἴςρον καὶ ȣ̓χ ὁ Τισσός· νῦν ȣ̃τος ὑπερίσχυσε, καὶ τἀναντία λέγομεν. Ἐξ ἔω δὲ, ὅριον τῆς Σκυθίας τȣ̃ Ἡροδότȣ ὁ Τάναϊς. Ἀγάθυρσοι δὲ ἁβρότατοί εἰσι καὶ χρυσοφόροι τὰ μάλιςα· ἐπίκοινον δὲ τῶν γυναικῶν τὴν μίξιν ποιεῦνται (κοινὸν τȣ̃το καὶ ἄλλοις σκύθαις), ἵνα κασσίγνητοίτε ἀλλήλων ἔωσι, καὶ οἰκήιοι ἐόντες πάντες, μήτε φθόνῳ, μήτε ἔχθεϊ χρέωνται ἐς ἀλλήλȣς.

Ἡμῖν δοκεῖ ἡ πολύχρυσος ἄρκτος Ἡροδότȣ, ἡ χώρα τῶν ἀγαθύρσων εἶναι, νεμομένων τὰ μέχρι Τισσȣ̃ ἴσως. Ἐκ δὲ ἄρκτȣ, φησὶ, τῆς Εὐρώπης πολλῷ τοι πλεῖςος χρυσὸς φαίνεται ἐὼν, ὅκως μὲν γινόμενος ȣ̓κ ἔχω τȣ̃το ἀτρεκέως εἶπαι. Εἰ δὲ ἀγνοȣ̃ντι ἔοικεν, ȣ̓δὲν ξένον· καὶ γὰρ καὶ τὸ ἤλεκτρον καὶ τὸν κασσίτερον, τὰ πολὺ πρὸ τȣ̃ Ὁμήρȣ, καὶ πρὸ τȣ̃ τρωϊκȣ̃ πολέμȣ, εἰς τὰ μεσημβρινὰ τῆς Εὐρώπης καὶ ἁπλῶς ἐς τὰ παραμεσόγεια κομιζόμενα, ὁμολογεῖ μὲν

ἐκ τῶν ἐσχάτων τῆς Εὐρώπης φοιτᾷν ἑκάτερα, διαπορεῖ δὲ περὶ τȣτων ὅλως καὶ ἀμφιβάλλει· φησὶ γὰρ, περὶ δὲ τῶν ἐν τῇ Εὐρώπῃ τῶν πρὸς ἑσπέρην ἐσχατιέων, ἔχω μὲν ȣ̓κ ἀτρεκέως εἶπαι· ȣ̓́τε γὰρ ἔγωγε ἐνδέκομαι Ηριδανὸν καλέεσθαι πρὸς βαρβάρων ποταμὸν, ἐκδιδόντα ἐς θάλασσαν τὴν πρὸς βορέην ἄνεμον, ἀπό τευ τὸ ἤλεκτρον φοιτᾷν λόγος ἐςὶ, ȣ̓́τε νήσȣς οἶδα κασσιτερίδας ἐȣ́σας, ἐκ τῶν ὁ κασσίτερος ἡμῖν φοιτᾷ. Τȣ̃το μὲν γὰρ ὁ Ηριδανὸς αὐτὸς κατηγορέει τὸ ὄνομα, ὡς ἔςιν ἑλληνικὸν καὶ ȣ̓ βάρβαρον, ὑπὸ ποιητȣ̃ δέ τινος ποιηθέν· ȣ̓́τε δὲ ȣ̓δενὸς αὐτόπτεω ȣ̓ δύναμαι ἀκȣ̃σαι μελετῶν, ὅκως θάλασσά ἐςι τὰ ἐπέκεινα Εὐρώπης. Ἐξ ἐσχάτων δ᾽ ὦν τῆς Εὐρώπης ὁ κασσίτερος ἡμῖν φοιτᾷ καὶ τὸ ἤλεκτρον. Ἐςι δ᾽ ȣ̓̃ν καὶ ἀπορȣ̃ντος καὶ ἀμφιβάλλοντος καὶ τρόπον τινὰ, ἀπαναινομένȣ τȣ̃ Ηροδότȣ, πολλȣ̃ λόγȣ ἄξια τὰ λεγόμενα· μανθάνομεν γὰρ καὶ παρ᾽ αὐτȣ̃, καί τοι ἀπαναινομένȣ πως, ἃ καὶ τοῖς πρὸ αὐτȣ̃ ἦσαν ȣ̓κ ἄγνωςα· οἴδαμεν γὰρ νῦν ὅτι

ἐκεῖθεν ἀφικνεῖται καὶ νῦν ἡμῖν καὶ ὁ κασσίτερος καὶ τὸ ἤλεκτρον, καὶ τὰ νῦν γινωσκόμενα ἐπικυροῖ τὰ πάλαι ἀμφιβαλλόμενα. Οὐμὴν ἐδὲ τὰ ὀνόματα ποιητȣ̃ τινός εἰσι πλάσματα, ἀπροσεξίᾳ δὲ καὶ ἀνεπιςασίᾳ τοιαῦτα ἐῤῥέθησαν, ὡς εἰμὴ ᾔδει καὶ τὴν τότε μανίαν τȣ̃ μεταφράζειν τὰ ἀμετάφραςα, ἢ μηδ᾿ ὅλως τῷ νῷ τῶν λεγομένων προσέχοντας, ἀντικαθιςᾶν ἑτερογλώσσοις ἐκείνοις ἕτερα ἐθνικὰ τάχα καὶ ἰδιόγλωσσα ὀνόματα, δέον τὰ κύρια τῶν ὀνομάτων ἀμετακίνητα καὶ ἀπαράλλακτα, ὡς ἔνι, φυλάττειν, καὶ τὴν ἱςορίαν ὅτω καὶ τὴν γεωγραφίαν πολλῶν δυσχερειῶν ἀπαλλάττεσθαι.

Ἀλλ᾿ ὀρέγεσθαι μὲν μανθάνειν, ὡς ἴδιον ἀνθρώπȣ, μὴ δύνασθαι δὲ καὶ ἀγνοεῖν ὁμολογεῖν, ἐπαινετέον· περιμένειν δὲ ἐπιμένοντα καὶ σπȣδάζοντα, ἤτοι παρ᾿ ἑαυτȣ̃ ἢ παρ᾿ ἄλλων μαθεῖν τὴν ἀλήθειαν, καὶ ἐπέχειν περὶ τῶν μὴ δοκȣ́ντων, μηδὲν ὑποτιθέμενον, μηδὲν ἀποφάσκοντα, μηδὲν ἀποφαινόμενον, μηδὲν ἀνεξετάςως παρα-

δεχόμενον ἢ ἀποδεχόμενον, φιλόσοφον. Ἀλλ' οἱ ἄνθρωποι ȣ̓χ ȣ̔́τως τὰ πολλὰ ἐπὶ τὰς γνώσεις τῶν ὄντων βαδίζȣσιν. Οὐ λόγος ἐνταῦθα περὶ τῶν ἀλευροπτέρων ψυχαρίων, περὶ τῶν ἀτεχνῶς ὄντων σκιαὶ ἀΐσσȣσαι, ὡς οἱ πολὺ πλείȣς δὶ ἠθικὴν ἢ φυσικὴν περίςασιν· ἀλλὰ περὶ μόνων, οἵ οἷοι πέπνυνται, οἵπερ, κακῇ τύχῃ, τῶν λόγȣ μετεχόντων, πολλοςημόριον· καὶ γὰρ καὶ οἱ τοιȣ̃τοι, ὁτὲ μὲν ἄγαν τȣ̃ μαθεῖν καὶ ἀποφαίνεσθαι ἐφιέμενοι, καὶ τὴν ἄγνοιαν, ἣν εἰλικρινῶς ὁμολογεῖν, φιλόσοφον, ἀχθηροτέραν σφίσιν Ὀλύμπȣ καὶ Ὄσσης, καὶ ἀνύποιςον ἀνάνδρως ἡγȣ́μενοι, πραγμάτων ςερȣ́μενοι, ὑποθέσεσι χαίρȣσιν· ὁτὲ δὲ, τȣ̀ς λόγȣς τῶν πρὸ αὐτῶν ἐξετάζειν καὶ ἐν χοάνῳ οἱονεὶ χυμικῷ δοκιμάζειν, ἢ μὴ βȣλόμενοι, ἢ μὴ δυνάμενοι, ἢ νωθρεύοντες· τείνει γὰρ ὡς ἐπὶ κέντρον ὁ ἄνθρωπος ἐπὶ τὴν νωθρότητα, ἢ τέλος, εἴπωμεν καὶ τȣ̃το τὸ συμβαῖνον συχνότερα, πάθεσι καὶ ἀσθενείᾳ ψυχῆς κωλυόμενοι, τὰ μὲν, ȣ̓δ' ἀνενεγκεῖν ἠξίωσαν, τὰ δὲ, ὡς μύθȣς καὶ

πλάσματα τάχα ἀναφέροντες, ἀπέῤῥιψαν, ἄνδρες ἄλλως ἀξιόλογοι καὶ πολλῦ σέβατος καὶ εὐγνωμοσύνης ἄξιοι.

Ἀλλὰ χάρις μὲν αὐτοῖς μὴ σιωπήσασι, καὶ διὰ τὰ δοκῦντα αὐτοῖς πλάσματα, ἃ δὲ περιφρονηθέντα, σιωπῆς ἔτυχον, πόθον ταῦτα πολὺν ἡμῖν ἐςερημένοις ἐμβάλλει καὶ μομφῆς ἀξία ἡ σιωπὴ κρίνεται. Ἡρόδοτος μὲν ὤν, τῦ τε λόγυ καὶ τῦ ἤθυς τὸν χαρακτῆρα ἀςεῖος καὶ ἡδὺς τυγχάνων, γελῶ, φησιν, ὁρῶν γῆς περιόδυς πολλὺς γράψαντας, οἳ Ὠκεανόν τε γράφυσι πέριξ, τήν τε γῆν κυκλοτερέα ὡς ἀπὸ τόρνυ. Στράβων πάλιν σπυδαιότερος καὶ καθαπτικώτερος τῦ δέοντος τυγχάνων, Ἡρόδοτον καὶ Ἑλλάνικον καὶ Εὔδοξον παρὰ λόγον περιφρονῶν, καὶ καταψεύδεσθαι καὶ καταφλυαρεῖν αὐτὺς λέγων, καὶ ταῦτα ἀναντιῤῥήτως τἀληθῆ λέγοντας, ὡς τάχα φαντασιογεννήματα μὴ προσφερόμενος, ἔλαθεν ἑαυτὸν, ἀφιλόσοφα πάντη προσενεχθεὶς, καί τοι τὸ τῆς φιλοσοφίας ὄνομα ἐπὶ ςόματος ἀεὶ φέρων καὶ φιλόσοφος τῷ ὄντι τυγχάνων,

καὶ ἀντὶ πλασμάτων, ἀπεσύριξε τὴν ἱερὰν ἀλήθειαν. Πυθέᾳ δὲ τῷ μασσαλιώτῃ, ἀντὶ τȣ̃ σέβεσθαι αὐτὸν πολλὰ γεωγραφίας ἕνεκα πονήσαντα, ἐχθροπαθέϛερον φέρεται, καὶ τὸ καταψεύϛης καὶ καταφλύαρος μᾶλλον ἐπιδαψιλεύεται, καὶ ȣ̓ δ᾽ ὑπάρξαι ποτὲ τὴν αὐτȣ̃ περιήγησιν οἴεται. Ἀλλ᾽ εἰ καὶ λεπτολογίαι τινὲς ἀπίθανοι, ἡ περιήγησις γεμὴν τȣ̃ Πυθέα πάντως ὑπῆρξε, καὶ ὁ σοφὸς ἡμῖν καὶ ἀκάμαντος μασσαλιώτης μέχρι τȣ̃ ϛόματος τῆς Βαλτικῆς καὶ ἐπέκεινα ἴσως ἀφίκετο, τῶν μερῶν ἐκείνων πλεῖον καὶ πάλαι πλεȣμένων ἢ Ἡροδότῳ καὶ Στράβωνι, καὶ ἄλλοις ἐδόκει. Στράβων, εἰ περίληψίν τινα ἀκριβῆ ἐν τοῖς αὐτȣ̃ πονήμασι παρεμβεβλήκει τῆς τȣ̃ Πυθέȣ περιηγήσεως, πολὺ πολυτιμότερα ἦσαν ἂν ἡμῖν τὰ πολύτιμα αὐτȣ̃ συγγράματα. Ἀλλ᾽ ἴσως ἐν τῇ μὴ εὑρεθείσῃ ἔτι ἱϛορίᾳ αὐτȣ̃, ἡ ἀξιόλογος αὕτη περιήγησις παρεμβέβληται, ἐς ἀναίρεσιν πάντως· καὶ εἴθε ἡμῖν καὶ ταύτην τὴν ἀξιολογωτάτην πάντως ἱστορίαν ὁ χρόνος ἀνακαλύψειεν.

Ἀλλὰ μήποτε τὰ ἐπὶ Στράβωνος τὸν αὐτὸν ἔχει λόγον πρὸς τὰ ἐφ' Ἡροδότε, ὃν καὶ τὰ ἐπὶ τέτε πρὸς τὰ ἐφ' Ὁμήρε, καὶ ᾔδεσαν οἱ ἐφ' Ὁμήρε κάλλιον τὰ βόρεια, ἤπερ οἱ ἐφ' Ἡροδότε, ὥςπερ καὶ αὐτὸς Ἡρόδοτος ᾔδει κάλλιον τινὰ τὲ λογοποιὸν φάσκοντος αὐτὸν Στράβωνος; Ὁμήρε γὰρ λέγοντος,

„Ἐγγὺς γὰρ νυκτός τε καὶ ἤματός εἰσι κέλευθα,
„Ἔνθα δὲ κιμμερίων ἀνδρῶν δῆμοι τε, πόλεις τε,
„Ἠέρι καὶ νεφέλῃ κεκαλυμμένοι· οὐδέ ποτ' αὐτοὺς,
„Ἠέλιος Φαέθον ἐπιδέρκεται ἀκτίνεσσιν,
„Ἀλλ' ἐπὶ νὺξ ὀλοὴ τέταται δειλοῖσι βροτοῖσι.

φανερὸν ὅτι τὰ ὑπερβόρεια γνωςότερα ἐτύγχανον· ἐ γὰρ ἂν Ὅμηρος τοιαῦτα ἔλεγε, καὶ πλάττειν αὐτὸν ὑποτιθέναι, ὧν τὴν ὕπαρξιν ἀγνοεῖν ὑποτίθεμεν, μὰ τὴν ἀλήθειαν, ὃ δ' ἡμῖν θέμις, ὃ δ' αὐτῷ δυνατόν. Οἴδαμεν νῦν ὅτι πράγματα τὰ πάλαι καὶ νῦν ὑφαυχένως καὶ ἀλαζόνως νομιζόμενα πλάσματα. Ἀλλ' Ὅμηρος ἀληθεύει; ἴσως καὶ μὴ βελόμενος, μὴ πιςεύων καὶ αὐτὸς τὰ πρὸ αὐτε ἢ καὶ ἐπ' αὐτε γινωσκόμενα, καὶ αὐθεντείᾳ ποιητικῇ, μύ-

θοις εἰς τὰ σκοπȣ́μενα τοῖς λεγομένοις χρώμενος, ὡς καὶ Στράβων οἴεται.

Στράβων ἀπιςεῖν ἅπαξ γνȣ̀ς, ὁμηριςὴς δὲ ἄλλως μέγας τυγχάνων, εἰς ἀλληγορίας καὶ αἰνίγματα καταφεύγει, τῷ μασσαλιώτῃ Πυθέᾳ συμφάσκειν κατ' ȣ̓δένα τρόπον βȣλόμενος, ἰσχυρογνωμονῶν ἐκτόπως νὴ τὴν ἀλήθειαν. Καὶ μὴν καὶ τὸν κιμμέριον, φησὶ, βόσπορον οἶδε καὶ τȣ̀ς κιμμερίȣς, οἳ, κατ' αὐτὸν ἢ μικρὸν πρὸ αὐτȣ̃, μέχρις Ἰωνίας ἐπέδραμον τὴν ἐκ Βοσπόρȣ πᾶσαν. Αἰνίττεται γȣ̃ν καὶ τὸ κλίμα τῆς χώρας αὐτῶν ζοφῶδες ὂν, ἐν οἷς λέγει,

Ἠέρι καὶ νεφέλῃ . . . .

καὶ κατωτέρω αὖθις φησὶ, καὶ τȣ̀ς κιμμερίȣς εἰδὼς τȣ̀ς κατοικȣ̃ντας τὸν κιμμέριον βόσπορον, πρὸς βοῤῥᾶν ὄντα καὶ ζοφώδη, μετήγαγεν εἰς σκοτεινόν τινα τόπον οἰκείως τὸν καθ' ᾅδην, χρήσιμον πρὸς τὴν μυθοποιίαν τὴν ἐν τῇ πλάνῃ. Ἤδει, ναί, τȣ̀ς κιμμερίȣς, ἀλλ' ἐνταῦθα τῷ Ὁμήρῳ λόγος οὐ περὶ τῶν ἐν Βοσπόρῳ κιμμερίων, ἀλλὰ

περὶ τῶν κιμμερίων τῶν παρωκεανίων, ὅπυ

„Εγγὺς νυκτός τε καὶ ἤματος εἰσὶ κέλευθα.

ὅπυ ὁμίχλαι παχεῖαι σχεδὸν ἀΐδιαι, καὶ ζόφος καὶ μεσυρανῦντος ἡλίυ, ὥς περ ἐν τῷ βορείῳ τῦ Δαϋτζλὰνδ· καὶ φάσκειν μετάγειν τὺς βοσπορίυς εἰς ἕτερον τόπον, καὶ παρέκλαμβάνειν ὕτω καὶ διαςρέφειν τὸν νῦν τῦ ποιητῦ πρὸς ἀρέσκειαν, περιττὸν πάντη πάντως ἐςὶ καὶ ἄχαρι, καὶ ἀνθομηρικὰ τῷ ὄντι πράττειν παντάπασιν. Ηδει καὶ τὸν Ωκεανὸν καὶ τὰς πλημμύρας αὐτῦ, καὶ παρ' αὐτῷ ἀψόῤῥοος ἐςί.

„Τρὶς μὲν γὰρ ἀνίησιν ἐπ' ἤματι, τρὶς δ' ἀναροιβδεῖ (1).

Ο κασσίτερος καὶ τὸ ἤλεκτρον γνωςὰ ἦν καὶ πρὸ αὐτῦ ἔτι· ἔτι δὲ καὶ οἱ τόποι ἀφ' ὧν ἀφικνῦντο. Ηδει καὶ τὰ πρὸς δυσμὰς τῆς Αφρικῆς, καὶ τὰ πρὸς μεσημβρίαν καὶ ἀνατολὰς, καὶ ὁ τῆς Αφρικῆς περίπλυς πρὸ αὐτῦ πάντως ὐκ ἐτύγχανε σπάνιος· εἰ δ' ἠμφισβήτηται μετ' αὐτὸν, ὐδὲν ξένον, καὶ

---

(1) Ει δὲ μὴ τρὶς ἀλλὰ δὶς, τάχα τῆς ἱςορίας παραπεσύσης ἢ τῆς γραφῆς διημαρτημένης, φησὶν ὁ Στράβων.

Κασπία ἡ ἀπ' ἑωὔτῆς θάλασσα, ἠνέωκται πολὺ ὕςερον.

„Ἀλλά σε ἐς ἠλύσιον πεδίον....
Τῇ περ...
„Ου νιφετὸς ὔτ' ἄρ χειμὼν πολὺς, ὔτέ ποτ' ὄμβρος.
„Αιθίοπες τοὶ διχθὰ δεδάαται ἔσχατοι ἀνδρῶν
„Οι μὲν, δυσσομένυ Ὑπερίωνος, οἱ δ', ἀνιόντος.

Ηδεσαν ὖν ἐφ' Ομήρυ καὶ πρὸ αὐτῦ, ὅτι ἐςὶ τόπος ἐν ᾧ ἡ δύσις ἐγγύς ἐςι τῇ ἀνατολῇ, καὶ δῆμοι καὶ πόλεις ἐν τοῖς παρωκεανίοις· καὶ τὺς κατοίκυς τῆς ἑῴας καὶ δυτικῆς Αφρικῆς, ὅπυ διηνεκὲς τὸ θέρος· καὶ πόθεν τὸ ἤλεκτρον καὶ ὁ κασσίτερος, καὶ ὡς πολυτίμητόν τι ἱςορικὸν τῶν παλαιῶν γνώσεων, ἡγητέον τὰ τῦ γηραιῦ καὶ γεραρῦ Ομήρυ ποιήματα, ἀλλ' ὐχὶ ὡς πλάσματα αἰνιγματωδῶς ψυχαγωγίας, ἢ διδασκαλίας χάριν μόνον γραφέντα, ἡγεῖθαι ἀσεβῶς τὰ γραφόμενα.

Διονύσιος μὲν ὁ περιηγητὴς δέχεται τὴν περιήγησιν τῦ Πυθέα, καὶ τὴν Θύλην πολλῷ βορειοτέραν τῶν βρετανίδων νήσων εἶναι λέγει, ἐν οἷς φησὶ,

„Πολλὴν δὲ προτέρωσε ταμὼν ὁδὸν Ὠκεανοῖο,
„Νῆσον κεν Θὕλην εὐεργεῖ νηῒ περήσαις,
„Ενθα μὲν ηελίοιο βεβηκότες ἐς πόλον ἄρκτων,
„Ημαθ' ὁμῦ καὶ νύκτας ἀειφανὲς ἐκκέχυται πῦρ.

ὁ δ' ὑπομνηματιςὴς αὐτȣ̃, ὁ βαθὺς Ευςάθιος, ἐπιπόλαιος ἱςορικὸς καὶ ἀγεωμέτρητος καὶ ἀγεώγραφος ὢν, τὰ ἐν τοῖς βορείοις ἡλιακὰ συμβαίνοντα, ὑπερβολὰς καὶ πλέον τι ὑπερβολῶν οἴεται, ὅ ἐςι, μύθȣς καὶ πλάσματα, μηδεμιᾶς ἐχόμενα βάσεως· καὶ τὸν Ηρόδοτον ὡς ἀπὸ χρηςηρίȣ ἐπάγεται μάρτυρα, μάλα ἐπιπολαίως, δέον τινὰ τῶν ἐκεῖθεν εἰς Κωνςαντινȣ́πολιν φοιτώντων, ἐρωτᾶν καὶ μανθάνειν φυσικὰ ἀναγκαῖα καθ' ἕκαςον ἐνιαυτὸν συμβαίνοντα. Εφοίτων δὲ ἐκ Νορβεγίας ἔμποροι ἐς Κωνςαντινȣ́πολιν, καὶ μάρτυς τȣ̃ λόγȣ ὁ ἱςορικὸς Προκόπιος, ὁ καὶ περὶ τῆς Θȣ́λης λαλήσας, καὶ Νορβεγίαν ταύτην οἰόμενος. Οπȣ τὴν φύσιν αὐτὴν μάρτυρα ἔχομεν, Αριςοτέλη τε καὶ Πλάτωνα, Νεύτωνά τε καὶ Λεϊβνίτιον, Ιπποκράτη τε καὶ Βοεῤῥάβιον καὶ τȣ̀ς λοιπȣ̀ς σεβασμίȣς εὐερ-

γέτας τῦ ἀνθρωπίνυ γένυς, ἐπάγειν ἐς βεβαίωσιν τῦ λόγυ, ἄτοπον.

Ιδὲ τοίνυν ἃ λέγει ὁ Ευςάθιος ὑπομνηματίζων τὸν Διονύσιον. Ενθα (ἐν τῇ Θύλῃ) φησὶν (ὁ Διονύσιος) ἤματα ὁμῦ καὶ νύκτας ἀειφανὲς ἐκκέχυται πῦρ· ὁπηνίκα ἥλιος βεβήκοι ἐς πόλον ἄρκτων, ἐν καρκίνῳ γενόμενος. Αλλὰ τῦτο μὲν ὑπερβολικὸν, τὸ, ἀδιάδοχον ἐν τῷ τοιύτῳ καιρῷ, εἶναι τὴν ἡμέραν ἐκεῖ· ἐκεῖνο δὲ καὶ ἐπὶ πλέον ἐκπίπτει ὑπερβολῆς, ὅ δή τινες ἱςόρησαν, τὸ τὸν μὲν θερινὸν ἥλιον ὑπὲρ γῆς εἶναι αὐτόθι, τὸν δὲ χειμερινὸν, ὑπὸ γῆν, ὡς ἐντεῦθεν τὸν ἐνιαυτὸν ἐν τῷ ἐκεῖ κλίματι μερίζεσθαι ἐς ἡμερονύκτιον ἕν, ἤγυν εἰς μίαν ἡμέραν καὶ εἰς μίαν νύκτα· καθὰ καὶ Ηρόδοτος περὶ τῶν κιμμερίων λέγων, φησὶ μὴ ἐνδέχεσθαι εἶναι, οἳ τὴν ἑξάμηνον νύκτα καθεύδυσι. Φασὶ δὲ ἄλλοι ἐπὶ τὰς ἄρκτυς ἐλθόντα τὸν ἥλιον, ποιεῖν παρατείνειν τὴν ἡμέραν ἐκεῖ, καὶ εἰς εἴκοσι θερινὰς ὥρας, καὶ εἰς πλεῖόν τι, ὀλιγίςων ὡρῶν ποιῦντα τὴν νύκτα, χειμῶνος δὲ τὸ

ἀνάπαλιν. Ταῦτα φησὶν ὁ βαθὺς Ευςάθιος, ἐπιπολαίως μάλα καὶ πάντως πάντη ἀγεώγραφα. Καὶ ἐν Οδυσσεία πάλιν σχολιάζων τὸν Ομηρον, ȣ κρεῖσσόν τι τȣτων λέγει περὶ τῶν ἀφορώντων κιμμερίȣς, γραμματικὸς μόνος κἀνταῦθα, καὶ δείκνυσιν ἑαυτὸν φιλοσοφικῆς ἱςορίας, ȣδ' ἄκροις χείλεσι, τὸ τȣ̃ λόγȣ, γευσάμενον.

Τὰ τȣ̃ Ομήρȣ τȣ̀ς κιμμερίȣς ἀφορῶντα, αὐτονομίᾳ ποιητικῇ ἐῤῥέθησαν, κατὰ τὸν Ευςάθιον, τῷ Στράβωνι ἑπόμενον, καὶ παρεξηγȣ̃νται ἄμφω τὸν Ομηρον, νὴ τὴν ἀλήθειαν, ἐπιπολαίως μάλα ἐνταῦθα περάσαντες· ȣδεμία γὰρ ἐξȣσία ποιητική. Ηρόδοτος δὲ τὸν ὑπὸ τȣ̃ Νεκῶ βασιλέως αἰγυπτίων ἐπιταχθέντα τῆς Αφρικῆς περίπλȣν, γεγονέναι οἴεται, καὶ ταύτην περίῤῥυτον ἐθέλει, πάντως τῷ περίπλῳ τȣ́τῳ ἐπερειδόμενος, ὅτι γεμὴν ἐν δεξιᾷ οἱ περιπλέοντες (πάντως μετὰ τὸν τροπικὸν τȣ̃ καρκίνȣ καὶ τὴν ἰσημερίαν) φοίνικες ἀπὸ τῆς ἐρυθρᾶς θαλάσσης ἀπάραντες, καὶ τὸν τρίτον ἐνιαυτὸν, διὰ τῶν Ηρακλείων ςη-

λῶν ἐπανελθόντες, ἔσχον τὸν ἥλιον, ꞇ πιϛά οἱ ἐδόκεον οἱ λέγοντες. Τί συνάγεται ἐκ τꞇτων; ὅτι Ἡρόδοτος τὴν ϛρογγυλότητα τῆς γῆς ꞇκ ἐδέχετο, πρᾶγμα ῥᾷϛον ἐκ τῆς παραλλαγῆς τꞇ ἐξάρματος ꞇτινοσꞇν ἀϛέρος, τῷ θέσιν ἱκανῶς ἐπὶ τῆς γῆς παραλλάττοντι· καὶ ὅτι καὶ ἡ ἐκλειπτικὴ ꞇδεμίαν εἶχε παράλλαξιν, καὶ αὐτῷ τῷ Ἡροδότῳ ἀφικομένῳ καὶ ἐς τὴν Αἴγυπτον καὶ ἐς τὰ βόρεια παραπόντια.

Νὴ τὴν ἀλήθειαν, παραπλήσια τοῖς ὑπερβορείοις καὶ τὰ τῆς Ἀτλαντίδος τꞇ Πλάτωνος ἔπαθεν· ꞇ δὲ γὰρ ὑπάρξαι ποτὲ τινὲς οἴονται, μᾶλλον δὲ, ὑψαυχένως μάλα καὶ ἀλαζονικῶς ἀποφαίνονται, φιλοσοφικὴν τάχα ἀθαυμαςίαν ἔχοντες, ἧς τὸ ἀτάραχον τῆς ψυχῆς καὶ ἀκατάπληκτον, ἑπόμενον. Ἡμῖν δὲ τὰ πολλῷ μετέπειτα θεωρꞇσι μετὰ θαύματος, καὶ ἀνασκεπτομένοις, ἀληθείας ἔχεσθαι δοκεῖ τὰ λεγόμενα, τὰ μετὰ ταῦτα, ὡς γεωμετρικὴν ἀπόδειξιν οἰομένοις. Εἰδ' ἔϛιν ἅ καὶ πέπλαϛαι, αἱ βάσεις ꞇκ ἦσαν πεπλασμέναι, ꞇ μὰ τὴν

ἀλήθειαν, καὶ καθελεῖν τὸ ὅλον, προπέτεια, καὶ ȣ̓ φιλοσοφικὴ ἀθαυμαςία. Πυθέα τις τῶν βορείων τȣ̀ς πλησίον ἀνατολῆς καὶ δύσεως τόπȣς ἔδειξεν. Ἀλλ' ȣ̓ καὶ Ομηρος τὰ αὐτά τινος τῶν ἐκεῖθεν ἐρχομένων, καὶ τὸ ἤλεκτρον κομιζομένων, πέπυςο; Ἀλλ' ἱςορίας λεπτομερεῖς ȣ̓κ ἔχομεν. Ἀλλὰ τίς ἂν ἑτέρα τῆς τȣ̃ Ἡροδότȣ λεπτομερεςέρα τῷ Στράβωνι γένοιτο; ἀλλὰ μυθοποιὸς καὶ πλάςης ὁ Ἡρόδοτος, καὶ ψεύςης ὁ Πυθέας. Αὐτῷ δὲ πάλιν τῷ Ἡροδότῳ τῷ καὶ τὸν τȣ̃ Ομήρȣ βίον ἀναγράψαντι, πλάσματα ἦσαν τὰ Ομήρȣ, καὶ γελοῖα τὰ ὑπὸ πολλῶν γραφέντα, Ὠκεανȣ̃ περὶ τὴν γῆν καὶ περιόδων αὐτῆς βεβαιȣ̃ντα ὕπαρξιν. Εἴπωμεν εἰλικρινέςερον τὴν ἀλήθειαν, τύφος καὶ ἀλαζονία ἐπὶ τὴν ἄρνησιν ἡμᾶς φέρει ἐνίοτε, παλινδρομεῖν, ἀληθείας ἕνεκα, αἰσχυνομένȣς, ἢ τῷ καθ' ἡμᾶς χρόνῳ ἀπονέμειν πάντα, εἰ δυνατὸν, βȣλομένȣς. Ἄθλιοι βροτοί! πρωτογενεῖς καὶ πρωτόσοφοι ἀεὶ ἐθέλοντες εἶναι. Ἆρ' οὔποτε καὶ τὴν τῆς Κολμβικῆς ἢ ἄλλȣ τινὸς μέρȣς

γνῶσιν ἀφαιρήσονται ἡμᾶς, ἀγερώχως μάλα, οἱ μεθ' ἡμᾶς, ἀπαναινόμενοι, ὡς εἰς θέατρον κωμῳδίας ἢ τραγῳδίας εἰσαχθησόμενοι; Μήποτε ἄρα οἱ πρὸ Ομήρȣ βόρειοι τόποι, ὅπȣ οἱ κιμμέριοι καὶ πόλεις καὶ δῆμοι, λόγον εἶχον πρὸς τὰ μεσημβρινὰ, ὃν καὶ ἐν τοῖς ἡμετέροις χρόνοις τὰ αὐτὰ πρὸς τὰ αὐτὰ ἔχȣσι; Αλλ' ȣδένα ἴχνη πόλεων ἐν τοῖς βορείοις. Τȣ̃το, μὰ Δίαγε, ȣδὲ μικρὸν ἐς ἀναίρεσιν τȣ̃ λεγομένȣ συντείνει, καὶ ȣδὲν ἀλλ' ἢ φιλαυτίαν τῶν προτεινόντων δείκνυσιν, ὡς ἄρα ὅπȣ πόλεις ȣκ εἰσὶν, ὡς οἱ κατ' αὐτȣ̀ς πετροσωροὶ, ἐκεῖ ȣδὲ συνοικίαι τυγχάνȣσιν ἀξιόλογοι· ὅ, τε γηραιὸς Ομηρος πετροσωρȣ̀ς πάντως τῷ πόλεις σημαίνειν ȣκ ἐβȣ́λετο.

Ημεῖς δὲ καὶ παρεκβαίνοντες ȣ̃τω τῆς προθέσεως, ἀλλὰ δὴ, ἐπειδὴ Βαλτικῆς ἐμνήσθημεν καὶ Ηριδανȣ̃, εἴπωμεν καὶ περὶ τȣ́τȣ τὸ παριςάμενον. Εν δεξιᾷ εἰσπλέοντι, τὸ ςόμα μὲν τῆς Βαλτικῆς, ἡ κιμβρικὴ κεῖται χερσόνησος, τὸ βορειότατον τȣ̃ Δαϋζλὰνδ ἐπέχȣσα, αὐτὴν δὲ τὴν Βαλτι-

κὴν, ποταμὸς κεῖται μέγας καὶ πλωτὸς, Βιςȣ̈λας ὀνομαζόμενος, ἐκ τȣ̃ κυρτȣ̃ καὶ βορείȣ τῶν ἡμετέρων καρπαθίων ὀρῶν κατερχόμενος, καὶ πρὸς βοῤῥᾶν ῥέων μέχρις ȣ̈ εἰς αὐτὴν ἐκβάλλει πλησίον τȣ̃ μεγάλȣ καὶ ὀνομαςȣ̃ φρȣρίȣ καὶ ἐμπορείȣ τῆς Δανζίκης. Τȣ̈τȣ τȣ̃ ποταμȣ̃, πρὸς ἕω καὶ παρὰ τὴν θάλασσαν, κεῖται ἡ ἐπωνυμίαν βασιλείȣ ἔχȣσα χώρα, Πρȣσσία καλȣμένη, ἀφ᾽ ἧς, καὶ ἐν τοῖς ἡμετέροις χρόνοις, τὸ ἤλεκτρον ἔρχεται. Τȣ̃ Ηροδότȣ λέγοντος ἐξ ἄρκτȣ φοιτᾶν τὸ ἤλεκτρον, αὕτη ἡ ἄρκτος, ἡ ἡμετέρα Πρȣσσία ἀναντιῤῥήτως τυγχάνει. Τὰ βοῤῥειότερα τȣ̃ Δαΰτζλανδ, ȣ̈ πάνυ πόῤῥω τῆς Πρȣσσίας, ἐπὶ τȣ̃ ἱςορικȣ̃ Προκοπίȣ ὑπὸ δανῶν ᾤκεῖτο· Ρȣδόλφος γὰρ, βασιλεὺς ἐρȣ̈λων γοτθικȣ̃ λῃςρικȣ̃ ἔθνȣς, νεωςὶ εἰς Παιονίαν ἀφικομένȣ, εἴτε τῷ ὄντι διὰ δειλίαν, εἴτε τῷ φόβῳ Αναςασίȣ τȣ̃ αὐτοκράτορος, κακȣ̃ν τȣ̀ς γείτονας ἀπέσχετο καὶ εἰρήνευεν. Επανίςανται οἱ λῃςρομανεῖς ἐρȣ̈λοι, καὶ Ρȣδόλφον τὸν βασιλέα, Προκόπιος μὲν, ὑβρίσαι μόνον καὶ

γυναικώδη αὐτὸν ὀνομάσαι φησίν· ἕτεροι δὲ, καὶ ῥαπίσαι προςιθέασιν, ἐφ' ᾧ τῆς κρατέσης θηλύτητος αὐτὸν ἀπαλλάξαι. Ρεδόλφος ἀναγκαζόμενος ὅτως, ἀνακηρύττει τοῖς λογγοβάρδοις, γερμανοῖς καὶ τέτοις ὅσι, πόλεμον ἀπροσδόκητον, καὶ ἡττῶνται κατὰ κράτος οἱ ἄρξαντες χειρῶν ἀδίκων ἐρῦλοι. Τῶν διασωθέντων τινὲς μὲν, διαβάντες τὸν Ιςρον εἰς τὴν Κωνςαντινεπολιτῶν ἀφίκοντο γῆν, καὶ ὑπ' αὐτὲς ςρατεύεσι, οἱ δὲ δι' ἑτέρων γερμανικῶν τόπων, καὶ διὰ τῶν ἐσχάτων δανῶν, κἀκεῖ νεῶν ἐπιβάντες, εἰς τὴν Θέλην ἐπέςρεψαν τὴν ἡμετέραν Νορβεγίαν. Ερῦλοι, (ὡς σιαμαῖςαι), αὐςηρότερον περὶ τὰς αὐτῶν γυναῖκας φερόμενοι, σωφρονεῖν αὐτὰς ἐκ παντὸς τρόπε κατηνάγκαζον· καὶ τὸ ζῆν ἐν μικρῷ λόγῳ τιθέμενοι, ἡρωϊκὸν, ὡς ᾤοντο, ἐζήτεν θάνατον, καὶ πρὶν ἢ θανεῖν ἐν κλίνῃ, εἰς μέσον ξυλοσωρὲ κομιζόμενοι, καὶ ὑπό τινος ἄσμενοι τὴν θανατηφόρον πληγὴν, ὡς ἔσχατου δεχόμενοι εὐεργέτημα, κατεκαίοντο. Ατιμία δὲ καὶ ἀσέβεια πρὸς τὸν ἀποθα-

νόντα ἄνδρά ὄντος τῦ ἐπιζῆν τὴν γυναῖκα, ἔδει καὶ ταύτην ἑαυτὴν ἀφεύκτως ἀπάγξασθαι.

Δανοὶ τοίνυν ἦσαν καὶ τὸ πάλαι οἱ οἰκῦντες τὸ βόρειον τῦ Δαΰτζλὰνδ, ὡς περ καὶ νῦν· καὶ δοκεῖ ἡμῖν τὺς αὐτὺς τοῖς δακοῖς, ἢ δαυνοῖς, ἢ δαυοῖς εἶναι, μοῖρά τις τῶν ἀνατολικῶν δαῶν τυγχάνοντας. Ο ποταμὸς, ἐξ ὃ τὸ ἤλεκτρον, καθ' Ηρόδοτον, ἐν τῷ βορείῳ τῆς Εὐρώπης ἔκειτο, ἀλλὰ ποιητής τις ἴσως τὴν θάλασσαν, τῷ φαντασικῷ αὐτῦ ἐνδιδὺς, ἀντὶ θαλάσσης, ποταμὸν εἶπε, θεωρῶν ὅτω τὸν λόγον ἐμφαντικώτερον· καὶ γὰρ καὶ Ομηρος ποταμὸν τὸν Ωκεανὸν ὀνομάζει. Αλλ' ἐρῦμεν καὶ ἡμεῖς ὅτι τὸ Ηριδανὸς ἑλληνικόν ἐςιν ὄνομα; καὶ συνέπεσον κατά τινα ὑπερσπανίαν τῷ ὄντι τύχην, δύο λέξεις δανικαὶ ἢ σκανδιναβικαὶ, ἔθνη βόρεια σημαίνυσαι, μιᾷ ἑλληνικῇ λέξει; Ιροι γὰρ καὶ δανοὶ, βόρειά εἰσι παλαιὰ σκυθικὰ ἔθνη, καὶ τὰ ἀρχαῖα ταῦτα ὀνόματα μέχρι τῶν καθ' ἡμᾶς χρόνων σώζεται, ὥςπερ καὶ τὸ τῦρκοι,

καὶ τὸ τȣ̃ Ἡροδότȣ ἴϋρκοι, καὶ τὸ τȣ̃ Στράβωνος κῦρτοι, ἐν τοῖς ἐν Ἀσίᾳ πλανωμένοις νομαδικῶς κίȣρτοις, καὶ ἐν τοῖς γίȣρκοις. Εἰδὲ Ἠριδανὸς καὶ ȣ̓κ Ἰριδανὸς γέγραπται, ἡ διαφορὰ τῆς γραφῆς, εὐήθεσι δοξοσόφοις μόνοις καὶ τῷ ὄντι ςενολέσχαις διάφορος, οἷς περὶ ȣ̓δενείας σπȣδάζȣσι, διαφερόντως διαφέρει φιλοκρινεῖν τὰ τοιαῦτα, ὡς ὄντα τι, τῷ ὄντι δὲ ὄντα μικρȣ̃ παντάπασι λόγȣ ἄξια. Μήποτε ἄρα καὶ ὁ Φᾶσις, δι' ȣ̃ κοινωνίαν τῷ Ὠκεανῷ τȣ̃ Πόντȣ οἱ παλαιοὶ ᾤοντο, ὁ κιμμέριος ἦν βόσπορος, καὶ τῆς Μαιώτιδος τὸ πάλαι, πρὶν ἀποχερσωθῆναι καὶ ἠπειρωθῆναι τὰ μέρη, πρὸ τῆς διαῤῥήξεως τȣ̃ θρακικȣ̃ βοσπόρȣ, ἀφ' ἧς τὸν ἐπὶ Δευκαλίωνος κατακλυσμὸν συνέβη γενέσθαι, μέχρι τῆς Ἀρὰλ λίμνης ἐξικνȣμένης καὶ ἐπέκεινα, εὐλογώτερον τὴν κοινωνίαν ὑπετόπαζον οἱ παλαιοὶ, ἥπερ ὁ Στράβων ἔπειτα πολλῷ χρόνῳ, τὴν τȣ̃ βορείȣ Ὠκεανȣ̃ μετὰ τῆς Κασπίας, ἐγκολπῶν τὸν μέγαν Βόλγαν, τὸν εἰς τὸ βόρειον τῆς Κασπίας ἐκβάλλοντα, καὶ μηδενὶ τρόπῳ, ἰσχυ-

ρογνωμονῶν, ἐθέλων Ηροδότῳ καὶ τοῖς ἄλλοις ἱςορικοῖς καὶ γεωγράφοις ἕπεσθαι; Ημεῖς μὲν ὃν τὸ παριςὰν ἐνταῦθα τοῖς ἐξ ἐπαγγέλματος τὰ τοιαῦτα διερευνῶσι καὶ φιλοκρινῦσι παραθέντες, ἀφίεμεν αὐτοῖς τὸ δοκῦν περὶ αὐτῦ ἀποφήνασθαι.

Αἱ γνῶμαι δὲ τῶν ἀλισθέντων βασιλέων ἐσχίσθησαν, καὶ γελωνοὶ μὲν καὶ βυδινοὶ καὶ σαυρομάται, ὑπεδέκοντο τιμωρήσειν σκύθῃσι, οἱ δὲ ἀγάθυρσοι καὶ νευροὶ καὶ ἀνδροφάγοι καὶ μελάγχλαινοι καὶ ταῦροι, ὐκ ὑπεδέκοντο, ἄλλα τε εἴπαντες καὶ, ἥκειν δοκέομεν ὐκ ἐπ᾽ ἡμέας πέρσην, ἀλλ᾽ ἐπὶ τὺς αἰτίυς τῆς ἀδικίης γενομένυς· ἢν μέντοι ἐπίῃ, καὶ τὴν ἡμετέρην ἄρξηται ἀδικέων, καὶ ἡμεῖς ὐ πεισόμεθα. Μέχρι δὲ τῦτο ἴδωμεν, μενέομεν παρ᾽ ἡμῖν αὐτοῖς. Σχίσθεισέων ὧν τῶν γνωμέων, οἱ σκύθαι ἐβϋλεύοντο, ἰθυμαχίην μὲν μηδεμίαν ἐκ τῦ ἐμφανέος ποιέεσθαι, ὑπεξιόντες δὲ καὶ ὑπεξελαύνοντες, τὰ φρέατα, τὰ παρεξίοιεν αὐτοὶ, καὶ τὰς κρήνας συγχῦν, τὴν πόην τε ἐκ τῆς γῆς ἐκτρίβειν, διχῆ σφέας διελόντες·

καὶ τὴν μὲν μίαν τῶν βασιληίων μοιρέων, ἰϑὺ Ταναΐδος ὑπεκφεύγειν· αὕτη δὲ ἦν μία μοίρη, πρὸς ἣν προσεχώρησαν οἱ σαυρομάται· Σκώπασις δὲ ἐβασίλευε ταύτης· τὰς δὲ δύο, πρὸς τὰς οἱ βεδινοὶ καὶ οἱ γελωνοὶ προσεγένοντο, ὑπάγειν ἰϑὺ τῶν χωρέων τῶν ἀπειπαμένων τὴν σφετέρην συμμαχίην, ἵνα καὶ τέτες ἐκπολεμώσωσι. Ταῦτα βελευσάμενοι, ὑπηντίαζον τὴν Δαρείε ϛρατιὴν, προδρόμες ἀποϛείλαντες τῶν ἱππέων τὲς ἀρίϛες. Τὰς δὲ ἁμάξας ἐν τῇσι σφι διαιτῶντο τὰ τέκνα τε καὶ αἱ γυναῖκες πᾶσαι, πρόβατα πάντα, πλὴν ὅσα σφι ἐς φορβὴν ἱκανὰ ἦν, προέπεμψαν ἐντειλάμενοι, αἰεὶ τὸ πρὸς τὸ βόρειον ἐλαύνειν. Ὑπαγόντων δὲ αἰεὶ τῶν σκυϑέων, ἐπηίεσαν κατὰ ϛίβον οἱ πέρσαι, καὶ ἔπειτα ἐδίωκον πρὸς ἠῶ τε καὶ τε Ταναΐδος. Πρὸς τὴν μίαν τῶν μοιρέων ἴϑυσαν, τῇ περ ἐνετέταλτο ἰϑὺ Ταναΐδος ὑπάγειν. Διαβάντων δὲ τῶν σκυϑέων τὸν ποταμὸν Τάναϊν, οἱ πέρσαι, ἐπιδιαβάντες καὶ αὐτοὶ, ἐδίωκων, καὶ τὴν τῶν σαυροματέων χώρην διεξελ-

θόντες, ἀπίκοντο ἐς τὴν τῶν βυδινῶν, καὶ τῷ ξυλίνῳ τείχεϊ ἐντυχόντες κεκενωμένῳ, ἐνέπρησαν αὐτὸ, καὶ ἐς τὴν κατύπερθε τῶν βυδινῶν ἐρημίην ἀπίκοντο. Ενθαῦτα Δαρεῖος ἵδρυσε τὴν ςρατιὴν ἐπὶ ποταμῷ μεγάλῳ Οὐάρῳ, καὶ ἐτείχεε ὀκτὼ τείχεα μεγάλα, ἀπ' ἀλλήλων ἐπέχοντα ςαδίυς ὡς ἑξήκοντα μάλιςα, τῶν ἔτι ἐς ἐμὲ τὰ ἐρείπια σῶα ἦν. Οἱ δὲ διωκόμενοι σκύθαι περιελθόντες τὰ κατύπερθε, ὑπέςρεφον ἐς τὴν Σκυθικὴν, καὶ ὁ Δαρεῖος, ὡς ὐκ ἔτι ἐφαντάζοντο, μετῆκε ἡμίεργα τὰ τείχεα, καὶ ὑποςρέψας ἤιε ἐς τὴν Σκυθίην. Εντυχὼν δὲ, ἐδίωκε· οἱ δὲ, ὑπέφευγον ἐς τὴν τῶν ἀπειπαμένων τὴν συμμαχίην χώρην· καὶ ὕτω συνεσβαλόντος καὶ τῦ Δαρείυ ἐς αὐτὴν, τὸ πᾶν ἐταράττετο.

Εντεῦθεν δὲ δῆλον ὅτι Δαρεῖος πολὺ βορειότερος ὑπέςρεφε, καὶ ἐς τὸ βόρειον τῆς Μολδόβης εἰσέβαλεν ἔξ ἔω· Επεὶ δὲ αἰεὶ ὑπεξέφευγον οἱ σκύθαι, Δαρεῖος πέμψας ἱππέα παρὰ τὸν σκυθῶν βασιλῆα Ινδάνθυρσον, ἔλεγε τάδε· Δαιμόνιε ἀνδρῶν,

τί φεύγεις αἰεὶ, ἐξόν τοι τῶν δε τὰ ἕτερα ποιέειν; εἰ μὲν γὰρ ἀξιόχρεως δοκέεις εἶναι σεωϋτῷ, τοῖς ἐμοῖσι πράγμασι ἀντιωθῆναι, ςῆθι καὶ μάχεο· εἰδὲ μὴ, δεσπότῃ τῷ σῷ δῶρα φέρων, γῆν τε καὶ ὕδωρ, ἐλθὲ ἐς λόγȣς. Πρὸς ταῦτα ὁ Ινδάνθυρσος ὑπεκρίνατο. Οὕτω τοι τὸ ἐμὸν ἔχει ὦ πέρσα. Εγὼ ȣ̓δένα κω ἀνθρώπων δείσας ἔφυγον, ȣ̓δέ τι νεώτερόν εἰμι ποιέων νῦν, ἢ καὶ ἐν εἰρήνῃ εἴωθα ποιέειν. Οὐκ αὐτίκα δὲ μαχέομαί τοι· ȣ̓ γὰρ ἡμῖν ἄςεα, ȣ̓δὲ γῆ πεφυτευμένη, τῶν πέρι δείσαντες μὴ ἁλώῃ ἢ καρῇ, τάχιον συμμίσγοιμεν ἐς μάχην. Τυγχάνȣσιν ἡμῖν τάφοι πατρώιοι, φέρετε ἀνευρόντες τȣ́τȣς, συγχέειν πειρᾶσθε, καὶ γνώσεσθε ἡμέας. Δεσπότας δὲ ἐμȣ̀ς Δία τε ἐγὼ νομίζω καὶ Ιςίαν βασίλειαν μȣ́νȣς εἶναι. Δῶρα δέ τοι πέμψω τοιαῦτα οἷά τοι πρέπει. Αντὶ δὲ τȣ̃ ὅτι δεσπότης ἔφησας εἶναι ἐμὸς, κλαίειν τοι λέγω. Τȣ̃τό ἐςι ἡ ἀπὸ σκυθέων ῥῆσις.

Ο μὲν δὴ κῆρυξ οἰχώκεε ἀγγελέων ταῦτα Δαρείῳ· οἱ δὲ βασιλῆες τῶν σκυθέων ἀκȣ́-

σαντες τῆς δυλοσύνης τὸ ὄνομα, ὀργῆς ἐπλήσθησαν. Τὴν μὲν μετὰ σαυροματέων μοίρην πέμπουσι ἰῶσι ἐς λόγους κατικέσθαι, οἳ τὸν Ἴςρον ἐζευγμένον ἐφρύρεον· αὐτῶν δὲ τοῖσι ὑπολειπομένοισι, μηκέτι πλανᾶν Δαρεῖον, ἀλλ' ἐκ παντὸς τρόπου, ἐν ἀπορίῃσι ἔχεσθαι ποιέειν· καὶ δεινοπαθέοντας τοὺς πέρσας, οἱ σκυθέων βασιλῆες μαθόντες, ἔπεμπον κήρυκα δῶρα Δαρείῳ φέροντα, ὄρνιθά τε καὶ μῦν καὶ βάτραχον καὶ ὀϊςοὺς πέντε. Πέρσαι δὲ τὸν φέροντα τὰ δῶρα ἐπερώτεον τὸν νόον τῶν δεδομένων· ὁ δὲ οὐδὲν ἔφη οἱ ἐπεςάλθαι ἄλλο ἢ δόντα, τὴν ταχίςην ἀπαλλάττεσθαι, αὐτοὺς δὲ ἐκέλευε, εἰ σοφοί εἰσι, γνῶναι τὸ θέλει τὰ δῶρα λέγειν. Δαρείῳ μὲν ἡ γνώμη ἦν σημαίνειν τὰ δῶρα, τὰ οἱ ἔαδε· συνεςήκεε δὲ ταύτῃ ἡ γνώμη Γωβρύεω, εἰκάζοντος τὰ δῶρα λέγειν, ἢν μὴ ὄρνιθες γενόμενοι, ἀναπτῆσθε ἐς τὸν οὐρανὸν, ὦ πέρσαι, ἢ μῦες γενόμενοι κατὰ γῆς καταδύητε, ἢ βάτραχοι γενόμενοι, ἐς τὰς λίμνας ἐκπηδήσητε, οὐκ ἀπονο-

*ςήσετε ὀπίσω ὑπὸ τῶν δε τῶν ὀϊςῶν βαλλόμενοι.*

*Η δὲ σκυθέων μοίρη ἀπικομένη ἐπὶ τὴν γέφυραν, ἔλεγε τάδε, ἄνδρες Ἴωνες, ἐλευθερίην ὑμῖν ἥκοντες φέρομεν· πυνθανόμεθα γὰρ Δαρεῖον ἐντείλασθαι ὑμῖν, ἑξήκοντα ἡμέρας μόνας φρουρήσαντας, αὐτοῦ μὴ παραγενομένου ἐν τούτῳ τῷ χρόνῳ, ἀπαλλάττεσθαι ἐς τὴν ὑμετέρην. Νῦν ὦν ὑμεῖς τάδε ποιεῦντες, ἐκτὸς μὲν ἔσεσθε πρὸς ἐκείνου αἰτίης, ἐκτὸς δὲ πρὸς ὑμέας, τὰς προκειμένας ἡμέρας παραμείναντες· τὸ ἀπὸ τούτου ἀπαλλάττεσθε. Ουτοι μὲν, ὑποδεξαμένων ἰώνων ποιήσειν ταῦτα, τὴν ταχίςην ἐπείγοντο.*

*Δαρεῖος δὲ καταναγκαζόμενος τὴν ταχίςην ἐπὶ τὴν γέφυραν ἀπικέσθαι, πρὶν ἢ σκύθας ἐπὶ τὸν Ιςρον ἰθῦσαι λύσοντας τὴν γέφυραν, ἢ καί τι ἀντίον Ἴωσι δόξαι, νυκτὸς γενομένης, καὶ, Γωβρύεω συμβουλεύσαντος, τοὺς καματηροὺς τῶν ἀνδρῶν, καὶ τῶν ἦν ἐλάχιςος ἀπολλυμένων λόγος, καὶ τοὺς ὄνους πᾶντας δεδεμένους ἐν τῷ ςρατοπέδῳ κατα-*

λιπὼν, ὡς ἄρα σὺν τῷ καθαρῷ τῦ ϛρατῦ ἐπιθήσεσθαι μέλλων σκύθῃσι, τὴν ταχίϛην ἐπὶ τὸν Ιϛρον ἐπείγετο. Οἱ δὲ ὄνοι ἐρημωθέντες τῦ ὁμίλυ, πολλῷ μᾶλλον ἵεσαν τῆς φωνῆς, καὶ οἱ σκύθαι ἀκȣ́οντες, ἤλπιζον κατὰ χώραν τὺς πέρσας εἶναι. Ημέρης δὲ γενομένης, γνόντες οἱ ὑπολειφθέντες, ὡς προδεδομένοι εἶεν ὑπὸ Δαρείȣ, χεῖράς τε προέτειναν σκύθῃσι καὶ τὰ κατήκοντα ἔλεγον· οἱ δὲ, γνόντες, ἐδίωκον τὺς πέρσας, καὶ ἱππόται ὄντες καὶ τὰ σύντομα τῆς ὁδῦ ἐπιϛάμενοι, ἔφθασαν πολλῷ τὺς πέρσας ἐπὶ τὴν γέφυραν ἀπικόμενοι, καὶ μαθόντες ȣ̓κ ἀπιγμένȣς τὺς πέρσας, πολλὰ συνεβȣ́λευον τοῖς Ἴωσι ἐȣ̃σι ἐν τῆσι νηυσὶ, λύσαντας τὴν γέφυραν ἀπαλλάσσεσθαι· τὸν γὰρ πρότερον ἐόντα ὑμέων δεσπότην, ἡμεῖς παραϛησόμεθα ȣ̔́τω, ὥϛε ἐπὶ μηδαμȣ̀ς ἔτι ἀνθρώπȣς ϛρατεύεσθαι.

Οἱ δὲ Ιωνες ἐβȣλεύοντο, καὶ Μιλτιάδεω μὲν ἦν ἡ γνώμη, πείθεσθαι σκύθῃσι καὶ ἐλευθερȣ̃ν Ιωνίην. Ιϛιαίȣ δὲ τῦ μιλησίων τυράννȣ, ὡς συμπαυσομένης καὶ τῆς ἀρ-

χῆς αὐτῶν Δαρείῳ, ἡ γνώμη ἦν ἐναντία, καὶ φυλάττειν ἔλεγε δεῖν Δαρείῳ τὴν γέφυραν· δι᾽ ἐκεῖνȣ γὰρ ἕκαςον αὐτέων τυραννεύειν πόλιος· ἀπολεσθέντος δ᾽ αὐτȣ̃, ὄτε αὐτὸς μιλησίων οἷός τε ἔςαι ἄρχειν, ὄτε ἄλλον ȣ̓δένα ȣ̓δαμῶν· βȣλήσεσθαι γὰρ ἑκάςην τῶν πολίων δημοκρατέεσθαι μᾶλλον ἢ τυρανεύεσθαι. Ησαν δὲ πρὸς τοῖς ἴωσι ἄρχοντες καὶ αἰολέες καὶ ἑλλησπόντιοι, καὶ πᾶντες αἱρέοντο τὴν Ιςιαίȣ γνώμην, πρότερον τὴν Μιλτιάδεω αἱρεόμενοι. Απατᾶν δὲ βȣλόμενοι τȣ̀ς σκύθας, ἔλυσαν τῆς γεφύρης, ὅσον τόξευμα ἐπικνέεται, ἵνα δοξωσι ποιέειν, τὰ σκύθῃσίν ἐςι ἐν ἡδονῇ. Οι μὲν σκύθαι ὑπέςρεφον διζήμενοι τὸν Δαρεῖον, Ιςιαίȣ πολλὰ πρὸς χάριν αὐτοῖσι εἴπαντος καὶ ὑποδεξαμένȣ· ἀλλ᾽ ἥμαρτον τῆς ἐκείνȣ διεξόδȣ, ὅς περ νυκτὸς ἀπικόμενος, καὶ λελυμένης τῆς γεφύρης ἐντυχὼν, ἐς πᾶσαν ὀῤῥωδίην ἀπίκετο. Ην δὲ περὶ αὐτὸν ἀνὴρ αἰγύπτιος φωνέων ςεντόρειον, τȣ̃τον ἐκέλευε Δαρεῖος καλέειν Ιςιαῖον· Ιςιαῖος δὲ ἀκȣ́σας, τάς τε νέας παρεῖχε δια-

πορθμεύειν τὴν ϛρατιὴν, καὶ τὴν γέφυραν ἔζευγε.

Πέρσαι μὲν ὦν ὅτω ἐκφεύγουσι· σκύθαι δὲ καὶ τὸ δεύτερον διζήμενοι, ἥμαρτον τῶν περσέων· καὶ τοῦτο μὲν ὡς ἐόντας Ἴωνας ἐλευθέρους, κακίϛους τε καὶ ἀνανδροτάτους κρίνουσι εἶναι πάντων ἀνθρώπων· τοῦτο δὲ, ὡς δούλων ἰώνων, τὸν λόγον ποιεύμενοι, ἀνδράποδα φιλοδέσποτα, φασὶ, εἶναι. Ταῦτα μὲν σκύθῃσι ἐς Ἴωνας ἀπέῤῥιπται.

Ησαν δὲ φυλάσσοντες τὴν γέφυραν, ἑλλησποντίων μὲν τύραννοι, Δάφνις ὁ ἀβυδηνὸς, Ιπποκλος λαμψακηνὸς, Ηρόφαντος παριηνὸς, Μητρόδωρος προκοννήσιος, Αριϛαγόρης Κυζικηνὸς καὶ Αρίϛων βυζάντιος· ἀπ' Ιωνίης δὲ, Στατίης χῖος, Αιακίδης σάμιος, Λαοδάμας φωκεὺς καὶ Ιϛιαῖος μιλήσιος· αἰολέων δὲ παρῆν λόγιμος μοῦνος Αριϛαγόρης ὁ κυμαῖος.

Δαρεῖος δὲ ἐν δεξιᾷ τοῦ Ιϛρου γενόμενος, καὶ διὰ Θρηίκης πορευόμενος, ἀπίκετο ἐς Σηϛὸν τῆς χερσονήσου. Ενθεῦτεν δὲ αὐτὸς μὲν διέβη τῇσι νηυσὶ ἐς τὴν Ασίην, λείπει

δὲ ςρατηγὸν ἐν τῇ Ευρώπῃ Μεγάβυζον, ἐντειλάμενος αὐτῷ πᾶσαν Ͽρηίκην καταςρέψασθαι, καὶ παίονας, οἳ οἶκεον ἐπὶ Στρύμονι ποταμῷ, ἀναςάτυς ἐς τὴν Ασίαν ποιέεσθαι. Μεγάβυζος δὲ τὰ μέχρι Στρύμονος καταςρεψάμενος, καὶ ἀγγέλυς ἐς Μακεδονίαν πέμψας, γῆν τε καὶ ὕδωρ αἰτήσοντας παρ' Αμύντυ, καὶ μηδὲν πλέον πραξάμενος, τῶν ἀγγέλων καὶ τῆς Ͽεραπείης αὐτῶν, αὐθαδέςερον περὶ τὰς γυναῖκας ἐνεχθέντων, κατακτανθέντων, καὶ τῦ πρήγματος σοφίῃ Αλεξάνδρυ τῦ Αμύντυ σιγηθέντος, ἀπίκετο ἐπὶ τὸν Ελλήσποντον, ἄγων τὺς παίονας. Ενθεῦτεν δὲ ἐς Σάρδεις.

Οι δὲ σκύθαι, ἐρεθισθέντες ὑπὸ βασιλέως Δαρείυ, τίσασθαι βυλόμενοι, συνανεςράφησαν, καὶ ἤλασαν μέχρι χερσονήσυ τῆς Θρηΐκης. Μιλτιάδης τύτυς οὐκ ὑπομείνας, ἔφυγε χερσόνησον. Ειτα ἀπαλλαχθέντων τῶν σκυθέων, ὑπέςρεψεν.

Εφ' Ηροδότυ οὖν ἐντὸς τῦ κάτω Ιςρυ σκύθαι ὤκυν, καὶ Σκυθία ὁ τόπος ὠνομά-

ζετο· τὰ δ᾽ ἄνω τȣ̃ Ἰςρȣ, μᾶλλον δὲ, τὰ μέσα, τὰ ὑπὲρ Μάριν ὡς ἡμῖν δοκεῖ, τὰ πρὸς βορέαν τῆς Θρᾴκης, οὐδεὶς, φησὶν αὐτὸς, ἔχει φράσαι τὸ ἀτρεκὲς, οἵτινες εἰσὶ ἀνθρώπων οἱ οἰκέοντες αὐτά. Ἀλλὰ τὰ πέρην τȣ̃ Ἰςρȣ (τὰ ἀριςερὰ), ἔρημος χώρη φαίνεται ἐȣ̃σα καὶ ἄπειρος. Μȣ́νȣς δὲ δύναμαι πυθέσθαι οἰκέοντας πέρην τȣ̃ Ἰςρȣ ἀνθρώπȣς, τοῖσι ȣ̃νομα εἶναι σιγῦναι, αἴσθῆτι χρεομένȣς μηδικῇ, καὶ μήδων σφέας ἀποίκȣς λέγȣσι. Οκως δὲ ȣ̃τοι μήδων ἄποικοι γεγόνασι, ἐγὼ μὲν ȣ̓κ ἔχω ἐπιφράσασθαι, γένοιτο δ᾽ ἂν πᾶν ἐν τῷ μακρῷ χρόνῳ. Ουκȣ̃ν οἱ σιγῦναι τȣ̃ Ηροδότȣ αἰσθῆτι μηδικῇ χρώμενοι, ȣ̓κ ἄμοιροι ἀςικȣ̃ βίȣ καὶ τρυφῆς καὶ πολυτελείας ἐτύγχανον· τοιȣ́των γὰρ τρυφηλῶν καὶ φιλευπαθȣ́ντων ἀνθρώπων ἡ μηδικὴ ἐσθὴς ἐςι, τῆς ἀρχαίας ἁπλότητος καὶ λιτότητος καὶ εὐκολίας ἐκτρέπεσθαι, καὶ διαφθείρεσθαι ἀρχομένων, καὶ ἤδη διεφθαρμένων. Ημῖν δὲ αἰσθῆτα μηδικὴν ἀκȣ́ȣσι, ἐν μέσῳ τῆς παλαιᾶς Ευρώπης, ἐς νȣ̃ν ἔρχεται τὸ τῆς κε-

φαλῆς καλυπτήριον Φαραμένδε τε τὰ βόρεια ὑπερῤῥήνια κατακτησαμένε, καὶ πρώτε βασιλέως τῶν φράγκων λεγομένε, ὅπερ, εἰκοςόν πε τετον ἐνιαυτὸν, ἐν τῇ βασιλικῇ βιβλιοθήκῃ τῶν Παρισίων εἴδομεν, καὶ ὅμοιον ἦν πως τοῖς ὑπὸ τῶν Τέρκων νῦν φορεμένοις.

Απορίας δὲ καὶ θαύματος ἄξιον, λαὸς μηδιςὶ ἠμφιεσμένος ἐν μέσῳ της ἀγρίας Ευρώπης! Αλλὰ μήποτε καὶ τὰ βόρεια τῆς Ευρώπης ὀ τόσον ἄγρια ἦν, ὅσον ἐδόκει τισὶ, τὰ ἑαυτῶν μεγαλύνειν ὑπὲρ τὲς ἄλλες χαίρεσι; Ουχ ὁρῶμεν ἔτι καὶ νῦν, ὅσον τὰ ἔθνη περιαυτονοῦσι καὶ περιφρονῦσιν ἄλληλα, καὶ ὅση ἐςὶν ἡ κατάχρησις καὶ ἡ ἐπιδαψίλευσις τῶν ἀτιμαςικῶν ἐπιθέτων, ἀμαθεῖς, ἄγριοι, βάρβαροι, αἱμοβόροι, καραΐβοι καὶ τὰ λοιπά; Αγνοῦμεν ὅτι πολλοὶ λαμβάνεσι τὸ γραφικὸν πτερὸν, ὀχ ἵνα τὰ πράγματα ἁπλῶς, ὡς ἔχεσι, τοῖς μετέπειτα παραδῶσιν, ἀλλ' ἵνα τὰς πράξεις τῶν σφετέρων ἐπάρωσι καὶ ἐξυμνήσωσι, καὶ τὰς τῶν ἀλλοτρίων ταπεινώσωσι

καὶ ἐξεντελίσωσιν, ὅση δύναμις, καὶ ῥαδίως, τοιῦτοι ὄντες, τὰ παρὰ τῦ ὄχλυ ἐξερευγόμενα καὶ ναυτιᾷν ποιῦντα, δέχονται, μόνον εἰ πρὸς ἀρέσκειαν εἴησαν τὰ λεγόμενα; ὐχ ὁρῶμεν ὅτι καὶ πᾶς λαὸς ἐν πᾶσιν ἑαυτὸν ἐξέχειν καὶ πάντων ὑπέρτερος εἶναι βύλεται, καὶ πολὺ πᾶντας τὺς ἄλλυς αὐτῦ ἀπολείπεσθαι, καὶ μονονὺ τοῖς ἀγρίοις κτήνεσι, κατ' αὐτὸν, οἱ ἄλλοι εἰσὶ παραπλήσιοι; Δεῖ ὖν προσέχειν ἀναγινώσκοντας καὶ ἀκύοντας, καὶ μὴ ῥαδίως τὰ γραφόμενα καὶ λεγόμενα παραδέχεσθαι. Η ἁβρότης τῶν πολυχρύσων ἀγαθύρσων, καὶ αἱ χρυσαῖ φιάλαι τῶν σκυθῶν, ὓς ὁ τῶν ἀμαθεςάτων ἐθνῶν ἐθέλει Ηρόδοτος, μάλιςα δὲ τὸ ἤλεκτρον τῶν παλαιῶν κατοίκων τῆς νῦν Πρυσσίας, καὶ ἡ ἐξαγωγὴ αὐτῦ, καὶ πολὺ πρὸ τῦ Ομήρυ ἔτι, ἐς τὰ παραμεσόγαια τῆς Ευρώπης, ἑτεροιόντι ὑποσημαίνειν βύλονται, καὶ ὐκ ἄγριον καὶ θηριώδη βίον καὶ ἀςικότητος ἄμοιρον· ὐμὴν ὐδ' ἐρήμυς ὕλας ὅλα εἶναι τὰ βόρεια οἰητέον, ὐδ' ἔθνη ἐν αὐτοῖς ἀνεπίμικτα· ὁ

γὰρ ἂν οὕτως εἰς τὰ ἡμέτερα ἐφοίτα τὸ ἤλεκτρον. Ει δὲ διαπορεῖ ὁ Ηρόδοτος καὶ ἀγνοοῦντι ἔοικεν, ὀδὲν ξένον· ὀ γὰρ αὐτόπτης ἐγεγόνει· ὀδὲ γὰρ ῥάδιον, τότε μάλιςα, περιεργείας χάριν, ὅποι ἂν βόλοιτό τις, πορεύεσθαι, ὀμὴν ὀδὲ παρ' ἄλλων μαθεῖν, ὅ, τι ἂν βόλιτό τις. Τὸτο καὶ νῦν ἔτι ἐςὶ δυσχερέςατον.

Ειχε μὲν ὂν ἄν τις ἴσως ἐν τοῖς παλαιοῖς βιβλίοις μαθεῖν τι περιεργότερον, ἀλλ' ἡμῖν πολλοςημόριον μόλις ἐκείνων σώζεται. Πυθέας περιῆλθε τὰ παρωκεάνια βόρεια καὶ ἐπανελθὼν ἐνθένδε, πᾶσαν ἐπῆλθε τὴν μεσόγειον τῆς Ευρώπης ἀπὸ Γαδείρων μέχρι Τανάϊδος. Τὸ Πολυβίο ὀδένα λόγον ἔχει ὁ λόγος, δι' ὃν ἄπιςα τὰ τὸ Μασσαλιώτο ἡγεῖται· φίλος γὰρ ὢν αὐτὸς Σκηπίωνος τὸ ἡγεμόνος, τοσαῦτα περιελθεῖν Πυθέαν, ἀδύνατον οἴεται. Πῶς γάρ φησιν, ἰδιώτῃ ἀνθρώπῳ καὶ πένητι, τοσαῦτα διαςήματα πλωτὰ καὶ πορευτὰ γένοιτο, ὡς εἰ ἠγνόει Πολύβιος τὸν περὶ ἀρετὰς καὶ ἐπιςήμας ἔρωτα τῶν μασσαλιωτῶν,

καὶ τὴν βλακίαν καὶ ἀφροντισίαν τῶν καλῶν, καὶ ὅλως ἀπάθειαν, ἵνα μή τι ἕτερον εἴπω, τῶν πλεσίων, οἷς ὀρχηςὺος τὰ πολλὰ μέμηλε καὶ ἀοιδῆς καὶ θήρας καὶ ὡραίας ὁμιλίας. Ετι δὲ καὶ Στράβων μῦθον τὴν αὐτῦ περιήγησιν ἡγέμενος, τῷ Πολυβίῳ ἑπόμενος, πολλὰ ταύτης, τῆς τόσον ἀξιολόγυ, ἀπεσιώπησε. Τὰ δὲ πέραν τῦ Αλβεως πρὸς τῷ Ωκεανῷ παντάπασιν ἡμῖν ἄγνωςά ἐςι, φησί· ὔτε γὰρ τῶν προτέρων ὐδένας ἴδμεν τὸν παράπλυν τῦτον πεποιημένυς, πρὸς τὰ ἑωθινὰ μέρη τὰ μέχρι τῦ ςόματος τῆς Κασπίας θαλάσσης, ὐδ᾽ οἱ ῥωμαῖοι προῆλθον πω περαιτέρω τῦ Αλβεως· ὡς δ᾽ αὔτως ὐδὲ πεζῇ περιωδεύκασιν ὐδένες. Τί δέ ἐςι πέραν τῆς Γερμανίας, εἴτε βαςάρνας χρὴ λέγειν, ὥς τινες ὑπονοῦσιν, εἴτε ἰάζυγας ἢ ῥαξυάλυς, ὐ ῥάδιον εἰπεῖν. Τῦτο δὲ τὸ αὐτὸ ἀγνόημι καὶ περὶ τῶν ἄλλων τῶν ἐφεξῆς προσαρκτίων· διὰ δὲ τὴν ἄγνοιαν τῶν τόπων τύτων, οἱ τὰ Ριπαῖα καὶ τὺς βορείυς μυθοποιῦντες, λόγυ ἠξίωνται· καὶ Πυθέας ὁ μασσαλιώτης κα-

τεφεύσατο πολλὰ τῆς παρωκεανίτιδος. Τοιαῦτα λέγοντα τὸν Ποσειδώνιον τὸν φίλον τȣ̃ Πομπηίȣ, ἀποδέχεται πολλὰ ὁ Στράβων, ȣ̓δ᾽ αὐτὸς ἡγεμονικῆς φιλίας τυγχάνων ἄμοιρος. Ορᾷς ὦ φίλε ἀναγνῶςα εἰς οἷα ἡ προκατάληψις καὶ ἡ ἑπομένη αὐτῇ ἰσχυρογνωμοσύνη, καὶ Στράβωνα αὐτὸν φέρει, ἄνδρα τῷ ὄντι φιλόσοφον, ȣ̃ τὰ συγγράμματα πολλῆς τιμῆς ἡμῖν εἰσὶν ἄξια. Αλλὰ φίλε Στράβων, τί φήσεις νῦν τȣ̀ς ἀπογόνȣς τῶν μιλησίων συχνάκις ὁρῶν ἀφικνȣμένȣς ἐκ Καζανίȣ, καὶ σὺ Πολύβιε ὁρῶν τȣ̀ς εἰσπλέοντας ἐς Βαλτικὴν ςόλȣς καὶ ἐκπλέοντας; Πάντως καὶ σὺ σεβάσμιε Ηρόδοτε παύσῃ γελῶν, τȣ̀ς περίπλȣς τȣ̃ ἐκ τῶν Κασσιτερίδων Κȣκ καὶ τόσων ἄλλων πυνθανόμενος. Ουδὲν ξένον καὶ νῦν ὁρῶμεν πολλȣ̀ς ἀξιαγάςȣς μὲν διὰ τὴν περὶ τὰς ἐπιςήμας ἐπιμέλειαν, μεμπτȣ̀ς δὲ διὰ τὴν πρὸς ἑτέρȣς, ȣ̓δὲν ἧττον ἀξιαγάςȣς διὰ τὰ αὐτὰ, παράλογον περιφρόνησιν καὶ παραλογωτέραν δύσνοιαν.

# Γ έ τ α ι.

Οι δὲ γέται, ȣ πολὺ μεθ᾽ Ηρόδοτον, καταςρεψάμενοι τȣ̀ς πρὸς ἑσπέραν μυσȣ̀ς, θρακικὸν καὶ αὐτȣ̀ς ἔθνος ὄντας, τὰ δεξιὰ καὶ ἀριςερὰ τȣ̃ Ἴςρȣ ὑποχείρια ἐποίησαν. Αλλὰ μετὰ τὸν Σιταλκὸν αὐτῶν βασιλέα, περὶ τὸ μέσον τῆς τετάρτης ἑκατονταετηρίδος, ὁ βασιλεὺς τῶν σκυθῶν ὑπέταξε τȣ̀ς γέτας καὶ τȣ̀ς ἕλληνας· ἀντιςῆναι δὲ μὴ δυνηθεὶς τῷ τῶν μακεδόνων βασιλεῖ φιλίππῳ, ἐς τὰ ὄρη κατέφυγεν, ὅπȣ πολὺ ὕςερον οἱ μετ᾽ αὐτὸν σκύθαι ἐλεύθεροι ἐτύγχανον. Πέραν μόνον τȣ̃ Ἴςρȣ γετῶν Ηρόδοτος μέμνηται. Μετ᾽ αὐτὸν ἄρα ἐντὸς αὐτȣ̃ μετανέςησαν, εἴτε διώκοντες ἑτέρȣς, εἴτε αὐτοὶ ȣ̓͂τοι ὑφ᾽ ἑτέρων διωκόμενοι. Επὶ δὲ τῷ ςόματι τȣ̃ Τύρα κατοίκηνται ἕλληνες οἳ τυρῖται καλέονται, φησὶν Ηρόδοτος· τὸ τυραγέτης ἄρα μετ᾽ αὐτὸν εἴθιςο, καὶ τὸ ὄνομα ἐσῶζετο μέχρι τȣ̃ μεγάλȣ Τραϊανȣ̃ τȣ̃ καταλύσαντος τὸ κράτος τῶν δακῶν ἐν τῇ Γετίᾳ.

Οι δὲ γέται, μᾶλλον δὲ, οἱ κάτοικοι τῆς Γετίας· ἐπειδὴ ἀπὸ τῶν καταςρεφομένων, κακῇ τύχῃ τῶν ἀνθρώπων, οἱ τόποι παρονομάζονται, διακοπῆς τινος τῶν τε ἐξ ἔω, τῶν τε ἐκ βοῤῥᾶ φιλεπιδρόμων καὶ φιλοληίων ἐθνῶν, τυχόντες ἀγαθῇ τύχῃ, ηὔξανον, καὶ μείζες συνοικίας, ἑτέρας παρὰ τὰς τῷ ποιμενικῷ καὶ γεωργικῷ βίῳ ἁρμοζέσας ποιεῖν καὶ πολίζεσθαι ὅτως ἤρχοντο· ὃ λέγομεν ἐξημερῶσθαι· ὁ γὰρ ὁ ποιμαντικὸς βίος τῆς ἀγριότητος τῶν ἐθνῶν πρόξενος· καὶ γὰρ ἔτι καὶ νῦν βλέπομεν, καθόλε, τὲς ποιμένας λαὲς, πολλῷ τῶν ἄλλων ἡμερωτέρες, καὶ τὴν ὑπὸ τῶν φιλοσόφων θαυμαζομένην τῶν ἠθῶν ἁπλότητα, σύσκηνον ἔχοντας. Ουκὲν μήποτε καὶ αἱ μεγάλαι συνοικίαι τῆς τότε Γετίας, αἱ πλείες γε, ἑτέρων παρὰ τὲς γέτας κτίσματα ἐτύγχανον, τῶν παλαιοτέρων λέγω κατοίκων, οἵ τε νομάδες καὶ φιλόσκηνοι γέται ἦρχον ἑτέρων μὴ νομάδων, καὶ κωμηδὸν καὶ ἀςυδὸν οἰκέντων; καὶ γὰρ καὶ ἔπειτα ὁρῶμεν πολλάκις παραπλήσια, σκη-

νίτας δηλαδὴ, κυρίως ἄλλων κωμηδὸν καὶ ἀςυδὸν καὶ ὅλως πολιδὸν οἰκέντων. Τέτων δὴ τῶν ἀξιολόγων συνοικιῶν, αἱ πόλεις καλἕνται, τὰ ὀνόματα καὶ πολὺ ἔπειτα μετὰ τῶν πραγμάτων ἐτύγχανον σωζόμενα· ἀκμὴν καὶ μέχρι τῶν ἡμετέρων χρόνων ἐν τοῖς τἕ Πτολεμαίε συγγράμμασι. Εἴπωμεν ὅτι τὰ πρὸ πολλἕ ἤδη τῶν ἑλλήνων καταςήματα καὶ ἐμπορεῖα, ἐν τοῖς ςόμασι καὶ παρὰ τὰ ςόματα τῶν ποταμῶν, τἕ Ἴςρε, τἕ Τύρα, τἕ Βρυσθένυς, καὶ ἁπλῶς ἐν τοῖς παραποντίοις, διεγείρειν ἔδει τὲς μεσογείες εἰς μίμησιν; Ἀλλ' ὁ ἄνθρωπος ἐνδομυχἕσαν καὶ ἔμφυτον ἔχει τὴν ἐπὶ ταῦτα ῥοπὴν, καὶ τῶν ἀπὸ τῶν αἰσθητῶν προσβολῶν συντρεχεσῶν, καὶ τῶν περιςάσεων δεξιῶν ὄσων, αὐτίκα πολίζεσθαι ἄρχεται.

Ουκ ἄνευ λόγε διισχυρίζεσθαί τις ἔχει, ὅτι καὶ πάλαι σχεδὸν ἐγίνετο ἐν τοῖς βορείοις παραποντίοις, ἃ καὶ νῦν ὁρῶμεν γινόμενα· καὶ ἦσαν ταῦτα τὸ πάλαι τοῖς ἐκτὸς τἕ Θρακικἕ βοσπόρε Ἕλλησι, ὅ περ καὶ ὁ

νέος κόσμος νῦν σύμπασι τοῖς εὐρωπαίοις· καὶ γὰρ καὶ τότε, ὥσπερ καὶ νῦν, μέγα τὸ ἰχθυοεμπόριον, καὶ αἱ ἰχθυοταριχεῖαι ὀνομαςαὶ, καὶ τὰ ἀντακαίων ταρίχη ἐν τοῖς παραμεσογείοις ὀκ ἄγνωςα, αἵτε τῶν ἑλλαδικῶν λίχνων ὑπερῷαι, τῶν παρασπονδυλίων μυῶν, περισπυδάςων ταριχῶν τῦ ἀντακαίυ, ὀκ ἄπειροι, ὥσπερ καὶ τοῖς τῆς Ιβηρίας καὶ Ιςρίας ἐλαίοις ὀκ ἀδίαντοι· πολλοί τε σκύθαι, ὥς περ καὶ νῦν, ὀκ ἐπὶ σιτήσει τὸν σῖτον ἔσπειρον, ἀλλ' ἐπὶ πρήσει, καὶ πολὺς καὶ ἑτέροις πολλοῖς καὶ τοῖς ἀθηναίοις ἐκ τῆς Ταυρικῆς ἐφοίτα σῖτος. Ιςρος ἢ Ιςρόπολις ἐν δεξιᾷ τῦ ἱερῦ ςόματος τῦ Ιςρυ κειμένη, ἐν τῇ ποτὲ μὲν μικρᾷ Σκυθίᾳ, νῦν δὲ Δομπρίτζῃ καλυμένῃ, ἀποικία ἑλλήνων ἐτύγχανε. Δυτικωτέρα ταύτης ἡ Τόμις ἦν, πόλις εὐδαίμων καὶ μεγαλη, φησὶν ὁ Σωζόμενος, ἧς Βρετανίων ἐπίσκοπος γέτης ἢ γότθος, ὅτε εἰς αὐτὴν ὁ αὐτοκράτωρ Ουάλης ἧκε, καὶ εἰς τὴν ἐκκλησίαν εἰσῆλθεν, ὡς εἰώθει, καὶ πεῖσαι αὐτὸν ἐβύλετο τοῖς Αρείυ δόγμασιν ἕπεσθαι, ἀν-

δρείως μάλα πρὸς τὸν κρατȣ̃ντα παῤῥησιασάμενος περὶ τȣ̃ δόγματος τῶν ἐν Νικαίᾳ συνελθόντων, κατέλιπεν αὐτὸν καὶ εἰς ἑτέραν ἦλθεν ἐκκλησίαν, καὶ ὁ λαὸς ἐπηκολȣ́θησεν. Ἀπολειφθεὶς δὲ ὁ Οὐάλης σὺν τοῖς ἀμφ᾽ αὐτὸν, χαλεπῶς ἤνεγκε τὴν ὕβριν, καὶ συλληφθέντα τὸν Βρετανίωνα εἰς ὑπερορίαν ἄγεσθαι προσέταξεν. Ἀλλ ȣ̓κ ἐς μακρὰν, δεδιὼς μή τι τὸ πλῆθος νεωτερίσῃ, ἐπαναχθῆναι ἐκέλευσεν. Ἐς ταύτην τὴν πόλιν ἐξωρίσθη ὁ ποιητὴς λατῖνος Ὀβίδιος ῥωμαίοις ἀνήκȣσαν, καὶ ἐν τῇ νῦν Βȣλγαρίᾳ κειμένην, ἀλλ᾽ ȣ̓κ εἴς τινα τῶν ἐντὸς τȣ̃ Ἰςρȣ κειμένων ἐν τῇ Βασσαραβίᾳ, ἣν οἱ ῥωμαῖοι, ἐπέδραμον μὲν, κατεκτήσαντο δὲ ȣ̓δέποτε.

Ἡ μὲν ȣ̓̃ν Ἰςρόπολις πολίχνιον ἦν, φησὶν ὁ Στράβων, μιλησίων, πεντακοσίȣς ςαδίȣς ἀπέχȣσα τȣ̃ ἱερȣ̃ ςόματος· ἡ δὲ Τόμις, ἕτερον πολίχνιον ἐν διακοσίοις πεντήκοντα ςαδίοις. Πολίχνιον δὲ τȣ̃το ὀνομάζει ὁ Στράβων, καὶ ἦν καὶ τȣ̃το μιλησίων ἀποικία. Φαίνεται δὲ, μετὰ ταῦτα πολ-

λῶν γετῶν ἢ γότθων συῤῥοίας γενομένης, πόλιν μεγάλην ἐκγοτθισθὲν γενέσθαι τὸ πολίχνιον. Μετὰ δὲ ταύτην πρὸς δυσμὰς καὶ νότον, μέχρι Βυζαντίȣ, πολλαὶ ἕτεραι ἦσαν πόλεις ἑλλήνων ἀποικίαι. Επὶ δὲ τῷ ϛόματι τȣ̃ Τύρα πύργος ἐϛὶ Νεοπτολέμȣ καλȣ́μενος, καὶ κώμη Ερμόνακτος καλȣμένη. Αναπλεύσαντι δὲ ἑκατὸν καὶ τεσσαράκοντα ϛαδίȣς τὸν ποταμὸν, ἐφ' ἑκάτερα πόλεις εἰσίν· ἡ μὲν ἐν δεξιᾷ, (ἐν τῷ ἀνατολικωτάτῳ τῆς ἡμετέρας Ρȣμȣνίας,) Νικωνία· ἡδ' ἐν ἀριϛερᾷ, Οφιȣ̃σσα. Τὰ σημεῖα τȣ̃ ἔθνȣς τῶν γετῶν, ἱππȣρὰ ἦσαν, ὥσπερ καὶ τοῖς νῦν τύρκοις καὶ τοῖς βȣργάροις πρὶν χριϛϊανȣ̀ς γενέσθαι· ἔτι δὲ καὶ ὀνοκράνιον· παρὰ γὰρ τοῖς γέταις, διὰ τὸ αὔταρκες, ἀτάραχον, ἀκατάπληκτον, ὑπομονητικὸν καὶ φίλεργον, διὰ τιμῆς ἦγετο τὸ ζῶον καὶ σέβατος.

Επαινȣ̃νται δὲ οἱ σκύθαι διὰ τὴν ἁπλότητα αὐτῶν, διὰ τὴν φιλελευθερίαν, διὰ τὴν μεγαλοφροσύνην καὶ διὰ τὴν δικαιοσύνην· ἃ γὰρ ὑπὸ σκυθῶν, τοῖς ἴωσι μὴ

πεισθεῖσι λῦσαι τὴν γέφυραν, ἀπέῤῥιπται, ἀξιόλογα· καὶ Δρομιχαίτε ἃ πρὸς Λυσίμαχον εἶπε καὶ ἐποίησε, τῶ ὄν τι μεγαλόφρονος καὶ γενναίε ἀνδρὸς λόγοι καὶ ἔργα τυγχάνεσιν. Ομηρος μὲν ἒν σκύθας ἐκ ὀνομάζει, μυσῶν δὲ καὶ θρακῶν, σκυθικῶν ἐθνῶν (ὥσπερ λέγομεν καὶ νῦν τὲς σκύθας τατάρες) ἐξυμνεῖ τὴν δικαιοσύνην καὶ τὴν ἀγχεμαχίαν. Καὶ οἱ μετὰ τἕτον ἕλληνες σύμφωνοι τέτῳ τυγχάνεσιν, ὥσπερ καὶ Αἰσχύλος φάσκων

Ἀλλ᾽ ἱππικῆς βοτῆρες εὔνομοι σκύθαι.

Οὐδὲν δὲ θαυμαςὸν, φησὶν ὁ Στράβων, τοιἕτες εἶναι, ζῶντας ἀπὸ θρεμμάτων καὶ γάλακτος καὶ τυρἒ καὶ μάλιςα ἱππείε, θησαυρισμόν τε καὶ καπηλείας ἐκ εἰδότας, πλὴν ἢ φόρτον ἀντὶ φόρτε· πᾶντα δὲ, πλὴν ξίφες καὶ ποτηρίε, κοινὰ κεκτημένες· ἐν δὲ τἕτοις, καὶ τὰς γυναῖκας ἔχοντας κοινὰς καὶ τὰ τέκνα.

Αυτη δὲ ἡ ὑπόληψις, φησὶν ὁ Στράβων, καὶ νῦν ἔτι συμμένει παρὰ τοῖς ἕλλησιν· ἁπλεςάτες τε γὰρ αὐτὲς νομίζομεν καὶ

ἥκιστα κακεντρεχεῖς, εὐτελεστέρους τε πολὺ ἡμῶν καὶ αὐταρκεστέρους, καί τοι ὁ καθ' ἡμᾶς βίος εἰς πᾶσαν σχεδὸν διατέτακε τὴν πρὸς τὸ χεῖρον μεταβολὴν, τρυφήν τε καὶ ἡδονὰς καὶ κακοτεχνίας, εἰς πλεονεξίας μυρίας πρὸς ταῦτα εἰσάγων· πολὺ οὖν τῆς τοιαύτης κακίας καὶ εἰς τοὺς βαρβάρους ἐμπέπτωκε, τούς τε ἄλλους καὶ τοὺς νομάδας· καὶ γὰρ θαλάσσης ἁψάμενοι, χείρους γεγόνασι, λῃστεύοντες καὶ ξενοκτονοῦντες, καὶ ἐπιπλεκόμενοι πολλοῖς, μεταλαμβάνουσι τῆς ἐκείνων πολυτελείας, καὶ καπηλείας, ἃ δοκεῖ μὲν εἰς ἡμερότητα συντείνειν, διαφθείρει δὲ τὰ ἤθη καὶ ποικιλίαν ἀντὶ ἁπλότητος εἰσάγει. Ταῦτ' ἄρα καὶ Πλάτων ἐν τῇ πολιτείᾳ, τὴν θάλασσαν ὡς πονηροδιδάσκαλον, φεύγειν οἴεται δεῖν, ὅτι πορρωτάτω, τοὺς εὖ πολιτευομένους, καὶ μὴ οἰκεῖν ἐπ' αὐτῇ· Φησὶ Πτολεμαῖος ὁ Λάγου, στρατευομένῳ ἐπὶ τριβαλλοὺς Ἀλεξάνδρῳ, συμμίξαι κελτοὺς τοὺς περὶ τὸν Ἀδρίαν, φιλίας καὶ ξενίας χάριν. Δεξάμενον δὲ αὐτοὺς φιλοφρόνως τὸν βασιλέα, ἐρέσθαι παρὰ τὸν

πότον, τί μάλιςα εἴη ὅ φοβοῖντο, νομίζοντα, αὐτὸν ἐρεῖν· αὐτὲς δ᾽ ἀποκρίνασθαι, ὀδὲν, εἰμὴ ἄρα αὐτοῖς ὁ ὀρανὸς ἐπιπέσοι, φιλίαν γεμὴν ἀνδρὸς τοιότε περὶ παντὸς τίθεσθαι. Ταῦτα ἁπλότητός ἐςι καὶ ἀνδρίας σημεῖα. Τοιοῦτον δ᾽ ἔτι καὶ τὸ τῦ Σύρμε μὴ συγχωρήσαντος τὴν ἀπόβασιν εἰς τὴν νῆσον Πεύκην, δῶρα δὲ πέμψαντος καὶ συνθεμένε φιλίαν, καὶ φοβεῖσθαι μὲν μηδένα φαμένε, φιλίαν δὲ μεγάλων ἀνδρῶν περὶ παντὸς τίθεσθαι.

Τὴν δὲ γετικὴν ἢ σκυθικὴν ἁπλότητα ὁρῶμεν καὶ ἐν τοῖς πρὸ ἡμῶν μογγόλοις τοῖς νογαΐδαις, τοῖς ὀ πολὺ πρὸ τῶν καθ᾽ ἡμᾶς χρόνων ἐν τῇ Ρεμενίᾳ περιφερομένοις. Εἰ χρησιμεύει, ἔλεγεν ὁ Νογᾶς, ἀφ᾽ ὃ καὶ τὸ ἔθνος παρωνομάσθη, τοῖς ἀπὸ Κωνςαντινεπόλεως ἀφικομένοις πρέσβεσι, πρὸς κεφαλὴν ἐπὶ τῷ ἄπονον εἶναι καὶ ἀνάλγητον, ἡ καλύπτρα· εἰ ὁ ἐπανεσπαρμένος μάργαρος ἀμύνειν ἔχει ταύτῃ τὰς ἀςραπάς· εἰ εἰς βροντῶν κτύπες ὁ λίθος συναίρεται· εἰ τὰ πολυτελῆ ἐνδύματα εἰς

ἀπονίαν μελῶν συλλαμβάνει· ἐκτὸς εἰ μήτις οἴοιτο τὸν Νογᾶν τὸν διὰ σύνεσιν καὶ ἀνδρίαν ςρατηγικὴν περιαδόμενον, ὥςπερ ταώς, περιττῶς πάντη ἐςολισμένȣς τȣ̀ς κωνςαντινȣπολίτας πρέσβεις ἰδόντα, λέγειν ἀςειότερον ταῦτα, ἐρεσχελίας καὶ χλεύης λαμβάνοντα αὐτȣ̀ς ὑποκείμενον.

Ἐγκράτειαν δὲ ȣ̔ πάννυτοι γετῶν, ὥσπερ ȣ̓δ' ἀγαθύρσων καί, ὅλως, σκυθῶν, ἔχομεν λέγειν καὶ βȣλόμενοι. Μένανδρος γὰρ ȣ̓ πλάσας, ὡς εἰκός, ἀλλ' ἐξ ἱςορίας λαβὼν περὶ αὐτῶν λέγει· πάντες οἱ Θρᾷκες, μάλιςα δὲ οἱ γέται ἡμεῖς ἁπάντων· καὶ γὰρ καὶ αὐτος εὔχομαι ἐκεῖθεν εἶναι τὸ γένος· οὐ σφόδρα ἐγκρατεῖς ἐσμέν· καὶ ὑποκαταβὰς μικρόν, τῆς περὶ τὰς γυναῖκας ἀκρασίας τίθησι τὰ παραδείγματα. Γαμεῖ γὰρ ἡμῶν οὐδεὶς μίαν, ἀλλὰ δέκα ἢ ἕνδεκα γυναῖκας, δώδεκάτε, πλείους τινές· ἂν δὲ τέτταρας ἢ πέντε γεγαμηκὼς τύχοι, καταςροφή τις τὸ πρᾶγμα, καὶ ἀνυμέναιος, ἄνυμφος, ἄθλιος οὗτος ἐπικαλεῖται. Οὐκȣ̃ν, τȣ̃το δὲ τῶν ὡς ἐπὶ τὸ πλεῖςον, καὶ θερμοὶ περὶ θεȣ̀ς οἱ γέται· ἅπαντες γὰρ τῆς δυσειδαιμονίας ἀρχηγȣ̀ς οἴονται τὰς

γυναῖκας· αὗται δὲ καὶ τὺς ἄνδρας προσκαλῦνται πρὸς τὰς ἐπὶ πλέον θεραπείας καὶ ἑορτὰς καὶ ποτνιασμὺς. Σπάνιον δὲ εἴτις ἀνὴρ ζῶν καθ᾽ ἑαυτὸν, εὑρίσκεται τοιῦτος. Ορα δὲ πάλιν τὸν αὐτὸν ποιητὴν, ἃ λέγει, εἰσάγων τὸν ἀχθόμενον ταῖς περὶ τὰς θυσίας τῶν γυναικῶν ἀπάταις, καὶ λέγοντα·

ἐπιτρίβουσι δ᾽ ἡμᾶς οἱ θεοὶ, μάλιϛα τοὺς γήμαντας·
ἀεὶ γὰρ ἑορτὴν ἄγειν ἐϛὶν ἀνάγκη.

Θαύματος δὲ ἄξιον, παρὰ τοῖς σκύθαις, καὶ τὸ σέβας τῶν παίδων πρὸς τὺς γονέας, καὶ τὸ ἀξίωμα τύτων ἐπ᾽ ἐκείνων. Τοῖς δὲ τάφοις τῶν γονέων οἱ σκύθαι μονονυχὶ θείας τιμὰς προσέφερον, καὶ ὐδὲν παρ᾽ αὐτοῖς πολυτιμότερον τύτων κειμήλιον. Εχει τις μετὰ λόγυ βαρβάρυς ὀνομάζειν τοιύτυς ἄνδρας; Ω βασιλεῦ μήδων φησὶ πρὸς Κῦρον ἡ Τόμυρις, παῦσαι σπεύδων τὰ σπεύδεις· ὐ γὰρ ἂν εἰδείης, εἴτοι ἐς καιρὸν ἔϛαι ταῦτα τελεύμενα. Παυσάμενος δὲ, βασίλευε τῶν σεωῦτῦ, καὶ ἡμέας ἀνέχευ ὁρέων ἄρχοντας, τῶν ἄρχομεν. Φήσομεν βαρβαρικὰ ταῦτα; ἀλλὰ

φιλαύτων πέραν τȣ̃ δέοντος ὁ λόγος, καὶ ἠλίθιος πάντη ἡ ἀπόκρισις.

Ο δὲ θαυμαςὸν ἡγεῖται σκυθῶν Ηρόδοτος, τȣ̃το κοινὸν καὶ τῶν ταταρων ἐν τοῖς καθ' ἡμᾶς χρόνοις βλέπομεν. Φησὶ γȣ̃ν ὁ Ηρόδοτος. Τῷ δὲ σκυθικῷ γένεϊ, ἓν μὲν τὸ μέγιςον τῶν ἀνθρωπηίων πρηγμάτων σοφώτατα πάντων ἐξεύρηται τῶν ἡμεῖς ἴδμεν· τὰ μέντοι ἄλλα ȣ̓κ ἄγαμαι· Τὸ δὲ μέγιςον ȣ̃τω σφι ἐξεύρηται, ὥςε ἀποφεύγειν τε μηδένα ἐπελθόντα ἐπὶ σφέας, μὴ βȣλομένȣς τε ἐξευρεθῆναι, καταλαβεῖν μὴ οἷόντε εἶναι. Τοῖσι γὰρ μήτε ἄςεα, μήτε τείχεα ᾖ ἐκτισμένα, ἀλλὰ φερέοικοι ἐόντες πᾶντες, ἔωσι ἱπποτοξόται, ζώοντές τε μὴ ἀπ' ἀρότρȣ, ἀλλ' ἀπὸ κτηνέων, οἰκήματά τε ᾖ ἐπὶ ζευγέων· κῶς ȣ̓κ ἂν εἴησαν ȣ̃τοι, ἄμαχοί τε καὶ ἄποροι προσμίγειν. Τὸν αὐτὸν βίον καὶ καθ' ἡμᾶς οἱ τάταροι βιȣ̃σιν οἱ ἐκείνων πολῖται, ἔν τε τῇ μεγάλῃ Ταρταρίᾳ καὶ ἐν ἑτέροις μέρεσι τῆς Ασίας, πανσκηνεὶ, περιφερόμενοι καὶ περιπλανώμενοι, τὸν ἑδραῖον ἐν πόλεσι βίον ἀποςρεφόμενοι

καὶ μυσαττόμενοι, καὶ κατάραν τὴν οἴκησιν τῶν πόλεων οἰόμενοι, καὶ καταρώμενοί τινι, ἀναπνείτω κεχεσμένον ἀέρα λέγȣσιν· αὐτὰς δὲ τὰς πόλεις, ὡς τὸν εἰσπνεόμενον ἀέρα μολυνȣσας καὶ δυσώδη ποιȣσας, κοπρῶνας ὀνομάζȣσιν. Οιος δὲ καὶ ὁ βίος τῶν ἀπογόνων τῶν κύρτων τȣ Στράβωνος, (ἢ κιȣρτων, ὡς πάλαι τὸ υ πρȣφέρετο, ὡς ἔοικε) τῶν μέχρι καὶ νῦν ἐντὸς Τίγρεως καὶ Μεσογείȣ περιφερομένων· καὶ χειμῶνος μὲν, μέχρι τȣ περσικȣ κόλπȣ καὶ τῶν παραμεσογείων κατιόντων· θέρȣς δὲ, μέχρι τȣ Ταύρȣ καὶ τῶν Καυκασίων, μὰ Δίαγε, ȣκ ἀγρίως, ȣδ' ἀπειροκάλως, ȣδ' εὐήθως ἀνιόντων, καὶ δὶ ἁπλότητα καὶ καθαρότητα ἠθῶν, καὶ εὐκολίαν βίȣ καὶ εἰλικρίνειαν ἐπαινȣμένων!

Εςι μὲν ȣν καὶ τȣτο τεκμήριον τȣ τȣς παλαιȣς σκύθας καὶ τȣς νῦν τατάρȣς ἐκ τῶν αὐτῶν τόπων, τῶν ὡς φυτωρίων τȣ ἀνθρωπίνȣ γένȣς θεωρητέων, ἐς τὰ δυτικὰ τῆς Ἀσίας καὶ ἐς τὴν ἡμετέραν Ευρώ-

πην ἀφικέσθαι· εἰ καί τις ἡμῖν ἀντιπροτείνειν ἔχει ἐνταῦθα τὸν αὐτὸν τῆς μαντικῆς τρόπον τῶν ἀϊὕνων, τῶν ἱερέων τῶν πέραν τῦ Λένα ποταμῦ οἰκύντων πράων καὶ ἱλαρῶν σογῶν, καὶ τῶν γεδάτζων τῶν ἱερέων τῶν κρασναγόρων (ἄμφω, οἵτε σογαὶ καὶ οἱ κρασναγόροι, ταταρικά εἰσιν ἔθνη), καί τινων κατοίκων τῆς Εὐρώπης. Οι μὲν γὰρ ἀϊῦνοι ἐν πτυχαῖς χειρῶν, οἱ δὲ γεδάτζοι ἐν σπίλοις καὶ διαφυαῖς ἐψηθείσης ἢ ὀπτηθείσης ὠμοπλάτης, ὡς περ ἐν ἠνεωγότι βιβλίῳ ἀναγινώσκοντες, τὸ μέλλον ἀποφοιβάζυσι. Τὰ αὐτά τινες κᾀν πολλοῖς μέρεσι τῆς Εὐρώπης ποιῦσιν, ἀπατῶντες ἢ ἀπατώμενοι ἑκάτεροι· καὶ πάντως ὐκ ἂν εἴποι τις ὅτι ἡ τοιάδε μαντικὴ τῶν εὐρωπαίων ἐκεῖθέν ποτε ἀφίκετο. Εἰ καί τις ἔτι τὴν πατριαρχικὴν πολιτείαν καὶ τὴν ταύτης ἁπλότητα καὶ εὐκολίαν ἐπάγειν ἔχει ἐς ἰσχυροτέραν ἔνςασιν, κοινὰ ταῦτα τῶν τῇ φύσει πλησιεςέρων οἰόμενος, καθολικώτερον τὸ πρᾶγμα σκεπτόμενος, καὶ τοῖς ἐκ τῶν κόλπων τῆς φύ-

σεως, ὡς νεωςὶ προερχομένοις, τὰ αὐτὰ συμβαίνειν καὶ ἐννοήματα καὶ ἐννοήσεις ἀποφαινόμενος, ὅτι καὶ τὰ αὐτὰ αἰσθητὰ ἔξωθεν ὑπάρχει, καὶ αἱ αὐταὶ αἰσθήσεις καὶ τὰ αὐτὰ αἰσθήματα ἔσωθεν. Καὶ γὰρ καὶ ἔθιμα καὶ νόμȣς ἀράβων ὁρῶμεν, πατριαρχικῶς τὰ πλεῖςα καὶ κατὰ φυλαρχίας πολιτευομένων, τὰ αὐτὰ ἢ ὅμοια τοῖς σιαμαΐανοῖς τυγχάνοντα, ὁμοίως τοῖς ἄραψι καὶ αὐτοῖς τὰ πολλὰ πολιτευομένοις· καὶ ȣ ῥάδιον τὰ ἔθιμα καὶ τȣ̀ς νόμȣς τȣ̃ ἑνὸς ἔθνȣς, ἀποφαίνειν τȣ̃ ἑτέρȣ μιμήματα, πολὺ ἀπ' ἀλλήλων ἀπῳκισμένων, καὶ μηδεμίαν ἐπιμιξίαν πρὸς ἀλλήλȣς ἐχόντων.

Οι σιαμαΐανοὶ γȣ̃ν οἱ τὰ βόρεια τῆς Ἀσίας νεμόμενοι, καὶ ὡς πρὸς τὸ τῆς θρησκείας αὐτῶν δόγμα ἀπὸ τῶν αὐτοῖς ἱερέων ȣ̔́τως ὑπὸ τῶν ἀλλοδαπῶν ὀνομαζόμενοι; παντὸς ζῶȣ καὶ ἑώλȣ καὶ ἤδη ὀδωδότος ἐσθίȣσι, μᾶλλον δὲ καταβιβρώσκȣσι· χοίρȣ γεμὴν ἀπέχȣσι σιαμαΐκοῖς πειθόμενοι δόγμασιν. Ετι δὲ καὶ γυναῖκας δευ-

τεραῖα ἡγȣ́μενοι δημιȣργήματα, καὶ ἐναγῆ καὶ βδελυρὰ πλάσματα νομίζοντες, ὁμοτραπέζȣς αὐτὰς, ἵνα μὴ μιαίνωνται, ὡς εὐαγεῖς αὐτοὶ, ȣ̉κ ἀνέχονται· πίνειν τε καὶ τρώγειν ἀπὸ τȣ̃ αὐτȣ̃ ἀγγείȣ μυσάττονται, καὶ καθίζειν ἐπὶ τῆς αὐτῆς ἕδρας ἀποτροπιάζονται· εἰμὴ πρότερον ἱεροκαπνίαις τισὶ καὶ ἱερυδρίαις τισὶ, καὶ ἑτέραις ἁγιςείαις, ἐς ἁγιασμὸν καὶ καθαρμὸν τȣ̃ ἐναγȣ̃ς καὶ ἀκαθάρτȣ χρήσαιντο. Νιμέτζοι, ὡς ἑαυτȣ̀ς ὀνομάζȣσιν οἱ τὰ πρὸς βοῤῥᾶν καὶ ἔω τȣ̃ Ἀρχαγγέλȣ νεμόμενοι, καὶ οἱ τὰ βόρεια τȣ̃ ὄρȣς Ουρὰλ κατοικȣ̃ντες μάνσοι, ἢ βογγȣ̃λοι ὡς οἱ ἀλλοδαποὶ αὐτȣ̀ς ὀνομάζȣσιν, ȣ̃ς τινες ἀπογόνȣς τῶν ȣ̉ργων ἢ ȣ̉γρων οἴονται, καὶ συγγενὲς ἔθνος μοαγγύροις, ȣ̉δὲν ȣ̉τω μυσαρὸν ὡς λεχὼ γυναῖκα καὶ ἐν ἐμμήνοις οἴονται. Ἀλλ' ἐβεοὶ, ἢ κατ' ἀλλοδαπȣ̀ς τȣγγȣ̃ζοι, οἱ ἀναμεταξὺ τȣ̃ Λένα καὶ τȣ̃ Ὠκεανȣ̃ οἰκȣ̃ντες, ὥσπερ καὶ οἱ σογαὶ, ἔθνος ἥσυχον καὶ πολυάνθρωπον, ἐκ διαμέτρȣ ἀντικείμενα πράττȣσι, παιδίȣ τεχθέντος· τηγανίζον-

τες γὰρ τὸ ὕϛερον (1) ἢ ἄλλως πως εἰς ἐδωδὴν παρασκευάζοντες, μετὰ τῶν προσηκόντων μόνων, ὡς ἐξαιρετόν τι ἐσθίȣσι, καὶ τοῖς τυχȣ̃σι μεταλαμβάνειν τȣ́τȣ ȣ̉κ ἐπιτέτραπται. Ουτοι καὶ φθειροφάγοι εἰσὶ, καὶ ὁ Ηρόδοτος ȣ̉ ψεύδεται. Ετι, καθόλȣ, οἱ σιαμαϊανοὶ ὠνίας εἰς τεκνοποιΐαν ἄγȣσι τὰς γυναῖκας, ὡς καὶ οἱ παλαιοὶ Θρᾷκες ἐποίȣν, ἀνάλογον τῷ κάλλει τȣ̃ σώματος ἐκτιννύντες τοῖς ἐκδιδομένοις τὸ τίμημα, ἢ τὸ εἰς ἀλλαγὴν ἐπιτήδειον

(1) Τὸ κοινῶς λεγόμενον ἄκλωθον. Τȣ̃το τῇ μήτρα πȣ ἐμπέφυκεν, ὡς μικρὸς, παχὺς, ϛρογγύλος πλακȣ̃ς, ἢ ὡς μέγας παχὺς, εὐθέως ἐξηπλωμένος μύκης, καὶ τῇ αὐτȣ̃ περιφερείᾳ ὁ βρεφοθύλαξ ἢ τὸ χορίον ἐφήρμοϛαι, καὶ τῷ ἐν τῷ χορίῳ νηχομένῳ ἐμβρύῳ διὰ τȣ̃ ἐξ ἀρτηρίας καὶ τῶν λοιπῶν ἀγγείων συγκειμένȣ μακρȣ̃ ὀμφαλοσχοίνȣ κοινωνεῖ. Τὰ δὲ ἀγγεῖα ταῦτα, ὀχετοί εἰσι, δι᾽ ὧν τὰ ἀναγκαῖα, ὅ ἐϛι, τὸ θρεπτικὸν αἷμα, ἐκ τȣ̃ ὑϛέρȣ εἰς τὸ ἔμβρυον εἰσρέȣσι, καὶ τὰ μὴ ἀναγκαῖα ἐκρέȣσι· κυκλοφορία γάρ τις ἐν τῷ ὑϛέρῳ καὶ τῷ ἐμβρύῳ ἑτεροία παντάπασι γίνεται. Ὕϛερον δὲ ὠνομάσθη, καὶ δευτέριον ἔτι, ὁ πλακȣ̃ς ȣ̃τος ἢ ὁ μύκης, ὡς μετὰ τὸ βρέφος ὑπὸ τῆς μήτρας ἐξωθȣ́μενος· καὶ τῆς ἐξώσεως δυσχεροῦς οὔσης, θάνατος συμβαίνει ἐνίοτε τῇ τικτȣ́σῃ.

*προσφέροντες, ὥς περ ἵππον ἢ δάμαλιν ἢ ὄνον ἐμπορευόμενοι. Επειδὴ δὲ ἀνωτέρω ἱερέων σιαμαῶν ἐμνήσθημεν, ἰδὲ ἐφεξῆς πῶς παρά τισι τῶν βορείων ἐθνῶν ὁ θεὸς ὀνομάζεται.*

*Παρὰ τοῖς νιμέτζοις - - νεμ.*
*Παρὰ τοῖς μάροις - - - ιεμα.*
*Παρὰ τοῖς σεόμοις - - ζεμαρ ἢ θορ.*
*Παρὰ τοῖς μορδβίνοις - - πας.*
*Παρὰ τοῖς εδμέρτοις - - ινμαρ ἢ ιλμα.*
*Παρὰ τοῖς μάνσοις - - τορομ, (φῶς).*
*Παρὰ τοῖς ἀςυάγοις - - ιννεν νομ, (ὕψιςος θεὸς).*
*Παρά τοῖς ἐβεοῖς - - - μποα.*
*Παρὰ τοῖς μπεραΐταις - - τιγγι μπεργαμ, (θεὸς τε ερανε).*
*Παρὰ τοῖς τελεέταις - - κεδαϊ.*
*Παρὰ τοῖς ἰτελμανοῖς - - κετκα.*

*Οι νιμέτζοι ὀνομάζεσι τὸν ἱερέα, ταδυμπ· οἱ ἐβεοὶ καὶ οἱ Μπεραΐται, σιαμάην· οἱ τελεέται, γαμ. Ιτελμανοὶ τὸ ἐπιχώριον ὄνομα τῶν καμτζατκιωτῶν ἐςι.*

## Αλέξανδρος μακεδών·

Περὶ πεντεκαίδεκα ἐνιαυτὲς πρὸ τȣ̃ δευτέρȣ ἡμίσεως τῆς τετάρτης πρὸ τȣ̃ ἔτȣς ἡμῶν ἑκατονταετηρίδος, ἀφικνεῖται πέραν τȣ̃ Ιςρȣ ἕτερός τις κοσμοδυνάςης, θράσȣς νεανικȣ̃ καὶ συνέσεως ςρατηγικῆς ἔμπλεως νεανίας, ὁ μέγας Αλέξανδρος. Καταλαμβάνει ἐνταῦθα ἡκȣ̃σας οἱ ναῦς ἐκ Βυζαντίȣ. Συμφεύγȣσιν οἱ τριβαλλοὶ καὶ οἱ θρᾶκες ἐς τὴν Πεύκην νῆσον. Εμπίπλησι τὰς ναῦς τοξοτῶν καὶ ὁπλητῶν. Εμβαίνει. Επιπλεῖ τῇ νήσῳ. Αποτυγχάνει διὰ τὸ ἀπότομον τῆς νήσȣ καὶ διὰ τὸ ῥεῦμα. Απάγει τὰς ναῦς ἐντεῦθεν. Ορᾷ τȣ̀ς γέτας συνειλεγμένȣς ἐν τῇ ἀριςερᾷ ὄχθῃ ὡς ἀντιςησομένȣς οἱ μετὰ μυρίων πεζῶν καὶ τετρακισχιλίων ἱππέων. Αποφαίνεται τὴν ἐπ' αὐτȣ̀ς διάβασιν. Επιβαίνει τῶν νεῶν αὐτός. Πληροῖ κάρφȣς τὰς διφθέρας ὑφ' αἷς ἐσκήνȣ. Συνάγει τὰ μονόξυλα δἰ ὧν ἁλιεία, ἐπιμιξία καὶ λῃςεία τοῖς παριςρίοις. Διαβαίνει ȣ̔́τω τὸν Ιςρον,

μεθ᾽ ἱππέων μὲν ἐς χιλίους πεντακοσίους, πεζῶν δὲ ἐς τετρακισχιλίους. Προσέχει νυκτὸς ᾗ λήιον ἦν σίτου βαθύ. Λανθάνει διὰ τοῦτο. Προάγουσιν ὑπὸ ἕω ἐπὶ τὰ οὐκ ἐργάσιμα, αὐτὸς μὲν μετὰ τῶν ἱππέων ἐν τῷ δεξιῷ κέρατι τυγχάνων, Νικάνωρ δὲ μετὰ τῆς φάλαγγος ἐν τῷ ἀριστερῷ. Θαυμάζουσιν οἱ Γέται τὴν τόλμαν τοῦ Ἀλεξάνδρου καὶ καταπλήττονται. Φοβοῦνται τὴν σύγκλεισιν τῆς φάλαγγος. Καταφεύγουσιν ἐς τὴν πόλιν ἀπέχουσαν τοῦ Ἴστρου, ὅσον παρασάγγην. Λείπουσι καὶ ταύτην, κακῶς τετειχισμένην. Αναλαμβάνουσιν ἐπὶ τῶν ἵππων, παῖδας, γυναῖκας, ὅσα δύνανται. Φεύγουσιν ὡς πορρωτάτω. Ἀσθενὲς τὸ βάρβαρον φῦλον πρὸς συντεταγμένην φάλαγγα καὶ ὡπλισμένην καλῶς, ἀντιπαρατάττεσθαι. Αἱρεῖ τὴν πόλιν Ἀλέξανδρος. Θύει ἐπὶ τῇ ὄχθῃ τοῦ Ἴστρου Διὶ σωτῆρι καὶ Ἡρακλεῖ καὶ αὐτῷ τῷ Ἴστρῳ, καὶ ἐπανάγει, τῆς αὐτῆς ἡμέρας, σώους ἅπαντας ἐς τὸ στρατόπεδον πέραν τοῦ Ἴστρου.

Ἰδοὺ καὶ ἃ λέγει ὁ Στράβων περὶ τῆς

ἐκςρατείας ταύτης. Ἀλέξανδρος δὲ ὁ Φιλίππε κατὰ τὴν ἐπὶ Θρᾶκας τὲς ὑπὲρ τῦ Αἵμε ςρατείαν, ἐμβαλὼν ἐς τριβαλλὲς (Θρακικὸν ἔθνος) ὁρῶν μέχρι τῦ Ἴςρε καθήκοντας, καὶ τῆς ἐν αὐτῷ νήσε Πεύκης, τὰ πέραν δὲ γέτας ἔχοντας, ἀφῖχθαι λέγεται μέχρι δεῦρο, καὶ ἐς μὲν τὴν νῆσον ἀποβῆναι μὴ δυνάμενον, σπάνει πλοίων· ἐκεῖσε γὰρ καταφυγόντα τὸν τριβαλλῶν βασιλέα, ἀντισχεῖν πρὸς τὴν ἐπιχείρησιν, ἐς δὲ τὲς γέτας διαβάντα ἑλεῖν τὴν αὐτῶν πόλιν, καὶ ἀναςρέψαι διὰ ταχέων εἰς τὴν οἰκείαν, λαβόντα δῶρα παρὰ τῶν ἐθνῶν καὶ παρὰ τῦ Σύρμε. Ταῦτα καὶ Στράβων φησὶ περὶ τῆς ἐπὶ Ῥεμενίαν ἐκςρατείας τῦ Ἀλεξάνδρε, πολλὰ μὲν φρονιμώτερα καὶ ςρατηγικώτερα ἑτέρων πρὸ αὐτῦ τε καὶ μεθ' αὐτὸν πράξαντος, πολλὰ δὲ ληςρομανικὸν χαρακτῆρα ἐπιφήναντος, λεηλατήσαντος καὶ κατασκάψαντος πόλιν ἀθῷαν μηδὲν αὐτὸν πεποιημένην. Βιάζεσθαι μὲν γὰρ ἀνθρώπες ληςείας ἀπέχεσθαι, καὶ τὸ ἄροτρον ἐναγκαλιζομένες, εἰρηνικώτερον πο-

λιτεύεσθαι, καὶ ταῖς τέχναις καὶ ἐπιςήμαις, ταῖς εὐεργετρίαις τȣ̃ ἀνθρωπίνȣ γένȣς ἐνασχολεῖσθαι, ὥςπερ οἱ κοσμοδυνάςαι ἐποίȣν ῥωμαῖοι, τῇ μὲν μιᾷ χειρὶ, τὸ ξίφος, τῇ δ' ἑτέρᾳ, τὸ ἄροτρον φέροντες καὶ προσφέροντες τοῖς ἔθνεσι, καὶ πρὸ αὐτῶν αὐτὸς ȣ̃τος ὁ μακεδὼν Ἀλέξανδρος, ὁ πλείȣς πόλεις κατασκευασάμενος ἢ ἀνασκευασάμενος, καλὸν καὶ ἀξιέπαινον· ὁπλοφορȣ̃ντα δὲ οἰςρηδὸν καὶ ὡς μαινόμενον περιφέρεσθαι, ȣ̓δὲν ἕτερον ὑποταγῆς καὶ λεηλασίας ἐν νῷ ἔχοντα, καὶ καταθορυβεῖν ȣ̔́τω καὶ κατασυγχέειν καὶ ἀναςατȣ̃ν τὸ πᾶν, ὥς τινας ἐν τοῖς ἡμετέροις χρόνοις, τοῖς φιλοσοφικοῖς λεγομένοις εἴδομεν, βάρβαρον καὶ ἀπάνθρωπον, καὶ ὡς ἐριννύες ἐκ τȣ̃ ταρτάρȣ ἀναχθεῖσαι τῷ κόσμῳ, κοσμοκατάραι καὶ κοσμομάςιγες αὐτόχρημα, οἱ τοιȣ̃τοι νομίζεσθαι ἄξιοι. Φαίνεται δὲ ἐκ τȣ́των, καὶ ἐπειδὴ μέλλειν ἐντὸς τȣ̃ Ἴςρȣ ȣ̓κ ἠβȣ́λετο ὁ Ἀλέξανδρος, ὅτι ȣ̓ πόῤῥω τȣ̃ νῦν Ῥὲν, ἢ μᾶλλον Ἰσμαὴλ ἡ λεηλατηθεῖσα καὶ κατασκα-

φεῖσα ἀθλία πόλις ἔκειτο, ἐφ' ἣν τὸ δοξομανὲς καὶ φιλοθόρυβον ἔσυρε τὸν μακεδόνα, τῶν διδασκαλιῶν τȣ̃ φιλοσόφȣ διδασκάλȣ, τȣ̃ ἑτεροίας πάντη πάντως ἐννοίας αὐτῷ δόξης ἐμπεπνευκότος, περιφρονήσαντα. Ἀλλὰ Δαρεῖος μὲν τίσιν πρόφασιν δοξομανίας ποιȣ́μενος, διέβη τὸν Ἴςρον, Ἀλέξανδρος δὲ, ὑπερτερῶν Δαρείȣ, ψεύσασθαι ȣ̓κ ἠθέλησε.

Τὰ μεσημβρινὰ τῆς Ρȣμȣνίας ὑπέπεσον μὲν ἔπειτα τῇ ἀρχηγεμονίᾳ τῶν βασιλέων τῆς Μακεδονίας, ἐτύγχανον δὲ ὑπὸ ἰδίων βασιλέων βασιλευόμενα. Ἀλλὰ γὰρ Λυσίμαχος εἷς τῶν διαδόχων τȣ̃ μεγάλȣ Ἀλεξάνδρȣ, βασιλεὺς τῆς Μακεδονίας, τὸ κράτος αὐτȣ̃ ἐν τοῖς μεσημβρινοῖς τῆς Ρȣμȣνίας κρατύναι, ἢ τὸ ἔθνος ὑποδȣλῶσαι ὅλως βȣλόμενος, διαβαίνει μετὰ ςρατιᾶς τὸν Ἴςρον, τετάρτην ταύτην διάβασιν καὶ εἰσβολὴν, ἐνταῦθα ἐκ μεσημβρίας μνημονευομένην, περὶ τὸ δέκατον τέταρτον ἔτος τῆς τετάρτης ἑκατονταετηρίδος· ἀτὰρ ἡττᾶται μεγάλην ἧτταν καὶ ζωγρεῖται ὑπὸ

των γετων. Δρομιχαίτης δὲ ὁ τῷ ὄντι μέγας βασιλεὺς τῶν γετῶν, παιδεῦσαι καὶ θανατῶσαι αὐτὸν εἰκὸς, ὡς λῃςὴν καὶ κακοποιὸν ἄνδρα, καὶ τὰς γείτονας ἠρεμεῖν μὴ ἐῶντα, καὶ ταραχοποιὸν καὶ ἐπικίνδυνον, μηδὲν αὐτὸν ποιήσας, ἀλλ' ἢ δείξας τὴν πενίαν αὐτᾶ καὶ τᾶ ἔθνας, καὶ τὴν αὐτάρκειαν, καὶ εἰπὼν τοῖς τοιάτοις μὴ πολεμίοις ἀλλὰ φίλοις χρῆσθαι, φιλοσοφικὰς ὅτω παραινέσεις ὁ ἀπαίδευτος τῷ πεπαιδευμένῳ διδὰς, ξενίσας τε αὐτὸν καὶ σπεισάμενος πρὸς αὐτὸν φιλίαν, ἀπέλυσεν. Ουτω μὲν ἂν, ὁ σκαιὸς μὲν καὶ ἄγριος, ἀςικότητος δε καὶ ἡμερότητος ἔμπλεως γαίτης, τὸν ἀςικὸν μὲν καὶ ἥμερον, σκαιότητα δὲ καὶ ἀγριότητα πνέοντα ἕλληνα, τὸν κακὸν ξένον κάλλιςα ἐφιλοξένησε, λόγας τε εἰπὼν καὶ πράξεις πράξας, τῷ ὄντι ἀξιόλογα καὶ ἀξιομνημόνευτα· ἐκ τάτων γὰρ δῆλα γίνονται τὰ γενναῖα καὶ μεγάλα καὶ βασιλοπρεπῆ φρονήματα τᾶ Δρομιχαίτα, ὅν οἱ διεφθαρμένοι ἕλληνες ὠνόμαζον βάρβαρον· παρ' ἡμῶν δὲ ὁ τῆς ἀρετῆς αὐτᾶ καὶ τῆς

*μεγαλεργίας αὐτῷ ὀφείλεται καὶ ἀποδίδοται ἔπαινος.*

*Πενίαν δὲ ἀκούοντας ἐνταῦθα, τὴν δοκοῦσαν καὶ μὴ οὖσαν, τὴν προληπτικὴν καὶ οὐ πραγματικὴν ἡγητέον, τὴν λιτότητα καὶ οὐ τρυφὴν, τὴν φιλοσοφικὴν αὐτάρκειαν νομιστέον, ἀλλ' οὐχὶ τὴν ὄντως οὖσαν πενίαν, τὴν νωθρότητος ἢ τυραννίας ἀποτέλεσμα. Οἱ γέται εὐπορίαν εἶχον, ὥσπερ καὶ νῦν οἱ ῥουμοῦνοι, κτηνῶν, ἰχθύων, σίτου καὶ πάντων τῶν πρὸς τὸ ζῆν ὑπολοίπων ἀναγκαίων, καὶ τῷ ὄντι πλούσιοι ἦσαν, καὶ τῶν ἑλλήνων πολὺ πλουσιώτεροι, καὶ ἑτέροις τῶν σφετέρων καλῶν, ὥσπερ καὶ νῦν οἱ ῥουμοῦνοι, μετεδίδοσαν. Σῖτος γὰρ πολὺς, καὶ ταρίχη καὶ ἄλλα ἐδώδιμα καὶ τὸ πάλαι τοῖς ἐκτὸς τοῦ θρακικοῦ βοσπόρου ἐκομίζοντο. Ἀλλ' οὐχ οὕτως ὁ πολὺς ἄνθρωπος δοξάζει, εὐτυχίαν ἑαυτῷ, διὰ δυστυχίαν, ἑτεροίαν τινὰ πάντη φανταζόμενος, οἱ μὲν, ὑπὸ ματαιοφροσύνης, οἱδὲ, ὡς ὁ χρηστὸς ἡμῶν Δρομιχαίτης, ὑπὸ ἁπλότητος.*

*Παραθήσομεν δὲ ἐνταῦθα, καὶ ἃ ἡμῖν*

Δρομιχαίτȣ καὶ Λυσιμάχȣ μνησθεῖσιν, ἐν νῷ ἐγένετο. Πρὸ δέκα ἐνιαυτῶν περί πȣ, συοφορβὸς ῥȣμȣ̃νος, ἐν Αρδὲλ πέραν τȣ̃ Πελεγρὰδ, περὶ τὴν Δέβαν, τὰς σῦς ἐπὶ ὕδατι ἐλαύνων, ἐς ῥίζαν ῥάχεως, ἐφ' ἧς ἐρείπια παλαιȣ̃ φρȣρίȣ ἦν, ἀφίκετο. Ενταῦθα παρὰ τὴν πηγὴν ὁ συοφορβὸς χρυσίων ὁρᾷ πλῆθος, ἄνωθέν ποθεν, ὥς περ ἐξ ἑτέρας πηγῆς, καταῤῥεόντων καὶ κατερχομένων. Βλέπει ἔπειτα ὅτι ἡ πηγὴ τῶν κατακεχυμένων χρυσίων ἐν τοῖς ἐρειπίοις ἦν τȣ̃ τόπȣ πάντως παρασυρέντος καὶ τȣ̃ θησαυρȣ̃ διαῤῥαγέντος διὰ τὸ πολυχρόνιον. Δεύτερος κοινωνὸς γίνεται τȣ̃ εὑρέματος ὁ ἱερεὺς καὶ πνευματικὸς πατὴρ τȣ̃ συοφορβȣ̃. Τρίτη ἡ κώμη πᾶσα καὶ πολλοὶ πλησιόχωροι. Ἀλλ' ἀγροῖκοι ἄνθρωποι καὶ ἁπλοῖ κωμῆται ὄντες, ὀλίγον ἀπώναντο, ἀνταλλαττόμενοι τὰ χρυσία, τὰ τρὶς τοσάκις ἕλκοντα, ὅσον τὰ τῆς Ολλάνδας χρυσία, ὀλίγȣ δι' ἄγνοιαν, ἑλληνικὰ ὄντα· πολλοὶ δὲ ἔμποροι καὶ κάτοικοι κωμοπόλεων, ὧν χρηματισμὸς καὶ καπηλεία ὁ βίος, πολλὰ

ἐκ τέτων συλλέξαντες, τάχιςα ἐκ θητικῶν καὶ μικρὰ πραττόντων, πλέσιοι καὶ μεγάλα πράττοντες ἐγένοντο. Ἓξ μῆνες παρῆλθον, καὶ τὸ εὕρεμα, ἐν ὑποψίᾳ μὲν ἦν πολλοῖς, δημοσίᾳ δὲ δῆλον ὐκ ἐγένετο. Τέλος, μανθάνει ἡ αὐλὴ, καὶ ὁ ἱερεὺς ἀρνέμενος ἐν εἱρκτῇ τίθεται, καὶ μῆνας ὅλες ἐκεῖ ἐπιμένει, τὸν κεκρυμμένον θησαυρὸν ποιῆσαι ἔκδηλον μὴ βελόμενος. Κατασοφίζεται μετὰ ἐνιαυτὸν ἕνα καὶ ἥμισυν, καὶ ἡ διοίκησις μυριάδων χρυσίων ἐγκρατὴς γίνεται, ἐτήσιον τῷ ἱερεῖ, τρεῖς χιλάδας ἀργυρίων, χορηγήσασα. Ουκ ἐλάσσω δὲ τέτων, πρὶν ἢ μαθεῖν τὴν διοίκησιν τὸ πρᾶγμα, ἐν τῃ χώρᾳ διασκεδάννυνται. Ειχον δὲ τὰ χρυσία γράμματα ἑλληνικὰ, τὸν βασιλέα Λυσίμαχον, ἐφ' ὃ ἐκόπησαν, δυκνύντα. Μήποτε ταῦτα τὰ χρυσία ὁ θησαυρὸς ἦν τῦ ζωγρηθέντος Λυσιμάχε, κρυβεὶς ὑπὸ τῦ Δρομιχαίτε ἐν τῷ φρεριῳ, καὶ ἀγνοηθεὶς ἔπειτα διὰ τὰς πολλὰς τῷ κόσμῳ συμβαινέσας μεταβολάς;

Μετὰ δὲ ταῦτα ὑπὸ μικρῶν βασιλέων,

ὡς ἔοικεν, ἡ χώρα διῳκεῖτο, οἳ πολεμοῦντες ἀλλήλοις οὐκ ἔπαυον, ἄχρις οὗ Βοιρεβίστας γέτης, περὶ τὰ τεσσαράκοντα ἔτη πρὸ Χριστοῦ, ὑποτάξας τοὺς ἄλλους βίᾳ, μίαν ἐκ πολλῶν ἀρχὴν συνεστήσατο. Τῶν δὲ γετῶν, φησὶν ὁ Στράβων, τὰ παλαιὰ μὲν ἀφείσθω (ὦ φίλε Στράβων οἵων στερεῖς ἡμᾶς ἀφεὶς!)· τὰ δ' εἰς ἡμᾶς ἤδη τοιαῦτα ὑπῆρξαν (1). Βοιρεβίστας ἀνὴρ γέτης ἐπιστὰς ἐπὶ τὴν τοῦ ἔθνους ἐπιστασίαν, ἀνέλαβε κεκακωμένους τοὺς ἀνθρώπους ὑπὸ συχνῶν πολέμων, καὶ τοσοῦτον ἐπῆρεν ἐν ἀσκήσει καὶ νήψει καὶ τῷ προσέχειν τοῖς πράγμασιν, ὥστε, ὀλίγων ἐτῶν, μεγάλην ἀρχὴν κατεστήσατο, καὶ τῶν ὁμόρων τοὺς πλείστους ὑπέταξε τοῖς γέταις.

---

(1) *Πάντως ὡς μνείαν ἐν τῇ συγγραφείσῃ οἱ ἱστορίᾳ πεποιημένος, τὰ παλαιὰ τῶν γετῶν ἀφίησιν ἐνταῦθα ὁ Στράβων. Ε, ἒ, φίλε, οἵων ἡμᾶς ὁ χρόνος ἐστέρησε, μᾶλλον δὲ, ἡ, λοιμοῦ δίκην, ἐνσκήψασα τῷ ἑλληνικῷ ἔθνει ἀδράνεια, ἀμουσία, ἀφιλοκαλία, σκαιότης, ληθαργία, ἀναλγησία, μικροφροσύνη, μικροφιλοτιμία, στενολεσχία! Η συγγραφεῖσα ἱστορία παρὰ τοῦ Στράβωνος πάντως ἦν ἂν ἡμῖν σωζομένη, ἓν τῶν πολυτιμήτων τῆς ἀρχαιότητος λείψανον.*

Ηδη δὲ καὶ ῥωμαίοις φοβερὸς ἦν διαβαίνων ἀδεῶς τὸν Ιςρον, καὶ τὴν Θρᾴκην λεηλατῶν μέχρι Μακεδονίας καὶ Ιλλυρίδος, τὲς τε κελτὲς τὲς ἀναμεμιγμένες τοῖς Θρᾳξὶ καὶ τοῖς ἰλλυριοῖς, ἐξεπόρθησε· βοΐες δὲ καὶ ἄρδην ἠφάνισε τὲς ὑπὸ Κριτασίρῳ, καὶ ταυρίσκες. Πρὸς δὲ τὴν εὐπορίαν τε ἔθνες, συνανταγωνιςὴν ἔσχε Δεκένεον ἄνδρα γόητα καὶ πεπλανημένον κατὰ τὴν Αἴγυπτον, καὶ προσημασίας ἐκμεμαθηκότα τινὰς, δἰ ὧν ὑπεκρίνατο τὰ θεῖα, καὶ δἰ ὀλίγε καθίςατο θεὸς, καθάπερ ἔφημεν περὶ τε Ζαμόλξεως διηγέμενοι (τε παρὰ τοῖς πέραν τε Ιςρε γέταις). Τῆς δ' εὐπειθείας σημεῖον· ἐπείσθησαν γὰρ ἐκκόψαι τὴν ἄμπελον καὶ ζῆν οἴνε χωρίς.

Ο μὲν ὖν Βοιρεβίςας ἔφθη καταλυθεὶς, ἐπαναςάντων αὐτῷ τινῶν, πρὶν ἢ ῥωμαίες ςεῖλαι ςρατιάν. Καῖσαρ γὰρ ὁ θεὸς ςρατεύειν ἐπ' αὐτὸν παρεσκευάζετο. Οι δὲ δεξάμενοι τὴν ἀρχὴν εἰς πλείω μέρη διέςησαν. Καὶ δὴ καὶ νῦν ἡνίκα ἔπεμψεν ἐπ' αὐτὲς ςρατιὰν ὁ σεβαςὸς Καῖσαρ, εἰς πέντε

μυριάδας, τότε δὲ εἰς τέσσαρας διεςῶτες ἐτύγχανον. Οἱ μὲν ἒν τοιῦτοι μερισμοὶ πρόσκαιροι καὶ ἄλλοτε ἄλλοι. Γέγονε δὲ καὶ ἄλλος τῆς χώρας μερισμὸς συμμένων ἐκ παλαιῦ· τὺς μὲν γὰρ δακὺς προσαγορεύϐσι, τὺς δὲ, γέτυς· γέτας μὲν τὺς πρὸς τὸν Πόντον κεκλιμένυς καὶ πρὸς τὴν ἕω· δακὺς δὲ τὺς πρὸς τὰ ἐναντία καὶ πρὸς τὰς τῦ Ἴςρυ πηγὰς, ὓς οἶμαι δαυὺς καλεῖσθαι τὸ παλαιὸν, ἀφ' ὖ καὶ παρὰ τοῖς ἀττικοῖς ἐπεπόλασε τὰ τῶν οἰκετῶν ὀνόματα, γέται καὶ δαυοί· τῦτο γὰρ πιθανότερον ἢ ἀπὸ τῶν σκυθῶν, ὓς καλῦσι δάας· πόῤῥω γὰρ ἐκεῖνοι περὶ τὴν Ὑρκανίαν, καὶ ὐκ εἰκὸς ἐκεῖθεν κομίζεσθαι ἀνδράποδα ἐς τὴν Ἀττικὴν, ἅπερ ἐκάλυν ὁμωνύμως τοῖς ἔθνεσιν, ἐξ ὧν ἐκομίζοντο, ἢ τοῖς ἐπιπολάζυσιν ἐκεῖ ὀνόμασιν.

Ἐπὶ τοσῦτον ὖν τὸ ἔθνος ἐξαρθὲν, εταπεινώθη τέλεον ὑπὸ τῶν ςάσεων καὶ τῶν ῥωμαίων. Καὶ ἐφ' ἡμῶν γῦν Αἴλιος Κάτος μετῴκισεν, ἐκ τῆς πέραν τῦ Ἴςρυ, πέντε μυριάδας σώματα παρὰ τῶν γετῶν, ὁμο-

γλώττε τοῖς θραξὶν ἔθνες, ἐς τὴν Θρᾴκην, καὶ νῦν οἰκῦσιν αὐτόθι μυσοὶ καλέμενοι. Ῥεῖ δὲ διὰ τῶν γετῶν εἰς τὸν Δανέβιον Μάρισσος ποταμὸς, ῷ τὰς παρασκευὰς ἐκόμιζον οἱ ῥωμαῖοι τὰς πρὸς τὸν πόλεμον. Τὰ γὰρ τῦ ποταμῦ ὑπὲρ τὲς καταῤῥάκτας Δανέβιον προσηγόρευον, ἃ μάλιϛα διὰ τῶν δακῶν φέρεται· τὰ κάτω δὲ, μέχρι τῦ Πόντε, τὰ περὶ τὲς γέτας, καλῦσιν Ἴϛρον. Ὁμόγλωττοι δέ εἰσιν οἱ γέται τοῖς δακοῖς, καὶ οἱ γέται γνωρίζονται μᾶλλον παρὰ τοῖς Ἕλλησι, διὰ τὸ συνεχεῖς τὰς μεταναϛάσεις ἐφ' ἑκάτερα τῦ Ἴϛρε πεποιεῖσθαι, καὶ τοῖς θραξὶ καὶ τοῖς μυσοῖς ἀναμεμίχθαι. Καὶ τῶν τριβαλλῶν δὲ ἔθνος θρᾳκικὸν, τὸ αὐτὸ πέπονθε τέτοις· μεταναϛάσεις γὰρ γίνονται τῶν πλησιοχώρων ἐπὶ τὲς ἀσθενεϛέρες. Αὐξηθέντες ἒν ἐπὶ πλεῖϛον, οἵτε γέται, οἵτε δακοὶ, ὥϛε καὶ εἴκοσι μυριάδας ἐκπέμπειν ϛρατιὰς, νῦν ὅσον εἰς δύο μυριάδας συνεϛαλμένοι τυγχάνεσι· καὶ ἐγγὺς μὲν ἥκεσι τῦ ὑπακέειν ῥωμαίοις, ἔπω δ' εἰσὶν ὑποχείριοι διὰ τὰς ἐκ τῶν γερμανῶν ἐλπί-

δας, πολεμίων ὄντων ῥωμαίοις. Ιδὲ δὲ ἃ καὶ Δίων Κάσσιος περὶ αὐτῶν λέγει. Δακοὶ δὲ ἐπ᾽ ἀμφότερα τῦ Ιςρȣ νέμονται, ἀλλ᾽ οἱ μὲν ἐπὶ τάδε αὐτῦ καὶ πρὸς τῇ Τριβαλλικῇ οἰκῦντες, ἔς τε τὸν τῆς Μυσίας νομὸν τελῦσι, καὶ μυσοὶ, πλὴν παρὰ τοῖς πάνυ ἐπιχωρίοις, ὀνομάζονται· οἱ δ᾽ ἐπέκεινα, δακοὶ κέκληνται, εἴτε δὴ γέται τινὲς, εἴτε καὶ θρᾶκες τῦ δακικῦ γένυς, τῦ τὴν Ροδόπην ποτὲ ἐνοικήσαντος, ὄντες. Ουτοι ὖν οἱ δακοὶ ἐπρεσβεύσαντο πρὸ τῦ χρόνȣ τȣτȣ πρὸς τὸν Καίσαρα, ἔπειτα καὶ πρὸς τὸν Αντώνιον.

Μετὰ τὸν Βοιρεβίςαν ὖν ἐταπεινώθη πολὺ τὸ ἔθνος, καὶ διῃρέθη εἰς πολλὰς ἀρχὰς, ὡς καὶ πρότερον. Τῦτο δὲ συμβαίνει πολλάκις μετὰ τὸν θάνατον νήφοντός τινος ἡγεμόνος καὶ δραςικῦ καὶ αὐςηρῦ, μάλιςα δὲ δεσπότȣ καὶ κατακτήτορος· ὖ γὰρ τῇ τῶν πολλῶν σοφίᾳ, ὡς τὰ πολλὰ, ἵνα μὴ τὰ πᾶντα εἴπωμεν, τὰ ἔθνη ἄγονται, ἵνα καὶ διαρκέςεραι καὶ πολυχρονιώτεροι αἱ δυνάμεις αὐτῶν τυγχάνωσιν, ἀλλὰ τῇ ἑνὸς

μόνε, καὶ τέτε ἀπολλυμένε, συναπόλλυται καὶ ἡ δύναμις, καὶ τὸ πᾶν ἀνατρέπεται· καὶ δυςυχία μὲν τοῖς ἀνθρώποις τἒτο, εἵμαρτο δ' ὅτως καὶ ὀκ ἄλλως ἔχειν τ' ἀνθρώπινα. Οδὲ Βοιρεβίςας εἷς ἦν ἡμῖν δοκεῖ τῶν ἐν Ρεμενίᾳ μικρῶν βασιλέων, πλήρης τόλμης καὶ θάῤῥες καὶ ἐνθεσιασμἒ διὰ τὴν τἒ ἔθνες ἀνάληψιν, ἢ δι' ἰδίαν αὐτἒ φιλοδοξίαν καὶ ματαιότητα· ἤγαγε δ' ἒν εἰς πέρας δι' ἀρετὴν τὰ σκοπέμενα, ὥσπερ καὶ ἐν τοῖς πρότερον χρόνοις καὶ ἐν ταῖς ὕςερον τοιαῦτα εἴδομεν.

Ου πόῤῥω δὲ τῷ χρόνῳ τἒ Βοιρεβίςε, καὶ βαςάρναι, φησὶν ὁ Δίων, οἱ σκύθαι ἀκριβῶς νενομίδαται, διαβάντες τὸν Ιςρὸν, τήν τε Μυσίαν πέραν τἒ Ιςρε ἐχειρώσαντο. Διαβάντες δὲ τὸν Αιμον καὶ καταδραμόντες τὴν Θράκην ἐληΐζοντο. Ενταῦδα Κράσσος, τὸ μέν τι τῷ Σιτᾷ τῶν δενθελιτῶν βασιλεῖ ἀμύνων, τὸ δέ τι καὶ περὶ τῆς Μακεδονίας φοβηθεὶς, ἀντεπῆλθε, καὶ διώκων αὐτὲς μέχρις Ιςρε, ὑποχείριον ἐποίησε ῥωμαίοις τὴν Μυσίαν. Οι δὲ διασω-

θέντες βαςάρναι εἰς τὴν Πεύκην νῆσον κατέφυγον, καὶ πευκηνοὶ ἐξ αὐτῆς προσηγορεύθησαν. Επειτα ἐς τὴν Βασσαραβίαν, κἀντεῦθεν ἐς τὰ ἐπέκεινα τȣ̃ Ολτȣ μετανέςησαν. Εοικε δὲ ὅτι πρὶν ἢ διαβῆναι τὸν Ιςρον τȣ̀ς βαςάρνας, ἐκ τȣ̃ δυτικȣ̃ τῆς Πόλσκης εἰς τὸ βόρειον τῶν τυραγετῶν ἀφίκοντο· ἐν γὰρ τῇ μεσογαίᾳ φησὶν ὁ Στράβων, βαςάρναι μὲν τοῖς τυραγέταις ὅμοροί εἰσι καὶ γερμανοῖς, σχεδόν τι καὶ αὐτοὶ τȣ̃ γερμανικȣ̃ ἔθνȣς ὄντες, εἰς πλείȣς φυλὰς διῃρημένȣ· ῥωξανοὶ δὲ ἀρκτικώτατοι, τὰ μεταξὺ Τανάϊδος καὶ Βορυσθένȣς νεμόμενοι. Τὰ δ' ὑπὲρ τȣ́των ȣ̓κ ἴσμεν. Περὶ δὲ τὰ δέκα ἔτη πρὸ τῆς ἀρχῆς τȣ̃ ἔτȣς ἡμῶν, οἱ ἐν Αρδὲλ γέται μοναρχικὸν εἶχον σύςημα, καὶ ἱκανοὶ ἦσαν τὰ ῥωμαίων περιφρονεῖν. Κότισος ὁ βασιλεὺς αὐτῶν διέβη τὸν Ιςρον καὶ τὴν ῥωμαίων γῆν ἐλεηλάτησε, καὶ Καῖσαρ ὁ σεβαςὸς χῶμα παρὰ τὸν Ιςρον ἐχώσατο, τὰς ἐφόδȣς αὐτῶν ἀπείργειν βȣλόμενος.

Τὰ μὲν μετὰ Βοιρεβίςαν τῶν γετῶν ταπεινὰ, καὶ ἀναλαβεῖν ἀφ' ἑαυτῶν ὀυχ οἷόντε ἦν, καὶ ἐταπεινῦντο ἔτι, τῶν ἀμάχων ἤδη ῥωμαίων τὰ πέραν τῦ Ιςρυ ὑπὸ χεῖρας ἐχόντων, καὶ περαιυμένων πολλάκις τὸν ποταμὸν; καὶ τὴν ἡμετέραν Ῥυμυνίαν ἐπιτρεχόντων, καὶ καταφοβύντων ὕτω καὶ συςελλόντων τὰ ἐντὸς τῦ ποταμῦ φιλεπίδρομα καὶ φιλολῄια καὶ φιλοπόλεμα ἔθνη. Κατὰ τύτυς τὺς χρόνυς καὶ διάφορα ἔθνη ἐκ τῶν βορείων ἐρχόμενα, ἤτοι ἑκόντα, εὐκραεςέρων καὶ ἡμερωτέρων κλιμάτων οἰκήτορα γενέσθαι γλιχόμενα, ἢ ἄκοντα ὑφ' ἑτέρων ἑώων ἐθνῶν τὴν σφετέραν ἐπιτρεχόντων καὶ κατασκηνύντων, ἐξωθύμενα καὶ ἐκβαλλόμενα. Σλαβικὰ δὲ ἦσαν ταῦτα τὰ ἔθνη, ἅπερ καὶ μέχρι τῦ νῦν ὁρῶμεν μέχρι τῦ μυχῦ τῦ ἀδριατικῦ κόλπυ καὶ τῆς Μακεδονίας καθήκοντα. Μήποτε δὲ περὶ τῦτον τὸν χρόνον ἐξεῤῥάγησαν ἐκ τῆς μεγάλης Σκυθίας ἐς τὸ βόρειον τῆς Ευρώπης τὰ τυρκικὰ ἔθνη, ἃ καὶ νῦν ἔτι τὰ βόρεια τῆς Ρυσσίας νέμονται, καὶ τῷ φιννικὰ ἔθνη ὑπὸ

τῶν ἀλλοτρίων γνωρίζονται· οἱ σϑόμοι, λέγω, οἱ μάροι, οἱ τζϑβάχοι, οἱ μάνσοι καὶ οἱ λοιποί. Τῶν δὲ σλάβων τινὲς μὲν (πάντως ϑχ ἅπαντες κατέλιπον τὴν χώραν) πρὸς τὸ βόρειον, τινὲς δὲ πρὸς τὸ νότιον ἐτράποντο, τὰ σφέτερα ἤϑεα καταλιμπάνοντες, ὑποταγῆναι τοῖς τύρκοις μὴ ϑέλοντες· ἐκτόπως γὰρ φιλελεύϑερον τὸ ἔϑνος βλέπομεν. Ετι καὶ ἔπειτα ὁρῶμεν σιβηρικὰ ἔϑνη, ὑποταγὴν φεύγοντα, μεχρι τϑ κατεψυγμένϑ Ωκεανϑ ἀφίκοντο, καὶ νέμεσϑαι τϑς πάγϑς προείλοντο, περὶ πλείςϑ, καὶ περὶ παντὸς τὴν ἐλευϑερίαν ποιϑμενα.

## Δεκέβαλος δακός.

Αλλὰ γὰρ περὶ τὸν ὀγδοηκοςὸν ἐνιαυτὸν τῆς μετὰ τὸ ἔτος ἡμῶν ἑκατονταετηρίδος, Δεκέβαλος δακὸς, ἀνὴρ μεγαλόφρων καὶ δραςήριος, διὰ βάϑος νοὸς, μεγάλα μὲν συνιδεῖν ἱκανὸς, ἐκτελέσαι δὲ τὰ συνορώμενα καὶ δοκϑντα οἱ, διὰ σύνεσιν πολιτικὴν καὶ ςρατηγικὴν καὶ δἰ ἀνδρίαν, ἐπιτήδειος, καὶ πολλῷ τϑ Βοιρεβίςϑ ὑπέρ-

τερος, κατεκτήσατο τὴν Ρεμενίαν, ἢ αὐτὸς ἀρξάμενος, ἤ τις ἕτερος δακὸς ἀπὸ τῶν ὑπὲρ τὲς καταῤῥάκτας δακῶν ὁρμώμενος. Διὰ ταῦτα καὶ τὸ ὄνομα γέτης ἐξέλιπέπως, καὶ ἡ ἐντὸς τῦ Ιςρε χώρα τῶν κατακτησαμένων αὐτὴν νεωςὶ τὸ ὄνομα ἔλαβε, καὶ Δακία ὠνόμαςαι. Ιδὲ καὶ Δίων τί φησι περὶ τέτε. Μέγιςος δὲ δὴ πόλεμος ῥωμαίοις πρὸς τὲς δακὲς ἐγένετο, ὧν τότε Δεκέβαλος ἐβασίλευν, δεινὸς μὲν συνεῖναι τὰ πολεμικὰ, δεινὸς δὲ καὶ πρᾶξαι· ἐπελθεῖν εὔςοχος, ἀναχωρῆσαι καίριος, ἐνέδρας τεχνήτης, μάχης ἐργάτης· καὶ καλῶς μὲν καὶ νίκῃ χρήσασθαι, καλῶς δὲ καὶ ἧτταν διαθεῖναι εἰδώς· ἀφ' ὗ δὴ καὶ ἀνταγωνιςὴς ἀξιόμαχος ῥωμαίοις ἐγένετο. Δακὲς δὲ προσαγορεύω, ὥςπερ δὴ καὶ αὐτοὶ ἑαυτὲς, καὶ οἱ ῥωμαῖοι σφᾶς ὀνομάζεσιν, ἐκ ἀγνοῶν ὅτι ἑλλήνων τινὲς γέτας αὐτὲς λέγεσιν, εἴτε ὀρθῶς, εἴτε καὶ μὴ, λέγοντες· ἐγὼ γὰρ οἶδα γέτας τὲς ὑπὲρ τῦ Αιμε παρὰ τὸν Ιςρον οἰκῦντας. Ο Δομετιανὸς μὲν ὖν ἐςρατεύσατο ἐπ' αὐτὲς,

ȣ μέν τοι καὶ τȣ͂ πολέμȣ προσήψατο (ȣ̓ γάρ ὅτι τό, τε σῶμα ἄπονος καὶ τὴν ψυχὴν ἄτολμος, ἀλλὰ καὶ ἀσωτότατος καὶ ἀσελγέςατος καὶ πρὸς γυναῖκας καὶ πρὸς μειράκια), ἄλλȣς δὲ πέμπων ἐς τὸν πόλεμον ςρατηγȣ̀ς, τὰ πλείω κακῶς ἔπραξεν, ἐς δὲ τὴν Ῥώμην ὡς κεκρατηκὼς ἐπέςελλε. Σημείωσον ἀναγνῶςα ὅτι οἱ δακοὶ, ἢ μᾶλλον δάτζοι, δὰτζ ἑαυτȣ̀ς ὠνόμαζον, ἢ δάϋτζ ἴσως, καὶ μετακινεῖν μὴ θέλε τῇ κλίσει τῇ σῇ τὰ ὀνόματα ἐκείνων, οἳ τὴν κλίσιν τὴν σὴν ȣ̓ γνωρίζȣσιν. Ορᾷς τὸ κακὸν τὸ ἐκ τῆς μανίας τȣ͂ μεταφράζειν ἢ μετακινεῖν τὰ κύρια τῶν ὀνομάτων, προερχόμενον; Ἴσως καὶ οἱ ῥωμαῖοι ἀντὶ τȣ͂ δάϋτζ δάτζ εἶπον, βαρβαρικὴν τάχα προφορὰν ἀποφεύγοντες. Ἀλλ᾽ ὦ ἕλληνες καὶ ῥωμαῖοι! οἱ βάρβαροι ȣ̔͂τοι, εἰσὶ νῦν οἱ ἡμέτεροι διδάσκαλοι.

Δεκέβαλος τοίνυν μονάρχης τῆς τῶν γετῶν γῆς καταςαθεὶς, καὶ τȣ̀ς ἐν τῷ τεμεσβαρικῷ Μπανὰτ ἰάζυγας ὑποτάξας, ςῆναι ἐνταῦθα ȣ̓κ ἤθελεν· ἀλλὰ τȣ̀ς ῥω-

μαίες Ελλάδα τε καὶ Ἰλλυρίδα ἀφελεῖν προθέμενος, καὶ τοῖς παραβολγίοις καὶ παρακασπίοις ἔθνεσι καὶ αὐτοῖς δὴ τοῖς παρθναίοις συμμαχίαν καὶ ἐπιμαχίαν συνθέμενος, διέβαινεν ἀδεῶς τὸν Ἴςρον καὶ τὸς ῥωμαίες κακῶς ἀρχομένες ὑπὸ τῦ Σαρδὰναπάλυ Δομετιανῦ, κατηγωνίζετο, καὶ νικητὴς ὕτω καὶ τροπαιῦχος ἐς τὰ οἰκεῖα ἀνέςρεφεν, ὅσα ἐς πολισμὸν τῦ ἔθνυς καὶ ἀςικότητα, καὶ ἐς βελτίωσιν τῆς χώρας, γεώργὸς τε λέγω καὶ παντοίυς τεχνήτας, ἐκεῖθεν ἐς τὴν Δακίαν μετάγων, βίᾳ ἄγων ἐνταῦθα, ἀριςεῖα νίκης ἐν εἰρήνῃ συντιθέμενος, ἢ καὶ πείθων καὶ βυλομένυς ἐλπίσι τῦ κρείττονος. Οι δὲ ῥωμαῖοι φοβῆσαι ἢ ἀποσπάσαι τὸς ἑώυς συμμάχυς βυλόμενοι καὶ πειρώμενοι, περάσαντες τὸν Ἴςρον κατὰ τὴν Μπασσαραβίαν, τὰ ἀναμεταξὺ αὐτῦ τε καὶ βορυσθένυς κατέδραμον καὶ ἐτάραξαν.

---

## Κεφαλαιον β΄.

### ΡΩΜΑΙΟΙ.

### Τραϊανός.

Αλλὰ γὰρ εἵμαρτο καὶ Δεκεβάλῳ ἀτυχῆσαι ἐν μέσαις αὐτȣ̃ ταῖς μεγάλαις προθέσεσι καὶ κατορθώμασι, καὶ τῶν ῥωμαίων αὐτοκράτωρ ὁ μέγας Τραϊανὸς τȣ̃ Δεκεβάλȣ μείζων, ἀναγορεύεται. Ουτως ȣ̃ν, πολλάκις τῶν μεγάλων μὲν ἀνδρῶν, συγχρόνȣς δὲ ἀντιγεννωμένȣς ἐχόντων μείζονας, αἱ λαμπραὶ αὐτῶν πράξεις, ὥσπερ φῶς σελήνης, λάμποντος ἡλίȣ, ἐκλείπȣσιν. Ου Κόμμοδον, ȣ̓ Νέρωνα, ȣ̓ Δομετιανὸν, τὰ αἴσχη καὶ ὀνείδη τȣ̃ ἀνθρωπίνȣ γένȣς, ἀνταγωνιςὰς εἶχε Δεκέβαλος, ἀλλὰ Τραϊνὸν τὸν ὡς ἀγαθοποιὰν δύναμιν τῷ κόσμῳ φανέντα, καὶ ἐν πολέμῳ μὲν ἡρωϊκὸν, ἐν δὲ εἰρήνῃ ἡρωϊκώτερον, καὶ ἔρωτα τοῖς ἀνθρώποις τυγχάνοντα, καὶ τῶν καλῶν βασιλέων πρωτότυπον.

Δεκέβαλος μὲν ὖν νικήσας πρότερον πολλάκις ἐπὶ Δομετιανῦ, καὶ φορολογήσας τὺς ῥωμαίυς, μᾶλλον δὲ, Δομετιανὸν, ἡττήθη τέλος κατὰ κράτος ὑπὸ τῦ μεγάλυ Τραϊανῦ, περὶ τὸν τέταρτον ἐνιαυτὸν τῆς δευτέρας ἑκατονταετηρίδος, καὶ ἔπεσε μαχόμενος, ἢ ὡς ὁ Δίων φησὶν, ἀπογνὺς τῶν πραγμάτων καὶ τῦ τὸν Τραϊανὸν ἐκβιάσασθαι, ἑαυτὸν διεχρήσατο. καὶ Ζαρμιγεθῦσα τὰ βασίλεια αὐτῦ, ὐ πόῤῥω τῦ νῦν Πελεγρὰδ, ἐν ἀριςερᾷ τῦ Μαρίσσυ, παρὰ τὸ ποτάμιον, Στρέον μὲν νῦν καλύμενον, τὸ πάλαι δὲ Σαργεντίαν κατὰ τὸν Δίωνα, κειμένη, ἁλίσκεται, αὐτή τε καὶ οἱ ὑπὸ τὸ Στρέον κοτορωρυγμένοι καὶ κεκρυμμένοι θησαυροὶ, καὶ ἡ Δακία ἐπαρχία ἢ νομὸς τῆς μεγάλης ἀρχῆς τῶν ῥωμαίων γίνεται. Τὰ δὲ τῆς χώρας χρυσεῖα καὶ ἀργυρεῖα καὶ ἁπλῶς μεταλλεῖα, γνωςὰ ἦσαν καὶ ἐργαςὰ ὐ μόνον Δεκεβάλῳ, ἀλλὰ καὶ πολὺ πρότερον ἑτέροις· ἐκ τύτων γὰρ πάντως καὶ οἱ πολύχρυσοι ἀγάθυρσοι τὸν χρυσὸν ἐπορίζοντο· ἐντεῦθεν πάντως καὶ

ὁ χρυσὸς τȣ̃ Ἡροδότȣ ἐφοίτα ἐς τὴν Ἑλλάδα.

Τὴν δὲ ἐπὶ τὸ ἄϛικὸν καὶ κρεῖσσον μεταβολὴν τῆς χώρας, ἧς ἤρξατο ὁ Δεκέβαλος, ὁ ῥωμαίων αὐτοκράτωρ, ὁ μέγας Τραϊανὸς, ὅς καὶ ψηφίσματι τῆς βȣλῆς ἄριϛος ἀνηγορεύθη, ἐς πέρας ἤγαγε· ναȣ̀ς γὰρ καὶ ἑτέρας δημοσίας οἰκοδομὰς ἐς καλλωπισμὸν τῆς χώρας, καὶ φρȣ́ρια ἐς ἀσφάλειαν, καὶ ὁδȣ̀ς καὶ πόλεις ἐς εὐκολίαν, κατεσκευάσατο. Εκτίσατο δὲ καὶ τὴν πολυθρύλλητον γέφυραν, ἐν δεξιᾷ καὶ ȣ̓ πόῤῥω τȣ̃ Ολτȣ ποταμȣ̃, ἐφ' ᾧ ζεῦγμα τȣ̃ Ιϛρȣ εἶναι, τὴν κοινωνίαν τῶν νέων κτημάτων μετὰ τῶν παλαιῶν εὐκολύνων ȣ̓́τω τὰ μέγιϛα. Πολλȣ̀ς μὲν ἐξ Ιταλίας καὶ τῆς πέραν τȣ̃ Ιϛρȣ ἐνταῦθα μετῴκισε, καὶ φρȣρὰς ῥωμαϊκὰς ἐν τοῖς φρȣρίοις εἰς φύλαξιν τῆς χώρας κατέϛησε, πολλοὶ δὲ καὶ αὐτοθελήτως ἔμποροι καὶ τεχνῖται καὶ ἄλλοι κάτοικοι ἐκ δεξιῶν τȣ̃ Ιϛρȣ, ἐλπίσι μείζονος κέρδȣς καὶ κρείσσονος βίȣ, μετῴκησαν. Φαίνεται δὲ ὅτι ὁ χρηϛὸς μο-

νάρχης ἐπεμελήθη διαφερόντως τῆς τῦ νέυ κτήματος βελτιώσεως. Διὰ ταῦτα ὖν σύμπαντες οἱ κάτοικοι, ἐντόπιοί τε καὶ μέτοικοι, τὸν μέγαν Τραϊανὸν, φύσεως ὑπὲρ ἄνθρωπον ἡγέμενοι, ὡς ἄγγελον εὐεργετικὸν, ὡς ἀγαθοποιὰν δύναμιν καὶ θεὸν σωτῆρα ἑώρων, καὶ θείαις τιμαῖς καὶ λατρείαις ἐτίμων τε καὶ ἐσέβοντο, ἀνδριάντας καὶ εἰκόνας αὐτῷ ἐγείροντες ἰδίᾳ τε καὶ δημοσίᾳ, καὶ ἐν ταῖς συμφοραῖς αὐτῶν, ὡς Δία ἐφέσιον καὶ πολιῦχον ἐπικαλέμενοι. Τί γὰρ ἂν εὖ παθόντες οἱ ἄνθρωποι ὖ ποιήσειαν. Οι δὲ ἐπιχώριοι δακοὶ ἢ γέται καὶ εἴτι ἄλλο ὡς ἀρχόμενον ἔθνος ὑπὸ τὺς δακὺς πρότερον, διὰ τὸ μέγα ἐς τὸν μέγαν Τραϊανὸν σέβας καὶ διὰ τὴν εὐγνωμοσύνην, καὶ μιμμεῖσθαι κατὰ πάντα τὰ ῥωμαίων ἤρξαντο, καὶ διαλέγεσθαι καὶ τὴν γλῶτταν αὐτῶν ἥ τις καὶ ἡ γλῶττα τῦ μεγάλυ Τραϊανῦ, τῦ τῆς Δακίας πολιύχυ, ἐτύγχανε, καὶ ὕτως ἐξεῤῥωμαΐζοντο. Συνέβη δὲ ὕτω τοῖς δακοῖς ὃ καὶ πολλοῖς ἄλλοις, καὶ δὴ καὶ τοῖς πορ-

ῥωτάτω τῶν δακῶν, ἐν τοῖς δυτικοῖς ἄκροις τῆς ῥωμαίων ἀρχῆς, περὶ τὸν ποταμὸν Βαῖτιν κειμένοις, οἳ, καθὰ φησιν ὁ Στράβων ὁ τὰ μέρη ἐκεῖνα ἰδὼν, τελέως εἰς τὸν ῥωμαϊκὸν μεταβέβληνται τρόπον, ἐδὲ τῆς διαλέκτε τῆς σφετέρας ἔτι μεμνημένοι, λατῖνοί τε οἱ πλεῖςοι γεγόνασι.

Τὸ κέντρον τε νέε τετε νομε, τὰ δυτικὰ τε νοτίε Αρδὲλ καὶ τε Ρεμενικε ἀγρε ἐτύγχανε, καὶ ἐξηπλοῦτο ἀπὸ δυσμῶν μέχρι Τισσε, ἐξ ἔω δὲ, μέχρι τῶν δυτικῶν τῆς Μολδόβης ἴσως· ἡ γὰρ χώρα αὕτη, ἐσβολὰς μὲν ὑπέςη ῥωμαίων, ὑποχείριος δ' αὐτοῖς ἐκ ἐγένετο. Ουτω μὲν ἐν Τραϊανὸς, χρηςε καὶ φιλοςόργε πατρὸς δίκην τὲς ὑφ' ἕ πραγματένων καὶ περιέπων, κτίςης καὶ δημιεργὸς ἑνὸς ἀποκαθίςαται ἔθνες!, ὅπερ μυρίας ληςρεπιδρομὰς μυρίων λυσσώντων ἐθνῶν ὑπενεγκὸν, σώζεται μέντοι καὶ μέχρι τε νῦν, ῥεμενοι ἐν τῇ ἰδίᾳ αὐτε γλώσσῃ ὀνομαζόμενον, καὶ τὰ ἀναμεταξὺ τε Τύρα, τε Τισσε καὶ τε Ιςρε μέχρι τε Πόντε νεμόμενον. Οια δὲ καὶ

ἡλίκη ἡ ἐπὶ τȣ̃ Ἴςρȣ τȣ̃ μεγάλȣ Τραϊανȣ̃ γέφυρα! Ἀνάγνωθι τὰ ἐφεξῆς τȣ̃ Δίωνος Κασσίȣ, τὰ παρὰ τῷ Ξυφιλίνῳ σωζόμενα.

Τραϊανὸς γέφυραν λιθίνην ἐπὶ τȣ̃ Ἴςρȣ κατεσκευάσατο, περὶ ἧς ȣ̓κ ἔχω πῶς ἂν ἀξίως αὐτὸν θαυμάσω. Ἐςι μὲν γὰρ καὶ τἄλλα ἔργα αὐτȣ̃ διαπρεπέςατα· τȣ̃το δὲ καὶ ὑπὲρ ἐκεῖνα. Ὡς γὰρ κρηπῖδες εἰσὶ λίθȣ τετραπέδȣ εἴκοσι, τὸ μὲν ὕψος πεντήκοντα καὶ ἑκατὸν ποδῶν, πλὴν τῶν θεμελίων, τὸ δὲ πλάτος ἑξήκοντα, καὶ αὗται ἀπ' ἀλλήλων ἑβδομήκοντα καὶ ἑκατὸν πόδας ἀπέχȣσαι, ἀψῖσι συνῳκοδόμηνται. Πῶς ȣ̓κ ἄν τις τὸ ἀνάλωμα τὸ ἐς αὐτὰς δαπανηθὲν, θαυμάσειε; Πῶς δ' ȣ̓κ αὖ τις τὸν τρόπον, ὃν ἕκαςαι αὐτῶν ἔν τε ποταμῷ πολλῷ, καὶ ἐν ὕδατι δινώδει, δαπέδῳ τε ἰλυώδει ἐγένοντο; ȣ̓ γάρ τοι καὶ περιτρέψαι ποι τὸ ῥεῦμα ἠδυνήθη. Τὸ δὲ δὴ πλάτος τȣ̃ ποταμȣ̃ εἶπον, ȣ̓χ ὅτι διὰ τοσȣ́τȣ ῥεῖ, (καὶ γὰρ ἐπὶ διπλάσιον, ἔςιν ὃ καὶ τριπλάσιον αὐτȣ̃ πελαγίζει) ἀλλ' ὅτι τό, τε ςενώτατον καὶ τὸ ἐπιτηδειότατον ἐς τὸ γε-

φυρωθῆναι τῶν ἐκείνῃ χωρίων, τοσῦτον ἐςίν. Οσῳ δὲ δὴ ἐς ςενὸν ταύτῃ ἐκ πελάγυς μεγάλε καταβαίνων καὶ ἐς πέλαγος αὖθις μεῖζον προχωρῶν κατακλείεται, τόσῳ πυ καὶ ῥοωδέςατος καὶ βαθύτατος γίνεται, ὥςε καὶ τῦτο ἐς τὴν χαλεπότητα τῆς γεφύρας τεῖναι. Η μὲν ὖν μεγαλόνοια τῦ Τραϊανῦ καὶ ἐκ τύτων δείκνυται, ὐ μέν τοι καὶ εἰ ὠφέλειάν τινα ἡμῖν ἡ γέφυρα παρέχεται; ἀλλ' ἑςᾶσιν αἱ κρηπῖδες ἄλλως δίοδον ὐκ ἔχυσαι, καθάπερ ἐπ' αὐτῷ τύτῳ μόνον γενόμεναι, ἵν' ἐπιδείξωσι τὴν ἀνθρωπίνην φύσιν, ὐδὲν ὅ, τι ὐ δυναμένην ἐξεργάσασθαι.

Ο μὲν γὰρ Τραϊανὸς δείσας μήποτε, παγέντος τῦ Ιςρυ, πόλεμος τοῖς πέραν ῥωμαίοις γένηται, ἐποίησε τὴν γέφυραν, ἵνα αἱ ἐπιβασίαι ῥαδίως δι' αὐτῆς διεξίωσι. Αδριανὸς δὲ τὐναντίον, φοβηθεὶς μὴ καὶ τοῖς βαρβάροις τὺς φρυρὺς αὐτῇ βιαζομένοις, ῥαδία διάβασις ἐς τὴν Μυσίαν ᾖ, ἀφεῖλε τὴν ἐπιπολῆς κατασκευήν. Τραϊανὸς δὲ διὰ ταύτης τῆς γεφύρας τὸν Ιςρον

περαιωθεὶς, καὶ δι' ἀσφαλείας μᾶλλον ἢ διὰ σπȣδῆς τὸν πόλεμον ποιȣμενος, σὺν χρόνῳ καὶ μόλις ἐκράτησε τῶν δακῶν. Ενταῦθα πάντως ȣ τὸν Δεκέβαλον ἐννοεῖ ὁ Δίων, ἀλλὰ τὸ ἔθνος αὐτό· πολλάκις γὰρ, ἐκ πρώτης ἀφετηρίας, ὡς εἰπεῖν, ὁ βασιλεὺς ἑνὸς ἔθνȣς ἡττᾶται καὶ πίπτει καὶ τὰ ὅλα σὺν τῇ ζωῇ ἀποβάλλει· ȣ μὴν δὲ καὶ τὸ ἔθνος ὡς ἡττημένον ἡγητέον. Ο παρὼν χρόνος, φορὸς ἀτοπιῶν καὶ συμφορῶν ὑπὲρ τὸ σύνηθες μάλα γενόμενος, ἔδειξεν ἡμῖν καὶ παραπλήσια παραδείγματα. Ειτα Τραϊανὸς τοιαύτην γέφυραν, οἷα ȣ δέπο τ' ἄλλοτε μέχρι τȣ͂ νῦν ἐγένετο, πρὸ τȣ͂ κατὰ Δεκεβάλȣ πολέμȣ ἐν βραχεῖ χρόνῳ ȣκ εἶχε κατασκευάσασθαι. Τοιȣ͂το γὰρ μέγα ἔργον, γέφυρα μάλιςα, πάντως καὶ μεγάλȣ ἔχρηζε χρόνȣ, καὶ ȣκ ἔργον ἐν πολέμῳ πρὸ ἐπιθέσεως. Τȣ͂ δὲ δακικȣ͂ ἔθνȣς ὁ μέγας Τραϊνὸς τῇ ἀρετῇ μᾶλλον αὐτȣ͂ ἢ τοῖς ὅπλοις περιεγένετο, ὡς θεὸς μᾶλλον ἢ ὡς ἄνθρωπος τοῖς δακοῖς καὶ ἁπλῶς πᾶσι τοῖς ἐν Ρȣμȣνίᾳ ἐπιφανείς. Αλλ'

ἄϑλια τὰ ἀνϑρώπινα! οἱ παρόμοιοι ἄνϑρωποι σπανιώτατοι.

Η δὲ τῶν ῥωμαίων δύναμις ἐν τῇ Δακίᾳ μετ' ȣ πολὺ μειȣ̃σϑαι ἤρξατο· ȣ γὰρ ὑπὸ Τραϊανῶν ἀεὶ τὰ ἀνϑρώπων ἄγονται· ἔπειτα καὶ τὰ βόρεια καὶ ἀσιατικὰ ἔϑνη, χειμάῤῥȣ δίκην, λάβρως καταρασσόμενα, καὶ τὴν ἐς τὰ πρόσω ὁρμοῤῥοὴν, χώματι ςερεῷ καὶ παχεῖ, ταῖς τῶν ῥωμαίων φάλαγξιν ἀπειργόμενα, ἔδει τέλος πολλῷ βρασμῷ καὶ φρικαλέῳ πατάγῳ, τῷ βάρει τȣ̃ ἐπισωρευομένȣ καὶ ἐπαιρομένȣ σώματος, ὥςπερ ὕδατος, διαῤῥαγῆναι τὸ ἔρυμα ποιήσασϑαι. Καρπαϑίȣς ὁρῶμεν περὶ τὸ τεσσαρακοςὸν δεύτερον ἔτος τῆς τρίτης ἑκατονταετηρίδος, ὁρμηϑέντας καὶ τὸν Ἴςρον περαιωϑέντας, λεηλατῆσαι καὶ ἐκπορϑῆσαι τὴν Ἰςρόπολιν. Τέλος ὁ αὐτοκράτωρ Αὐρηλιανὸς, διὰ τὸν πρὸς τὸν Τραϊανὸν φϑόνον, ὡς λέγȣσιν, ἢ καὶ τῷ ὄντι τὰς τῶν ἐϑνῶν ἐφόδȣς καὶ ἐπισωρεύσεις ἀχϑόμενος, καταλιπεῖν ἐκέλευσε τὰ ἀριςερὰ τȣ̃ Ἴςρȣ, περὶ τὸν ἑβδομηκοςὸν τρίτον ἐνι-

αυτὸν τῆς τρίτης ἑκατονταετηρίδος. Μετήχθησαν ὖν αἱ φρυραὶ, καὶ τῶν ἐντοπίων καὶ μετοίκων ὅσοι ἴσως, διὰ περιφάνειαν βίυ καὶ πλῦτον, τὺς βαρβάρυς ἐδεδίεσαν, καὶ ὅσοι αὐτοῖς προσήδρευον, ἐς τὰ δεξιὰ τῦ ποταμῦ, καὶ ὠνομάσθη καὶ ταῦτα Δακία, παραμυθυμένυ ὕτως ἑαυτὸν ὀνόμασι, δι' ἃ ἀπολωλέκει πράγματα. Φαίνεται δὲ ὅτι οἱ πλεῖςοι καὶ μάλιςα οἱ κάτοικοι τῶν ἀγρῶν κατέμειναν ἐν τῇ παλαιᾷ Δακίᾳ τῇ ἐπὶ πλεῖον νῦν ἐκτεταμένῃ Ρυμυνίᾳ· δυσχερὲς γὰρ πεπολισμένον τόπον οἰκῦντας καὶ οἰκίας καὶ γήδια καὶ κτήνη ἔχοντες, κτηματικὺς ἤδη ὄντας καὶ γαιηοχῦντας, καὶ μηκέτι ἁμαξοβίυς καὶ σκηνοβίυς, πανοικεὶ ἐς ἀλλοδαπὴν μετοικῆσαι. Πατέρες γῦν Ρυμύνων αὐτοί τε οἱ τότε καταμείναντες, καὶ πολλοὶ ἕτεροι ἐκ τῶν ἐνταῦθα συχνὰ καταρασσομένων ἐθνῶν, ὥσπερ κατιόντες τῷ λόγῳ ὀψόμεθα, ἀναμιχθέντες τύτοις καὶ ἐκρυμυνισθέντες ἐγένοντο.

Ιδὺ καὶ ἃ λέγει Ευτρόπιος περὶ τύτυ.

Ευθὺς ἂν εἷλε Αδριανὸν τῆς Τραϊανᾶ δόξης φθόνος, καὶ ἐκ τῶν ἐπαρχιῶν, ἃς κατεςήσατο ἐκεῖνος, τὴν φυλάττεσαν αὐτὰς ςρατιὰν ἀνακαλεσάμενος, συνέςειλε τὰς τῆς βασιλείας ὅρες ἐντὸς τᾶ Ευφράτε ποταμᾶ. Βελευόμενον δ' αὐτὸν ὅμοια καὶ περὶ τῶν δακῶν, οἱ φίλοι διεκώλυσαν· τὰς γὰρ ἀποίκες τὰς ἐκ τῶν πολιτῶν ῥωμαίων ὑπὸ Τραϊανᾶ μεταςάντας, οἰκήσεως ἕνεκα καὶ γεωργίας, ἀνόσιον εἶναι γίνεσθαι βαρβάρες. Γαλιηνὸς δὲ μετέπειτα πάσας ἀφῆκε τὰς βασιλικὰς φροντίδας, ὥςε καὶ δακὰς τὰς ὑπερ τὸν Ιςρον, οἳ κτῆμα Τραϊανᾶ τᾶ πάλαι βασιλεύσαντος ἐγεγόνεσαν, ἀλλοτριωθῆναι ῥωμαίων, Ελλάδατε καὶ Μακεδονίαν καὶ Πόντον καὶ Ασίαν ὑπὸ τῶν περὶ τὸν Ιςρον ἐθνῶν (τῶν γότθων) λεηλατηθῆναι. Αυρηλιανός δὲ μετέπειτα, ἃς κατεςήσατο πόλεις Τραϊανὸς ὑπὲρ τὸν Ιςρον, ὀκ ἠβελήθη μέρος εἶναι τῆς ἀρχῆς· ὀ γὰρ ἤλπισε δύνασθαι μένειν αὐτὰς ὑπο τοῖς ῥωμαίοις, τῶν προβεβλημένων ἐθνῶν ἰλλυριῶν τε καὶ μυσῶν ἐκπεπορθημένων

Μετῴκισε γῦν τὺς κατοικισθέντας ἐκεῖ ῥωμαίυς ἐς μέσην τὴν μυσῶν γῆν, προσαγορεύσας τὸν συνοικισμὸν Δακίαν, ἡ μέση νῦν τῶν δύο Μυσιῶν κεῖται, καὶ ἔςιν ἐν δεξιᾷ διαπλέυσι τὸν Ἴςρον ἐπὶ τὴν θάλασσαν. Η Δακία τῦ Αὐρηλιανῦ διῃρεῖτο ἐς μεσόγαιαν Δακίαν καὶ ἐς παριςρίαν Δακίαν, λέξεις καὶ αὗται καὶ ἀκμὴν τόσαι ἄλλαι, αἳ ἐν χρήσει παρὰ πάντα λόγον γενόμεναι, τῇ γεωγραφίᾳ καὶ τῇ ἱςορίᾳ τοῖς καλλίςοις καὶ καθόλυ ἀναγκαιοτάτοις τοῖς ἀνθρώποις μαθήμασι, πολὺν σκοτισμὸν προεξένησαν.

Η Δακία τῦ Πτολεμαίυ διορίζεται ἐκ βοῤῥᾶ μὲν τοῖς Καρπαθίοις ὄρεσι, ἔπειτα γραμμῇ τινι ἐντεῦθεν ἀγομένῃ εἰς τὴν τῦ Τύρα ἐπιςροφὴν, ἐξ ἔω δὲ τῷ Πρύτῳ· καὶ μετὰ ταῦτα γραμμῇ μέχρι τῆς εἰρημένης ἐπιςροφῆς· τὰ δ' ἕτερα ἐξ ἑτέρων ὅρια εἰσὶν, ἃ καὶ τῆς Ρυμυνίας. Πόλεις δέ εἰσιν ἐν τῇ Δακίᾳ αἱ ἐπιφανέςεραι αἵδε

| | μῆκος | πλάτος |
|---|---|---|
| Ρυκκόνιον - - | μς' | μη' |

| | | | μῆκος | πλάτος |
|---|---|---|---|---|
| Δοκιράνα | - | - | μζ.' | μη.' |
| Πορόλισσον | - | - | μθ.' | μη.' |
| Τρίφελον | - | - | νβ.' | μη.' |
| Πατριδάνα | - | - | νγ.' | μη.' |
| Καρσιδάνα | - | - | νγ.' | μη.' |
| Πετροδάνα | - | - | νγ.' | μζ.' |
| Ουλπιανὸν | - | - | μζ.' | μζ.' |
| Νάπεκα | - | - | μθ.' | μζ.' |
| Πατρέισσα | - | - | μθ.' | μζ.' |
| Σαλῖναι | - | - | μθ.' | μζ.' |
| Πραιτωρία αὐγέςα | | | ν.' | μζ.' |
| Σανδάνα | - | - | να.' | μζ.' |
| Αυγεςία | - | - | νβ.' | μζ.' |
| Ουτιδάνα | - | - | μγ.' | μζ.' |
| Μαρκοδάνα | - | - | μθ.' | μζ.' |
| Ζιριδάνα | - | - | μθ.' | μς.' |
| Σιγγιδάνα | - | - | μθ.' | μς.' |
| Απελον | - | - | μθ.' | μς.' |
| Ζερμιζιργα | - | - | μθ.' | μς.' |
| Κομιδάνα | - | - | να.' | μς.' |
| Ραμιδάνα | - | - | να.' | μς.' |
| Πίρεμ | - | - | να.' | μς.' |

| | | μῆκος | πλάτος. |
|---|---|---|---|
| Ζεσιδάνα | - - | νβ.′ | μϛ.′ |
| Πάλοδα | - - | νγ.′ | μζ.′ |
| Ζερόβαρα | - - | με.′ | με.′ |
| Λίζισις | - - | ζϛ.′ | με.′ |
| Αργιδάνα | - - | μϑ.′ | με.′ |
| Τίρισκον | - - | μη.′ | με.′ |
| Ζαρμιγεϑȣ̃σα | - | μζ.′ | με.′ |
| Ὕδατα | - - | μϑ.′ | με.′ |
| Νεντιδάνα | - - | νβ.′ | με.′ |
| Τίασον | - - | νβ.′ | με.′ |
| Ζεῦγμα | - - | μζ.′ | μδ.′ |
| Τίβισκον | - - | μϛ.′ | μδ.′ |
| Δίερνα | - - | μζ.′ | μδ.′ |
| Ακμωνία | - - | μη.′ | με.′ |
| Δρεφηγὶς | - - | μζ.′ | μδ.′ |
| Φρατερία | - - | μδ.′ | μδ.′ |
| Αρκινα | - - | μδ.′ | μδ.′ |
| Πινον | - - | ν.′ | μδ.′ |
| Αμέτριον | - - | ν.′ | μδ.′ |
| Σόρνον | - - | να.′ | μν.′ |

Παρὰ δὲ τὸν Πρȣ̃τον ἐν τῇ νῦν Μπασσαραβίᾳ, ἦσαν πόλεις, αἱ ἐφεξῆς τρεῖς.

| | μῆκος | πλάτος |
|---|---|---|
| Ζαργιδάνα - - | νέ. | μζ. |
| Ταμασιδάνα - | νέ. | μζ. |
| Πιροβοριδάνα - | νδ. | μζ. |
| Αἱ ἐκβολαὶ τȣ̃ Τύρα | νς. | μζ. |
| Ερμώνακτος κώμη | νς. | μζ. |
| Αρπις πόλις - | νς. | μζ. |

Ἀπὸ ἀνατολῶν ὅριον τῆς Δακίας, φησὶν ὁ Πτολεμαῖος, ἐςὶν ὁ Ιςρος, ἀπὸ τῆς ἐν Αξιȣπόλει ἐπιςροφῆς μέχρι τῆς κατὰ Διvoγέτειαν πόλιν ἐπιςροφῆς, καὶ ἔτι ὁ Ιερασσὸς (Πρȣ̃τος) ποταμὸς, ὃς κατὰ Διvoγέτειαν ἐκτραπεὶς ἀπὸ τȣ̃ Ιςρȣ, πρὸς ἄρκτȣς καὶ ἀνατολὰς φέρεται. Οὐκȣ̃ν αἱ ἐφεξῆς πόλεις ἦσαν ἐν δεξιοῖς τȣ̃ Ιςρȣ

| | μῆκος | πλάτος |
|---|---|---|
| Τρομάρισκα - - | νγ. | με. |
| Σȣκιδάνα - - - | νδ. | με. |
| Αξιȣπολις - - - | νδ. | με. |
| Κάρσον - - - | νδ. | με. |
| Τρισμὶς - - - | νδ. | μς. |
| Διvoγέτεια - - | νγ. | μς. |
| Νοȣιόδȣνον - - | νδ. | μς. |

| | μῆκος | πλάτος |
|---|---|---|
| Σιτιόεντα - - - | νε.′ | μϛ.′ |
| καὶ ἀναμεταξὺ τȣ̃ Ἴϛρȣ, | | |
| Δαȣσδάυα - - - | νγ.′ | μδ.′ |
| Τίβισκα - - - | νε.′ | μϛ.′ |

ὧν ἡ Ἀξιȣ́πολις ἄνω πȣ Μπραΐλης ἔκειτο, ὅπȣ ὁ Ἴϛρος τρέπεται πρὸς τὸ ἀνατολικοβόρειον, κατ᾽ αὐτὸν τὸν Πτολεμαῖον· ἡ δὲ Δινογέτεια ἀντικρὺ πȣ τῶν ἐκβολῶν τȣ̃ Πρȣ́τȣ· τὸ δὲ Νοȣϊόδȣνον, ὅπȣ διασχίζεται ὁ Ἴϛρος. Η ἀπὸ Ἀξιȣπόλεως μέχρι Δινογετείας γραμμὴ, μέρος τῆς ἑῴας πλευρᾶς τῆς Δακίας ἦν κατὰ τὸν Πτολεμαῖον, καὶ τὰ πέραν τῆς πλευρᾶς ταύτης μέρος τῆς κάτω Μυσίας, ἤ τις καὶ τὰ ἐν ἀριϛερᾷ τȣ̃ Ἴϛρȣ παράλια μέχρι Βορυσθένȣς περιελάμβανε. Πότερον δὲ, ἡ Δινογέτεια καὶ τὸ Νοȣιόδȣνον ἐν δεξιᾷ ἦσαν τȣ̃ Ἴϛρȣ ἢ ἐν ἀριϛερᾷ. Κατὰ μὲν ȣ̃ν τὴν ἔκθεσιν τȣ̃ Πτολεμαίȣ, ἐν δεξιᾷ τȣ̃ Ἴϛρȣ εἰσὶν, ἢν ἐν ἀριϛερᾷ τȣ̃ Πρȣ́τȣ· ἐν γὰρ τῇ κάτω Μυσίᾳ κατ᾽ αὐτὸν κεῖνται· ἀλλ᾽ ἕτεραι πάλιν ἐκθέσεις ὑποπτεύειν τἀναντία ποιȣ̃σι. Μεταξὺ Τύρα,

φησὶν ὁ αὐτὸς, Νικώνιον καὶ Οφιȣ̃σσα καὶ Τυράσπολις κεῖνται. Η Διvογέτεια παρὰ τὴν ἐκβολὴν τȣ̃ Πρȣ́τȣ κειμένη, ἀνατολικωτέρα ἦν τῆς Αξιȣπόλεως, ἐν τῇ πρὸς τὸ ἀνατολικοβόρειον καμπῇ τȣ̃ Ιςρȣ κειμένης· ἐνταῦθα δὲ ἡ θέσις τȣ̃ μήκȣς αὐτῆς, ἐν τῇ τεσσαρακοςῇ τρίτῃ μοίρᾳ ὄντος, ἔσφαλται. Αλλὰ, καθόλȣ, πλήρης σφαλμάτων ἡ ἔκδοσις, κατὰ παράγραφα μᾶλλον ἢ ἀντίγραφα γενομένη, καὶ περιττὸν ἐπιμένειν τῷ λόγῳ παντάπασιν.

## Γ ό τ θ ο ι.

Οι δὲ τȣ̀ς ῥωμαίȣς ἐν τῇ Ρȣμȣνίᾳ διαδεξάμενοι, οἱ γότθοι εἰσὶν, ἔθνος μέγα καὶ διαφερόντως ἀρεομανὲς καὶ φιλεπίδρομον, καὶ εἰς πολλὰ ἔθνη διαιρȣ́μενον· καὶ τὰ γερμανικὰ ἔθνη γοτθικὰ, ἢ τὰ γοτθικὰ ἔθνη γερμανικὰ εἰσίν. Ετι δὲ ἐρȣ̃λοι, κȣάδοι, σȣηβοὶ, μᾶλλον δὲ κβάδοι, σβέβοι, βανδῆλοι, μαρκομανοὶ, λογγοβάρδοι, καὶ ἕτερα πολλὰ γερμανικὰ ἔθνη.

Προκόπιος δέ φησι καὶ ἀλανὺς γερμανικὸν ἔθνος εἶναι. Εοικε δὲ ἡ λέξις παραφθορὰ τῦ γέτης εἶναι· γετικὸν γὰρ ἔθνος φασὶ τὺς γότθυς εἶναι, φησὶν ὁ Προκόπιος, οἵπερ ἐν τοῖς ἄνωθεν χρόνοις σκύθαι ἐπεκαλῦντο· ἔπειτα δὲ, ὥσπερ τινὰ ἀσιατικὰ ἔθνη ἐν τῇ Ευρώπῃ παραγενόμενα, ἐφύλαξαν, ἃς εἶχον ἐν Ἀσίᾳ ἐπωνυμίας, ὕτω καὶ γότθυς τῶν ἐν τῷ βορείῳ τῆς Περσίας γετῶν ἀπογόνυς τις λέγων, μὰ τὴν ἀλήθειαν, ὖ παρὰ λόγον συλλογίζεται. Βαςάρναι πρόδρομοι τῶν γότθων ἦσαν ἐν τοῖς ὑπὲρ τὸν Τύραν μέρεσι, καὶ διαβάντες δυνάμει τὸν Ιςρον, εἰ μὴ ῥωμαῖοι ἦσαν, πάντως ἂν ᾤκησαν, ἣν καὶ πρὸ αὐτῶν χώραν οἱ γέται πρότερον, ἀλλὰ παλινδρομεῖν ἀνάγκη διὰ ῥωμαίυς. Ἀρ᾽ ὖ καὶ γέται ἢ γότθοι πρότερον ταὐτὰ βαςάρνοις ἐποίησαν; Οι δὲ δακοὶ ἢ δάκοι ἢ δαύοι, ἢ ὥσπερ οἱ ῥωμαῖοι ἔλεγον δάτζοι, καὶ ὡς αὐτοὶ ἑαυτὺς ὠνόμαζον, ὁμόγλωσσοι τοῖς γέταις καὶ γότθοις ὄντες, πάντως καὶ αὐτοὶ γερμανικὸν ἔθνος ἦσαν, καὶ καταβάντες ἐκ τῶν ἀριςε-

ρῶν παριςρίων ἐποίησαν, ὅπερ καὶ οἱ γότθοι, ἐκ τῶν ἑῴων παρατυρίων κατερχόμενοι.

Τί δὲ, ἐξ ἑῴων μόνον τῆς Ρȣμȣνίας τὰ γερμανικὰ καταράσσειν ἐς αὐτὴν φήσομεν ἔθνη; Διὰ τί οὐχὶ καὶ ἐκ τῶν δυτικοβορείων, ὅπȣ καὶ τόσα ἄλλα ὁρῶμεν γερμανικὰ ἔθνη λυσσομανικῶς τὰ περὶ τὸν μέσον Δανȣ́βιον ἐπιτρέχοντα; Θήσομεν ὅριον τῆς λυσσορμῆς τῶν πάλαι δαΰτζων τὸν Τισσὸν, ἢ τὰς μετὰ τὰς ἀχανεῖς πεδιάδας τȣ̃ δυτικȣ̃ τῆς Ρȣμȣνίας γεωραχίας; Ἀλλ' ὁ σκεπτικὸς καὶ εὖ συλλογιζόμενος ἀναγνώςης γνωρίζειν τȣ̃το πάντως ȣ̓ βȣλήσεται. Οι δακοὶ τὸ αὐτὸ ἔθνος ἦν τοῖς γέταις, φησὶν ὁ Δίων. Στράβων δὲ λέγων, οἱ βόϊοι ἐξελάθησαν ὑπὸ τῶν ρωμαίων ἐκ τῶν περὶ τὸν Πάδον τόπων (αὕτη ἦν ἡ ἐντὸς Ἄλπεων Κελτική)· μεταναςάντες δὲ ἐς τȣ̀ς περὶ τὸν Ἴςρον (ἄνω ποι τȣ̃ τῆς Σερβίας Πελεγρὰδ) μετὰ ταυρίσκων ᾤκȣν πολεμȣ̃ντες δακοῖς, ἕως ἀπώλοντο πανεθνεί. Καὶ ἀλλαχȣ̃ πάλιν, μέρος δέ τι τῆς χώρας ἠρήμωσάν οἱ

δακοὶ καταπολεμήσαντες βοΐες καὶ ταυρίσκες ἔθνη κελτικὰ τὰ ὑπὸ Κριτασίρῳ . . . ἀλλ᾽ ἐκείνες οἱ δακοὶ κατέλυσαν, ἰλλυριὲς δὲ καὶ θρᾶκας (ὡς ὁμογλώττες) συμμάχες ἐποίησαν. Ἀλλαχῦ πάλιν, βοΐες δὲ τὲς ὑπὸ Κριτασίρῳ ὁ Βοιρεβίςας καὶ ἄρδην ἠφάνισε καὶ ταυρίσκες. Στράβων ἓν φημὶ, ταῦτα λέγων, δακὲς καὶ γέτας τὸ αὐτὸ ἔθνος εἶναι λέγει. Επειτα δὲ καθόλε εἰπεῖν, τὰ σλαβικὰ ἔθνη, ὁ πάνυτοι ληςρομανῆ, ὁ πάνυτοι φιλεπίδρομα, ἔμενεν ὁδ᾽ ἀρεομανῆ τόσον, ὅσον τὰ γοτθικὰ καὶ τὰ τυρκικὰ καὶ τὰ μογγελικὰ ὁρῶμεν· ὁ γὰρ ἂν, εἴπερ, νῦν μὲν γότθοις, νῦν δὲ ὕνοις, ἀβάροις, βεργάροις, μοαγγύροις καὶ τοῖς λοιποῖς ἦσαν ὑπήκοα, καὶ πολλῷ πολυαριθμότερα ἐνίοτε· ἴσως ὅτι καθόλε πλέον τῦ δέοντος φιλελεύθερα ἐτύγχανε· τὸ γὰρ ἄγαν φιλελεύθερον, δελείας ὡς τὰ πολλὰ, παραίτιον γίνεται. Τὰ δὲ σκυθικὰ ἔθνη τὲς ἡγεμόνας αὐτῶν ὡς ἐπιγείες θεὲς θεωρῦντα, πλείςην ὅτι αὐτοῖς ἐν ταῖς ἐπιχειρήσεσι τὴν εὐκολίαν παρείχετο, ὡς μηχα-

νὴν ἐῶντα ἑαυτὰ κινεῖσθαι, ὅπη καὶ ὅπως καὶ ὅτε αὐτοὶ ἐβϐλοντο. Ειδὲ καὶ τὰ πλεῖϛα κατατριβέντα καὶ ἐκπονηθέντα ὑπ᾽ ἀλλήλων τε καὶ ἀλλοτρίων, ἐξησθένησαν, καὶ τέλος ἐξηφανίσθησαν, καὶ ῥϐμϐνοι σώζονται, καὶ σλάβοι μάλιϛα, οἵ μικρϐ καὶ πάσης τῆς Γερμανίας οἰκήτορες ἐγεγόνεισαν, τὴν αἰτίαν συνιδεῖν ῥάδιον· καὶ ἄνευ τῆς περὶ τὴν πολιτικὴν προνοίας καὶ φρονήσεως τῶν φράνκων, ἐσώζετ᾽ ἂν καὶ τὸ γερμανικὸν ἔθνος ἐν ἱϛορίᾳ μόνον, ὥσπερ καὶ πολλὰ ἕτερα.

Εθνομεταναϛάσεις καὶ ὀνοματαλλαγὰς καὶ μετὰ ταῦτα ἐκπληττόμενοι ὁρῶμεν, καὶ οἱ μεθ᾽ ἡμᾶς ὄψονται, ϐ τῶν παρελθόντων μιμήματα, ἀλλὰ τῆς ἀνθρωπίνης φύσεως αὐθαδιαζϐσης καὶ παρεκτρεπομένης τϐ λόγϐ, καὶ ἀλόγοις πάθεσι φερομένης, βαδίσματα. Ορῶμεν καὶ μετὰ σκύθας τὸ μέγα ἔθνος τῶν τϐρκων ἢ μᾶλλον τύρκων, τὰ αὐτὰ ἐκείνοις ποιϐμενον, καὶ ἤδη ἑκατονταετηρίδας εἴκοσι μετὰ τὴν πρώ-

την ἐξ Ἀσίας ἔκρηξιν διασῳζόμενον· Ου δώσομεν καὶ τοῖς κιμμερίοις ἢ σκύθαις τοσȣτον χρόνον πρὸ τῶν τελευταίων αὐτοῖς μεταναςάσεων; Ορῶμεν καὶ μετὰ τȣς τύρκȣς τὸ μέγα τῶν Μογγȣλων (ȣτως ὁ ἱςορικὸς τάταρος Αμπȣλγασῆς αὐτȣς ὀνομάζει) ἔθνος ταὐτὰ τοῖς τύρκοις ποιῆσαν, λυσσῶν κατ᾽ αὐτῶν καὶ τὴν οἰκȣμένην καταπλῆξαν καὶ καταφοβῆσαν. Ταῦτα τὰ ἔθνη, ὡς ἐκ μεγάλȣ κρατῆρος, τῆς μεγάλης Σκυθίας, τῆς νῦν μεγάλης Ταταρίας, ἐξεῤῥάγησαν, καὶ χειμάῤῥȣ ἀνυποςάτȣ δίκην, βόρειάτε καὶ νότια, ἑῷά τε καὶ δυτικὰ κατέκλυσαν, τῆς τρυφῆς καὶ διαφθορᾶς τῶν ἠθῶν τὴν ὁδὸν αὐτοῖς παρασκευαζȣσης. Αλλ᾽ οἱ μογγȣλοι οἱ ἔσχατοι εἰσί; Τȣτο εὐχῆς μὲν ἄξιόν ἐςι, βέβαιον δὲ ȣκ οἰόμεθα, ὁρῶντες τὸ τῶν ἀνθρώπων ἐπὶ τρυφὴν καὶ διαφθορὰν κατάφορον, καὶ τὸ τῶν πραγμάτων ἄςατον καὶ ὅλως φιλομετάβολον· ȣδ᾽ αἱ ἄμαχοι τῶν ῥωμαίων φάλαγγες τὸν κλεινὸν Σκηπίωνα ἐπισχεῖν τῶν δακρύων καὶ τȣ εἰπεῖν ἠδυνήθησαν, τῆς

Καρχηδόνος τὴν τύχην ὁρῶντα καὶ τὴν τῆς Ῥώμης προορῶντα,

Εσσεται ἦμαρ ὅταν ποτ' ὀλώλῃ καὶ Ἴλιον ἱρόν.

Ουτοι τοίνυν οἱ γότθοι, ὃς σκύθας ὀνομάζει ὁ Ζώσιμος· οἱ πλεῖςοι γὰρ τῶν παλαιῶν ἐχρῶντο, ὡς ἔτυχε, τοῖς ὀνόμασι, κακῶς μάλα ποιȣ̃ντες, τοῖς μετέπειτα πράγματα πολλὰ παρέχοντες· διαβάντες τὸν Ιςρον ἐληΐζοντο τὰ περὶ Θράκην χωρία, οἷς ἐπεξελθὼν ὁ Δέκιος, καὶ ἐν πάσαις κρατήσας ταῖς μάχαις, καὶ τὴν λείαν αὐτȣ̀ς ἀφείλετο, ἣν ἔτυχον εἰληφότες, καὶ πανωλεθρίᾳ διαφθεῖραι διανοȣ́μενος, ὡς ἂν μὴ καὶ αὖθις ἑαυτȣ̀ς συναγαγόντες ἐπέλθοιεν, ἀποκλείειν αὐτοῖς ἐπειρᾶτο τὴν οἴκαδε ἀναχώρησιν, καὶ Γάλλον τῇ τȣ̃ Ιςρȣ ὄχθῃ μετὰ δυνάμεως ἀρκȣ́σης ἐφίςησι, αὐτὸς δὲ τοῖς λειπομένοις ἐπῄει· ἐπιβȣλευθεὶς δὲ ὑπὸ τȣ̃ Γάλλȣ βασιλιῶντος, καὶ τοῖς ἐχθροῖς προδόντος αὐτὸν, ἐνσχεθεὶς ἀγνοίᾳ ἐν τέλματι πηλώδει τȣ̃ Ταναΐδος (τῆς μεσημβρινῆς Ρȣμȣνίας), αὐτός τε καὶ οἱ σὺν αὐτῷ κατηκοντίσθησαν.

Μετὰ ταῦτα, ἐπὶ Γάλλȣ βασιλεύοντος καὶ νωθρεύοντος, ἢτοι οἱ σκύθαι (γότθοι) αὖθις, πρῶτον μὲν τὰ πλησίον συνετάραττον ἔθνη, προϊόντες δὲ ὁδῷ, καὶ τὰ μέχρι θαλάσσης αὐτῆς ἐληΐζοντο, ὥςε μηδὲν ἔθνος ῥωμαίοις ὑπήκοον, απόρθητον ὑπὸ τέτων καταλειφθῆναι· πᾶσαν δὲ, ὡς εἰπεῖν, ἀτείχιςον πόλιν, καὶ τῶν ὠχυρωμένων τείχεσι τὰς πλείȣς ἁλῶναι· λοιμὸς δὲ μετὰ ταῦτα πόλεσί τε καὶ κώμαις ἐπιγενόμενος, διέφθειρεν εἴτι λέλειπτο. Αὖθις ἀμελεία τῶν κρατȣ́ντων γότθοι, βορανοὶ, ȣ̓ρȣγȣ́νδοι καὶ κάρποι, τὰς κατὰ τὴν Ευρώπην ἐληΐζοντο πόλεις, καὶ ἐς Ασίαν καὶ μέχρι Καππαδοκίας καὶ Εφέσȣ ἀφίκοντο λεηλατȣ̃ντες. Μετὰ ταῦτα πάλιν ἐπὶ Ουαλεριανȣ̃, σκυθῶν ἐξ ἠθῶν ἀναςάντων καὶ μαρκομανῶν, τὰ πρόσοικα τῇ ἀρχῇ ῥωμαίων λεηλατȣ́ντων, εἰς ἔσχατον ἡ Θεσσαλονίκη περιέςη κινδύνȣ· ἀθηναῖοί τε τȣ̃ τείχȣς ἐπεμελȣ̃ντο, μηδέποτε, ὅτε Σύλλας τȣ̃το διέφθειρε, φροντίδος ἀξιωθέντος, καὶ πελοποννήσιοι τὸν ἰσθ-

μὸν διετείχιζον. Τάλαινα καὶ παντάλαινα Ελλάς!

Μετὰ ταῦτα πάλιν Βορανοὶ, γότθοι, κάρποι καὶ ἐρεγȣνδοι, περὶ τὸν Ιςρον οἰκȣντες (παρὰ τὸν Ιςρον), μέρος ȣδὲν τῆς Ιταλίας ἢ Ιλλυρίδος καταλιπόντες ἀθῷωτον διετέλȣν. Βορανοὶ δὲ (γότθοι) καὶ ἐς Ασίαν διέβησαν, τῶν βοσποραvῶν, φόβῳ μᾶλλον ἢ γνώμῃ χορηγȣ́ντων αὐτοῖς πλοῖα, καὶ τὰ ἐν ποσὶ πάντα ἐληΐζοντο, καὶ οἱ τῶν παραλίων τȣ̃ Πόντȣ κάτοικοι πρὸς τὰ μεσόγαια καὶ ὀχυρώτατα ἀνεχώρησαν. Μετὰ ταῦτα πάλιν ἐπεραιώθησαν ἐς Ασίαν, καὶ Τραπεζȣ̃ντα, πόλιν μεγάλην καὶ ὀλβίαν καὶ δυσὶ τείχεσι περιειλημμένην, εἶλον, καὶ μεγάλην σφαγὴν ποιήσαντες, πλήθȣς ἀφάτȣ καὶ χρημάτων καὶ ἀνδραπόδων γεγόνασι κύριοι. Τὸν πλȣ̃τον τȣ̃τον οἱ ὁμορȣ̃ντες σκύθαι (γότθοι) θεασάμενοι, τὰ αὐτὰ ποιῆσαι ἔγνωσαν καὶ πλοῖα μὲν πολλὰ κατεσκευάσαντο, τῶν αἰχμαλώτων αὐτοῖς ὑπȣργȣ́ντων, κατὰ [illegible] βορανȣ̀ς τὸν ἔκπλȣν ποιεῖν ȣ̓κ ἐτόλμησαν

*παραπλέοντες δὲ τῇ πεζικῇ δυνάμει, (παρὰ Μπασσαραβίαν, Βυργαρίαν καὶ Θρᾴκην,) καὶ ταύτην τὴν δύναμιν τοῖς ἐντυχῦσι πλοίοις ἐμβιβάσαντες, εἰσῆλθον ἐς τὸν Θρακικὸν βόσπορον, καὶ Χαλκηδόνα ἑλόντες, χρημάτων καὶ ὅπλων καὶ ἄλλης ἀποσκευῆς ἐγκρατεῖς γεγόνασι, καὶ ἐπὶ Νικομήδειαν ἐχώρυν μεγίςην ὖσαν καὶ εὐδαίμονα πόλιν, διά τε πλῦτον καὶ τὴν ἐς ἅπαντα εὐπορίαν, ὀνομαςοτάτην. Ἀλλ' εἰ καὶ, προκαταλαβύσης τῆς φήμης, ἀπέδρασαν οἱ κάτοικοι μετὰ τῶν χρημάτων, τὸ πλῆθος μέντοι τῶν ἑυρεθέντων ἐθαύμασαν οἱ βάρβαροι. Παραπλήσια δὲ καὶ ἡ Νίκαια καὶ ἡ Κίος ἔπαθον, καὶ ὁ Ρύνδακος λαῦρος καταράσσων, ἀπήλλαξε τῦ κακῦ τὴν Κύζικον. Οι δὲ βάρβαροι ἁμάξαις καὶ πλοίοις ἐνθέντες τὰ λάφυρα, περὶ τῆς οἴκαδε ἐπανόδυ διενοῦντο.*

*Μετὰ ταῦτα πάλιν, Ουαλεριανῦ αἰσχίςως τὸν βίον ἐν Περσίᾳ ἀπολιπόντος, καὶ τῦ παντὸς ἀνάρχυ καὶ ἀβοηθήτυ ὄντος, ὁμογνωμονήσαντες οἱ σκύθαι (οἱ γότθοι),*

τὴν τε Ἰλλυρίδα μοίρᾳ τινὶ σφῶν ἐληΐζοντο, μοίρᾳ δὲ ἑτέρᾳ ἄχρι τῆς Ῥώμης αὐτῆς ἐπῄεσαν, καὶ λοιμὸς ἐπιβρίσας ταῖς πόλεσιν, ὅσος ὄπω πρότερον, τὰς ἐκ τῶν βαρβάρων συμφορὰς μετρίας ἀπέφηνε. Γαλλιηνὸς δὲ ὁ βασιλεὺς πέραν τῶν Ἄλπεων τυγχάνων, ἐπανῄει ἐς Ἰταλίαν. Ἡνικαῦτα οἱ βάρβαροι τὴν Ἑλλάδα τὰ κάκιςα διετίθεσαν, καὶ τὰς Ἀθήνας ἐξεπολιόρκησαν, καὶ Γαλλιηνὸς ἐπὶ τέτυς ἐπῄει ἤδη τὴν Θρᾴκην καταλαβόντας.

Φονεύεται ὁ Γαλλιηνὸς καὶ ὁ Κλαύδιος ἀναγορεύεται αὐτοκράτωρ. Οι σκύθαι (οἱ γότθοι) ἐπὶ τέτυ ἐπαρθέντες ταῖς προλαβέσαις ἐφόδοις, ἐρέλες καὶ πεύκας παραλαβόντες (γοτθικὰ καὶ τέτυς ἔθνη), καὶ περὶ τὸν Τύραν ποταμὸν ἀθροισθέντες, ὅς ἐς τὸν Πόντον ἐκβάλλει, ναυπηγησάμενοι πλοῖα ἑξακισχίλια, καὶ τέτοις ἐμβιβάσαντες δύο καὶ τριάκοντα μυριάδας, ἄραντες διὰ τῦ Πόντυ, Τόμει τειχήρει πόλει προσβαλόντες, ἀπεκρέσθησαν, καὶ ἐπὶ Μαρκιανέπολιν ἐλθόντες, τὰ αὐτὰ

ἔπαθον, καὶ ἐς τὸν θρᾳκικὸν βόσπορον ἀφικόμενοι, πολλὲς ἄνδρας καὶ πολλὰ πλοῖα ἐνταῦθα ἀπώλεσαν, μὴ δυνάμενα τῦ ῥῦ τὴν ταχύτητα φέρειν καὶ προσαράσσοντα ἀλλήλοις, φησὶν ὁ Ζώσιμος, ἡμῖν δὲ δοκεῖ, διὰ κλύδωνα σφοδρὸν καὶ δι ἀπειρίαν καὶ διὰ τὸ πλῆθος. Εντεῦθεν παραμείψαντες τὸν Αθω, Κασσάνδραν καὶ Θεσσαλονίκην ἐπολιόρκυν· μηχανὰς δὲ τοῖς τείχεσι προσαγαγόντες, κτὶ ἐγγὺς τῦ ἑλεῖν ἐλθόντες, ἀφικνύμενον τὸν βασιλέα πυθόμενοι, ἀπάραντες, τὴν μεσόγειον ἐληΐζοντο. Μοῖρα δέ τις αὐτῶν τὴν Θέσσαλίαν καὶ τὴν Ελλάδα περιπλεύσασα, τὰ ἐκεῖ ἐληΐζετο.

Χρόνῳ δὲ μετὰ ταῦτα Κωνςαντῖνος σπεισάμενος Λικινίῳ, καὶ διαμοιράσας μετ᾽ αὐτῦ τὴν μεγάλην ἀρχὴν, σαυρομάτας (γότθοι καὶ ὗτοι, ἢ σλάβοι ὑπὸ τὴν ἡγεμονίαν τῶν γότθων ὄντες) τὺς παρὰ Μαιῶτιν, ναυσὶ διαβάντας τὸν Ιςρον καὶ τὴν ὑπ᾽ αὐτῷ χώραν ληιζομένυς, ἤλασεν ἐπ᾽ αὐτὺς, καὶ νικήσας ἀναγκάζει ἐς τὰ

ὀπίσω χωρῆσαι, καὶ περάσαι τὸν Ἴςρον. Ἀκȣ́σας δὲ ὅτι ὁ Ῥαυσίδαμος διανοεῖται αὖθις ἐπὶ λεηλασίᾳ διαβῆναι τὸν Ἴςρον, ἐπακολȣθεῖ καὶ διαβαίνει καὶ αὐτὸς κατόπιν τὸν Ἴςρον, (κατὰ τὴν Κραϊοβικὴν πάντως), καὶ πρός τινα λόφον ὕλας ἔχοντα πυκνὰς φυγόντι ἐπιτίθεται· καὶ πολλȣ̀ς μὲν ἀνεῖλεν, ἐν οἷς καὶ Ῥαυσίδαμος αὐτὸς ἦν, πολλλȣ̀ς δὲ καὶ ἐζώγρησε, καὶ τὸ περιλειφθὲν πλῆθος χεῖρας ἀνατεῖναν ἐδέξατο, καὶ μετὰ πλήθȣς αἰχμαλώτων ἐπανήει πρὸς τὰ βασίλεια.

Οἱ γόθτοι οἱ τὴν Ῥȣμȣνίαν καὶ τὰ μέχρι Βόλγα καὶ Βαλτικῆς καὶ Βιςȣ́λα ὑποχείρια ποιήσαντες, ἐκ τῆς Σκανδιναβίας ἐξῆλθον, κιμμερίων πάντως ἀπόγονοι ὄντες. Ὠνομάζοντο δὲ οἱ ἐν τῇ Ῥȣμȣνίᾳ, δυσμογότθοι, πρὸς ἀντιδιαςολὴν τῶν πέραν τȣ̃ Τύρα γότθων, ὀνομαζομένων ἑωγότθων. Τῶν δ' ἐν Ῥȣμȣνίᾳ πάλιν ὑποδιαιρȣμένων, οἱ μὲν τὸ Ἀρδὲλ οἰκȣ̃ντες, θαϊφάλοι ὠνομάζοντο· οἱ δὲ τὴν Μολδόβαν, βικτοφάλοι· οἱ δὲ τὸν Ῥȣμȣνικὸν

ἀγρὸν, Θύριγγοι, ὄνομα σωζόμενον. ἔτι ἐν τῷ Δαϋτζλάνδ. Ἐβασιλεύοντο δὲ ἰδίᾳ οἱ ἐν Ρεμενίᾳ γότθοι· ἔπειτα βασιλέα κοινὸν ἐγνώρισαν, βίᾳ πάντως, τὸν Γκεμπερὶχ (πλεσιοδότην δαϋτζιςὶ σημαίνει τὸ ὄνομα). Ουτος τὲς βανδήλες κατοικεντας περὶ τὸν Τισσὸν ποταμὸν ἐξέωσε, καὶ τὸ φρέριον εἶλεν, ὅπερ Κωνςαντῖνος ὁ μέγας, ἐξεςρατευκὼς ἐπὶ γότθες, καὶ βαςάρνας (τὲς πεύκας τε Ζωσίμε) καὶ ῥωξολανὲς, ὑπήκοα ἔθνη τοῖς γότθοις, καὶ νενικηκὼς αὐτὲς, κατεσκεύαςο ἐν ἀριςερᾷ τε Ιςρε ἐν τῇ Κραϊοβικῇ, ἀνωτέρω τῆς γεφύρας τε Τραϊανε. Ἀλλὰ καὶ νικήσας δώροις αὐτὲς φίλες ἑαυτῷ ἐποιήσατο. Επειτα ὁ Γκεμπερὶχ τὴν ἡγεμονίαν τῶν ἑωγότθων ἠναγκάσθη γνωρίσαι, καὶ ἦν ἐν τῇ Ρεμενίᾳ ὑποβασιλεὺς τῶν ἑωγότθων.

Διαβαινόντων δὲ τῶν γότθων τὸν Ιςρον καὶ λεηλατέντων τὴν τῶν κωνςαντινεπολιτῶν γῆν, καὶ αἰχμαλώτες ἐπαγομένων ἐς τὴν Ρεμενίαν, ἦσαν πάντως ἐξ αὐτῶν καὶ χριςιανοὶ, καὶ ἡ χριςιανικὴ θρησκεία ἤδη

*καὶ ἐν Ρεμενίᾳ φυτεύεσθαι ἤρξατο· καὶ γότθοι, ὡς ἔοικε, τὲς χριςιανὲς ἀγάμενοι διὰ τὸ φιλάδελφον καὶ τὴν ἀρετὴν αὐτῶν, τὸ τῆς θρησκείας αὐτῶν ἐνηγκαλίζοντο φρόνημα, ὥσπερ ἔπειτα καὶ ἐν Βεργαρίᾳ ὁρῶμεν, τὰς πρώτας τῆς τε Χριςε πίςεως ἐννοίας, τὰς αἰχμαλώτες τοῖς βεργάροις ἐμπνευσάσας. Ανδιος, ὥς φασι, μοναχὸς ἐκ Μεσοποταμίας τὲς δυσμογότθες ἐπιςρέφειν ἐς τὸν χριςιανισμὸν βελόμενος, διέβη τὸν Ιςρον, καὶ ὀπαδὲς ηὗρεν, οἳ καὶ γυναικομοναςήριον, ὡς ἔοικεν, ἐν τῷ Αρδὲλ ἐκτίσαντο. Ο μὲν ὖν Ανδιος διεπράξατό πως τὸ σκοπέμενον· χρόνῳ δ' ὕςερον περὶ τὸ τέλος τῆς δεκάτης ἑκατονταετηρίδος, Βρῶνος ἐπίσκοπος τε Λεσμπὲργ ταῦτὰ βεληθεὶς, καὶ ἐς Αρδὲλ ἱκόμενος, παρὰ τοῖς λῃςροφρονἕσι καγγάροις, καὶ διὰ τὅτο τὴν εἰρήνην πνέεσαν θρησκείαν ἀποςρεφομένοις, θάνατον εὗρε ἀντὶ τῆς ἐλπιζομένης ἐς ἐπιςροφὴν προαιρέσεως. Ησαν καὶ τοῖς πέραν τε Ιςρε γέταις ἢ γότθοις ἐπίσκοποι, ὃς σκυθῶν ἐπισκόπες ὠνόμαζον.*

## Κωνςαντινουπολῖται.

*Μετὰ δὲ ῥωμαίες, ὅπλοις ἐκ τῶν μεσημβρινῶν διαβαίνοντας τὸν Ἴςρον, κωνςαντινεπολίτας ὁρῶμεν, δι᾽ αἰτίαν τοιαύτην. Μοῖρα σκυθῶν τὰ δεξιὰ παρίςρια ἐτάραττε, φησὶν ὁ Ζώσιμος, ὅπερ ὁ Ουάλης πυθόμενος, δύναμιν ἐκπέμψας, ἠνάγκασε τὰ ὅπλα παραδȣ̃ναι, καὶ διένειμεν αὐτὴν ταῖς παριςρίαις πόλεσιν. Ουτοι δὲ ἦσαν, ȣ̔̃ς ὁ τῶν σκυθῶν ἡγεμὼν τῷ ςρατηγῷ Προκοπίῳ συμμάχȣς ἐπεπόμφει· ὁ δὲ βασιλεὺς Ουάλης ὡς αἰχμαλώτοις ἐχρῆτο. Ἀπαιτȣ̃ντι ȣ̓̃ν τȣ́τȣς τῷ σκύθῃ, ὁ βασιλεὺς ἀποδȣ̃ναι ἀπαναίνεται· καὶ τῶν σκυθῶν ἐπὶ τȣ́τῳ ἀγανακτȣ́ντων, καί συνειλεγμένων, ἐπὶ τῷ λαβεῖν δίκην δι᾽ ἐπιδρομῆς βȣλομένων, σὺν ταχύτητι πάσῃ καὶ αὐτὸς, τὸ μὲν ςρατόπεδον τῇ ὄχθῃ τȣ̃ Ἴςρȣ παρέτεινε, αὐτὸς δὲ ἐν Μαρκιανȣπόλει (ἡ μεγίςη τῶν ἐν Θράκῃ πόλεών ἐςι) διατρίβων, ἀσκήσεως πολεμικῆς καὶ τȣ̃ τὸν ςρατὸν ἄφθονα ἔχειν τὰ ἐπιτήδεια, ἐπεμελεῖτο.*

*Πλήθει τοίνυν ὁλκάδων διὰ τȣ̃ Πόντȣ ἡ ςρατιωτικὴ σίτησις ἐς τὰς τȣ̃ Ἴςρȣ ἐκβολὰς ἐκομίζετο, κἀντεῦθεν ποταμίοις πλοίοις ταῖς ἐπικειμέναις τῷ ποταμῷ πόλεσιν ἐναπετίθετο. Ἀμ' ἦρι δὲ φανέντι, ἀπάρας ὁ βασιλεὺς ἐκ τῆς Μαρκιανȣπόλεως ἐς τὰ παρίςρια ἔρχεται, καὶ μετὰ τῶν φυλασσόντων τὸν ποταμὸν ςρατιωτῶν, διαβαίνει τȣ̃τον, καὶ ἐν τῇ πολεμίᾳ παραγίνεται. Τῶν δὲ ςῆναι πρὸς μάχην ἐκ παρατάξεως ȣ̓ θαῤῥησάντων, ἐγκεκρυμμένων δὲ τοῖς ἕλεσι καὶ ἐκ τȣ́των λαθραίως ποιȣ́ντων ἐπιδρομὰς, ὁ Ουάλης, τοῖς μὲν ςρατιώταις μένειν κατὰ χώραν ἐπέταξεν, ὅσον δὲ ἦν οἰκετικὸν, καὶ ὅσον τὴν τῆς ἀποσκευῆς φυλακὴν ἐπιτέτραπτο, τȣ́των τῷ βαρβάρȣ κεπαλὴν φέροντι, ῥητὸν χρυσίον δώσειν ὑπέσχετο. (Νὴ τὴν ἀλήθειαν, ἡ ὑπόσχεσις πάντη βάρβαρος· πολλῶν γὰρ ȣ̃τως ἀθώων κωμητῶν ῥȣμένων κεφαλαὶ ἠνέχθησαν τῷ Οὐάλεντι. Ειδομεν καὶ παρόμοια ἐν τοῖς ἡμετέροις φιλοσοφικοῖς χρόνοις). Ευθὺς ȣ̃ν ἅπαντες ἐς τὰς ὕλας καὶ τὰ ἕλη ἐσδυόμενοι, καὶ τȣ̀ς*

προσπίπτοντας κατασφάττοντες, καὶ τὰς κεφαλὰς τῷ Ουάλεντι προσκομίζοντες, τὸ χρυσίον ἐλάμβανον. Απολλυμένων δὲ πολλῶν ὅτως, οἱ λοιποὶ τȣ̃ βασιλέως περὶ εἰρήνης ἐδέοντο. Τȣ̃ δὲ μὴ παραιτȣμένȣ τὴν δέησιν, εἰρήνη γίνεται, καθ' ἣν οἱ σκύθαι μηδέποτε ὁμολογεῖν ἠναγκάσθησαν, μηδὲ τοῖς ὁρίοις τῆς τῶν κωνςαντινȣπολιτῶν γῆς ἐπιβήσεσθαι, ἅπερ ἔμενον ὡς καὶ πρότερον.

Οι σποράδην ἐν Ρȣμȣνίᾳ καὶ ἀνεπίσκοποι χριςιανοὶ τȣ̀ς ἐν κωνςαντινȣπόλει ὁμοπίςȣς ȣ̓κ ἐλάνθανον, καὶ ψηφίζεται παρ' αὐτῶν Γοτθίας ἐπίσκοπος. Ουτος ἦν ὁ περίφημος Ουλφίλας, ἐξ αἰχμαλώτων γότθων χριςιανῶν τὴν Ασίαν κατοικȣ́ντων, ὅς περὶ τὸ μέσον τῆς τετάρτης ἑκατονταετηρίδος (355) ἐπίσκοπος γότθων ἐν Κωνςαντινȣπόλει χειροτονεῖται, καί ἐς τὰ ἐντὸς τȣ̃ Ιςρȣ ἔρχεται, τȣ̀ς γότθȣς ἐς τὸ τȣ̃ Χριςȣ̃ δόγμα ἐπιςρέφων. Εν μὲν ȣ̓̃ν τῇ τῶν θυρίγγων χώρᾳ, ἐν τῷ Ρȣμȣνικῷ ἀγρῷ, ὅπȣ βασιλεὺς (ὑποβασιλεὺς) τῶν γότθων Φριτιγέρνης ἦν, κατὰ σκοπὸν ἀπέβαινε τῷ

Ουλφίλα τὸ ἐγχείρημα· ἐν δὲ τῇ τῶν βικτοφάλων, ὅπε βασιλεὺς ἦν τῶν γότθων Ἀθαναρὶχ, ὃς καὶ ἀρχιβασιλεὺς ἦν τῶν δυσμογότθων, εἰσαγομένη ἡ χριςιανικὴ θρησκεία, μυρία εὕρισκε τὰ ἐμπόδια. Τέλος Ἀθαναρὶχ, ᾧ καὶ Φριτιγέρνης ὑποκείμενος ἦν, ἀνακηρύττεται τῇ νέᾳ πίςει πολέμιος· ἀνθρώπῳ γὰρ ἀρεοφρονῦντι ὅλως, θρησκεία εἰρήνην καὶ φιλανθρωπίαν πνέεσα, ἀπήρεσκε· καὶ δέος ἦν αὐτῷ, μὴ οἱ γότθοι χριςιανοὶ γενόμενοι, κακοὶ ςρατιῶται γένοιντο. Λυσσᾷ τοίνυν κατὰ τῆς θρησκείας, καὶ τὸ τῆς Ρεμενίας ἔδαφος, μάλιςα δὲ τῆς Μολδόβης, μαρτύρων βρέχεται αἵμασι. Τηνικαῦτα τὸ διὰ Χριςὸν ὑπομένει μαρτύριον καὶ ὁ μεγαλομάρτυς Νικήτας, ἐξ ἐπισήμων γότθων ἢ ῥεμένων καταγόμενος, ὅ τὴν μνήμην ἑορτάζει ἡ ἐκκλησία κατὰ τὴν δεκάτην πέμπτην τῦ σεπτεμβρίε μηνός. Οἴει, φίλε, καὶ ἐκκλησίαν εὑρήσειν ἐν Ρεμενίᾳ κτισθεῖσαν ἐπ' ὀνόματι Νικήτα τῦ μεγαλομάρτυρος, ἐν Μολδόβῃ μάλιςα, ὅπε, ὡς δοκεῖ, ὁ ἅγιος Νικήτας τὸ διὰ

χριςὸν ὑπέςη μαρτύριον; Μάτην ζητήσεις· ὐδαμῦ εὑρήσεις. Πάντως ὁ μεγαλομάρτυς Νικήτας πρὸ τῆς ὑποςροφῆς τῦ Ουλφίλα ἐκ τῆς Κωνςαντινυπόλεως, ἢ καὶ τῆς πρεσβείας, ἐμαρτύρησεν.

Ιδὲ περὶ τύτων τί φησιν ὁ Σωζόμενος, πλῆθος τῶν ὑπὸ Φριτιγέρνην διὰ Χριςὸν μαρτυρῦντες ἀνηρέθησαν (ἢ πρὶν ἢ καὶ Φριτιγέρνην χριςιανὸν γενέσθαι, ἢ καὶ γενομένυ μὲν, Αθαναρὶχ δὲ τῦ ἀρχιβασιλέως τῶν δυσμογότθων κελεύοντος)· ὁ γὰρ Αθαναρὶχ ἀγανακτῶν, ὡς τῆς πατρῴας θρησκείας καινοτομυμένης, πολλὺς πολλαῖς τιμωρίαις ὑπέβαλε· τὺς δὲ, μηδὲ λόγυ μεταδιδὺς, ἀνεῖλε. Λέγεται δὲ ὡς καὶ ξόανον ἐφ᾽ ἁρμαμάξης ἑςὼς, καὶ καθ᾽ ἑκάςην σκηνὴν τῶν χριςιανίζειν καταγγελλομένων περιαγόμενον, ἐκέλευον τῦτο προσκυνεῖν καὶ θύειν οἱ περιάγοντες· τῶν δὲ παραιτυμένων, σὺν αὐτοῖς ἀνθρώποις τὰς σκηνὰς ἐνεπίμπρων. Ταῦτα ποτὲ ἐν τῷ Ρυμυνικῷ ἀγρῷ καὶ ἐν Μολδόβῃ ἐγένετο.

*Ο Ουλφίλας, φησὶν ὁ αὐτὸς Σωζόμενος, τὰ μὲν πρῶτα ὐδὲν διεφέρετο πρὸς τὴν καθόλȣ ἐκκλησίαν· ὡς δὲ ἐς Κωνςαντινȣ́πολιν ἀφίκετο, λέγεται, διαλεχθέντων αὐτῷ περὶ τȣ̃ δόγματος τῶν προεςώτων τῆς ἀρειανῆς αἱρέσεως, καὶ τὴν πρεσβείαν αὐτῷ συμπράξειν πρὸς βασιλέα ὑπισχνȣμένων, εἰ ὁμοίως αὐτοῖς δοξάζοι, βιασθεὶς ὑπὸ τῆς χρείας, ἢ καὶ ἀληθῶς νομίσας ἄμεινον ȣ̃τω περὶ θεȣ̃ φρονεῖν, τοῖς Αρείȣ κοινωνῆσαι καὶ αὐτὸς, καὶ πᾶν τὸ φῦλον ἀποτεμεῖν τῆς καθόλȣ ἐκκλησίας.*

*Η δὲ πρεσβεία αὕτη, ἧς Ουλφίλας ἐξῆρξεν, ἐπὶ Ουάλεντος ἐγένετο, τȣ̃ Φριτιγέρνȣ συμμαχῆσαί οἱ αὐτὸν κατὰ Αθαναρὶχ ζητȣ̃ντος. Ο μὲν Σωζόμενος πέραν τȣ̃ Ιςρȣ ἐν τῇ νῦν Βȣργαρίᾳ τὴν ςάσιν τοῖς γότθοις συμβῆναι λέγει. Σωκράτης δὲ ἐν ἀριςερᾷ, ὃ καὶ πιθανότερον· καὶ ἑπομένως πρὸ τῆς ἐσβολῆς τῶν ȣ̃ννων. Η Φριτιγέρνȣ, φησὶν ὁ Σωκράτης, καὶ Αθαναρὶχ ςάσις ἐν ἀριςερᾷ τȣ̃ Ιςρȣ συνέβη· καὶ ὁ Φριτιγέρνης βοηθȣ́μενος ὑπὸ τȣ̃ Ουάλεντος*

ἐνίκησε τὸν Ἀθαναρὶχ, καὶ τὴν θρησκείαν τȣ̃ εὐεργέτȣ ἀσπάζεται, καὶ τȣ̀ς ὑπ᾽ αὐτὸν τὸ αὐτὸ ποιεῖν προτρέπεται· κἀντεῦθεν τὰ πλεῖϛα φῦλα τῶν γότθων τὸ τȣ̃ Ἀρείȣ δόγμα ἐδέξαντο.

Οτι δὲ ὁ Ουλφίλας ȣ̓ μόνον θυρίγγȣς, ἀλλὰ καὶ βικτοφάλȣς (ȣ̓ μόνον τȣ̀ς κατοίκȣς τῆς Τζάρας ῥȣμανέσκας, ἀλλὰ καὶ τῆς Μολδόβης) ἐπιϛρέψαι πειρᾶται, ὁ αὐτὸς Σωκράτης φησί. Επειδὴ Ουλφίλας ȣ̓ μόνον τȣ̀ς ὑπὸ Φριτιγέρνην, ἀλλὰ καὶ τȣ̀ς ὑπὸ Ἀθανάριχ γότθȣς τὸν χριϛιανισμὸν ἐξεδίδασκεν, ὁ Ἀθαναρὶχ, ὡς παραχαραττομένης τῆς πατρῴας θρησκείας, πολλȣ̀ς τῶν χριϛιανιζόντων τιμωρίαις ὑπέβαλλεν, ὥϛε γενέσθαι μάρτυρας τηνικαῦτα βαρβάρȣς ἀρειανίζοντας. Ἀλλ᾽ Ἄρειος μὲν.... οἱ δὲ βάρβαροι, ἁπλότητι τὸν χριϛιανισμὸν δεξάμενοι, ὑπὲρ τῆς ἐς Χριϛὸν πίϛεως, τῆς ἐνταῦθα ζωῆς κατεφρόνησαν.

Επιϛρέφων ἀρειόφρων ὁ Ουλφίλας ἐς τȣ̀ς θυρίγγȣς, ȣ̔̃ς πρότερον ἐς τὸ καθολικὸν ἠγηόχει δόγμα, μετασαλεῦσαι αὐτȣ̀ς ἐκ

τέτε ἐκ εὐχερὲς, ἐμὴν ἐδ' ἀκίνδυνον ᾤετο· ὅθεν καὶ κτίσμα μὲν τὸν Χριςὸν ἀποφῆναι ἀπέσχετο, ἢ ἐκ ἐτόλμησε· δευτέραν δέ τινα θεότητα ἄκτιςον, παρὰ θεῦ πεμφθεῖσαν τῷ κόσμῳ, εἰσήγαγε, καὶ ὅτως ἑκάτερα τὰ μέρη καὶ Αρειανὲς καὶ γότθες ἐπολιτεύσατο. Ει δὲ ὁ Ουλφίλας φρονῶν τὰ τῆς καθόλε ἐκκλησίας ἀπέθανεν, ὡς ἄλλοι λέγεσι καὶ θέλεσιν, ἴσως ἔπειτα μετὰ τῶν γότθων περαιωθεὶς τὸν Ιςρον, καὶ ἐν τῇ τῶν κωνςαντινεπολιτῶν γῇ καταςαθεὶς, καὶ τῦ Ουάλεντος ἤδη μὴ ὑπάρχοντος, ἀποῤῥίψας, ὃ πολιτευόμενος ἐδέδεκτο φρόνημα, ἐς τὴν καθολικὴν καὶ ὀρθόδοξον ἐκκλησίαν ἐπέςρεψεν. Αλλὰ τὸ τῦ Αρείε δόγμα ἐκεῖθεν ἐξελθὸν, πᾶσι σχεδὸν τοῖς γερμανικοῖς διεδόθη ἔθνεσι.

Πρῶτος ὁ Ουλφίλας τὸ εὐαγγέλιον ἐς τὴν γοτθικὴν μετέφρασε γλῶσσαν, ἥπερ ἡ παλαιὰ τῶν νῦν δαΰτζων τυγχάνει, καὶ πλησιάζει μᾶλλον τῇ τῶν σβένσκων νῦν διαλέκτῳ ἢ ἑτέρᾳ τινὶ τῶν δαΰτζικῶν διαλέκτων. Τεκμήριον καὶ τῦτο ἐναργὲς τῦ

τὰς γότθας ἐκεῖθεν, ἐκ τῆς Σκανδιναβίας ἐκραγῆναι ἐς τὰ ἡμέτερα. Μετέφρασεν ἔτι καὶ μέρος τῆς παλαιᾶς διαθήκης· ἀλλὰ δεδιὼς μὴ τὸ ἀρεόφρον καὶ φιλόμαχον τὰ ποιμνία ἔτι μᾶλλον ἐξάπτοιτο, τῆς τῶν βασιλικῶν ἀπέσχετο μεταφράσεως. Γράμμασι δὲ, ἐξαιρεμένων δύο ἢ τριῶν ἐς ἀπόδοσιν ἀλλοτρίων παντάπασι φωνῶν, ἑλληνικοῖς ἐχρήσατο, ἅπερ πολλῷ ὕςερον οἱ ἐν Ισπανίᾳ δυσμογότθοι, τὸ τῶν λατίνων δόγμα δεξάμενοι, καταλιπόντες, τὰ λατινικὰ ἀντισήγαγον. Σώζεται ἔτι καὶ νῦν τὸ τᾶ Ουλφίλα εὐαγγέλιον, καὶ συνιᾶσι τᾶτο οἱ σοφοὶ Δάϋτζοι.

Ου μόνον δὲ τὴν χριςιανικὴν θρησκείαν, ἀλλὰ καὶ γράμματα εἰσαγαγεῖν τοῖς γότθοις ὁ Ουλφίλας βαλόμενος, πολλῇ ἀπήντα τῇ δυσχερείᾳ. Απεςρέφοντο οἱ γότθοι καὶ τὰ γράμματα, ὡς ἐκθηλύνοντα τὰς ἀνθρώπας καὶ ἀνεπιτηδείας ἀποκαθιςῶντα ἐς πόλεμον. Οις, κατὰ τὸν Προκόπιον, τὸ ἀπὸ σκύτας ἐπιγένοιτο δέος, ὅτοι ἀμήποτε ξίφας ἢ δορατία ὑπερφρονεῖν

*ἀξιώσειαν, ἔλεγον οἱ γότθοι Ἀμαλασένθα τῇ θηγατρὶ τȣ̃ Θεοδορὶχ βασιλέως, γράμμασι καὶ ἤθεσι ῥωμαϊκοῖς παιδευθῆναι τὸν υἱὸν αὐτῆς καὶ διάδοχον βȣλομένη. Στρατηγὸς δέ τις γότθος, ὅτε οἱ γότθοι ἦγον καὶ ἔφερον τὰς νήσȣς, καὶ τὴν ἤπειρον τῆς ταλαίνης Ἑλλάδος, καὶ λεηλατήσαντες τὰς Ἀθήνας, καὶ τὰ βιβλία ἐς σωρὸν ἐν ἀγορᾷ συναθροίσαντες, ἔργον καὶ παρανάλωμα Ἡφαίςȣ ποιῆσαι ἐβȣ́λοντο, ἀγαθῇ τύχῃ παραπλήσιόντι φρονῶν, ἔσωσε τὰ βιβλία. Συςρατιῶται εἶπε, ἐάσατε τοῖς ἕλλησι τὰ βιβλία· ταῦτα γὰρ αὐτοὶ ἔχοντες, ἀμελȣ̃σιν ὅπλων· εἰ δ' ἐμπρήσετε ταῦτα, ἀνάγκη αὐτοῖς ςερηθεῖσι τȣ́των, καὶ μηδὲν ἀσχόλημα ἔχȣσι, ἐπὶ τὰ ὅπλα τραπέσθαι, καὶ μεταμεληθήσεσθε πάντως πρᾶγμ' ἀσύμφορον καὶ ἐπιβλαβὲς τοῖς γότθοις ποιήσαντες. Γνήσιος ȣ̃τος προπάτωρ τῶν νῦν δαΰτζων τῷ ὄντι ἐτύγχανεν. Εἴθε καὶ ὁ Ἀμρȣ̃ ὁ πανȣ̃ργος ποιητὴς καὶ ςρατηγὸς Ἄραψ τοιȣ́τῳ τινὶ ἐχρήσατο σοφίσματι· ἐσώθησαν γὰρ ἂν ἡμῖν εἴπερ, πολλαὶ μυ-*

ριάδες βιβλίων, ἅπερ ὑπὸ τῶν θρησκομανῶν κατεμπρήσθη ἀράβων, τῶν μηδὲν ἄλλο ἀνεχομένων βιβλίον ἢ τὸ κοράνιον· ὅτω καὶ αὐτὸς ὁ Αμρȣ ὁ χωλαίνειν τῷ δόγματι ὑποπτευόμενος, ἀσεβὴς καὶ ἄθεος ἀκȣσαι ὑπὸ τῶν θερμῶν καὶ ὑπερθέρμων μȣσολμάνων, ἀπέφευγε.

---

## Κεφάλαιον γ΄.

### ΤΥΡΚΟΙ.

### Ουννοι.

Τὸ μὲν ἓν κράτος τῶν γότθων, διὰ τὰς ληςρεπιδρομὰς καὶ ἐπιθέσεις, μέγα ἦν καὶ φοβερὸν τοῖς κωνςαντινȣπολίταις· ἀλλὰ γὰρ αὐτίκα ἕτερον ἔθνος μεῖζον καὶ φοβερώτερον, καὶ πολὺ ἀγριώτερον τῶν γότθον, καὶ γότθοις αὐτοῖς καὶ τοῖς κωνςαντινȣπολίταις ἐπέπεσε, καὶ ἐντὸς ὀλίγȣ, τὴν μεγάλην ἀρχὴν τῶν Γότθων ἄρδην ἀνέτρε-

ψε, καὶ ἐν τοῖς ἐῴοις τȣ̃ Ἴςρȣ ἐξηφάνισεν. Οἱ ȣ̃ννοι, ἢ χȣ̃νοι, κατὰ τὸν Πτολεμαῖον, χειμάῤῥȣ δίκην λαύρως καὶ ἀνυποςάτως ἐκ τῶν ἐῴων καταῤῥηγνύμενοι, καὶ πᾶν τὸ ὑπαντώμενον ἐπισύροντες, καὶ ἀλανȣ̀ς ἡττηθέντας συςρατεύειν, μᾶλλον δὲ συλληςεύειν ἀναγκάσαντες, ἐπέπεσον πρῶτον τοῖς ἐωγότθοις, ταῖς ἐπιδρομαῖς καὶ λεηλασίαις ἱκανῶς, ὡς πρὸς τȣ̀ς ȣ̃ννȣς, ἐξασθενήσασιν. Ερμαναρὶχ βασιλεὺς τῶν ἐωγότθων ἀνθίςασθαι ἀπειρηκὼς, καὶ τὰ τȣ̃ ἔθνȣς ἀναλαβεῖν καὶ ἀναςῆσαι ποτὲ ἀπογνȣ̀ς, ἐς ἀπόνοιαν ἦλθε, καὶ ἑαυτὸν διεχρήσατο· καὶ τὰ δυςυχῆ τȣ̃ οἴκȣ καὶ τῆς ἀρχῆς αὐτȣ̃ λείψανα, ἐς δυσμὰς τῆς Πόλσκης (Λεχίας) διεσώθησαν. Ἀθαναρὶχ δὲ τὸν ἐπικείμενόν οἱ μέγαν κίνδυνον ὁρῶν, ἀποτρέψαι τȣ̃τον καὶ ἀπώσασθαι τὴν λυσσορμὴν τῶν ȣ̃ννων, ἐπειρᾶτο ἐς δύναμιν· ἀλλ' ȣ̃τε τὸ παρατύριον, ȣ̃τε μὴν τὸ τυροπρȣ́τιον χῶμα, τὰ ἐπὶ τῷ δυσείσβολον εἶναι τὴν χώραν χωθέντα, ὠφέλησαν· οἱ γὰρ ȣ̃ννοι, δίκην χειμάῤῥȣ κωλυομένȣ καὶ

ἐπαιρομένου καὶ ἀναςρέφοντος, ἐκ τῶν ὑπερκειμένων τοῦ Χοτὶν τοῦ ποταμοῦ μερῶν, ὑπερεκχυθέντες ἐξεπλημμύρησαν, καὶ πᾶσαν τὴν ἑῴαν Ρουμουνίαν κατέκλυσαν. Τηνικᾶτα Ἀθαναρὶχ ἐς Ἀρδὲλ διασῴζεται, καὶ οἱ δυσμογότθοι ὅπλοις ἀντιςῆναι ἀπελπισθέντες, φυγῇ τὴν σωτηρίαν ἀνεζήτουν, καὶ τὸν Ἴςρον ἐπιτρεψάντων σφίσι τῶν κωνςαντινουπολιτῶν, ἀγεληδὸν ἐπεραιοῦντο. Οι γότθοι, φησί τις τῶν πάλαι ἱςορικῶν, τοσοῦτοι ἦσαν τὸν Ἴςρον διαβαίνοντες, καὶ ἐς τὴν τῶν κωνςαντινουπολιτῶν γῆν ἀποβαίνοντες, ὅσοι καὶ οἱ ἀναφυσώμενοι σπινθῆρες τῆς Αἴτνης ἐκραγείσης αἰφνηδίως μεγάλην ἔκρηξιν. Περαιωθέντες δὲ ἐς τὰ πέραν τοῦ Ἴςρου, τοὺς οὔννους φεύγοντες, κἀντοῖς φυξίμοις τόποις κατασκηνώσαντες, αὐτίκα τοῖς κωνςαντινουπολίταις τυραννικώτερον ἢ δολιώτερον προσενεχθεῖσιν, ἐξεπολεμώθησαν. Ἀκούσωμεν καὶ ἃ περὶ τούτων τῶν οὔνων λέγει ὁ Ζώσιμος.

Φῦλόν τι βάρβαρον τοῖς ὑπὲρ τὸν Ἴςρον σκυθικοῖς ἐπανέςη, πρότερον μὲν οὐκ ἐγνω-

σμένον, τότε δὲ ἐξαίφνης ἀναφανέν. Οὔννες δὲ τέτες ἐκάλεν, εἴτε βασιλείες αὐτὲς ὀνομάζειν προσήκει σκύθας, εἴτε ἃς Ηρόδοτός φησι παροικεῖν τὸν Ιςρον σιμὲς ἀσθενέας ἀνθρώπες, εἴτε ἐκ τῆς Ασίας ἐς τὴν Ευρώπην διέβησαν· καὶ τῦτο γὰρ εὗρον ἱςορημένον, ὡς ἐκ τῆς τῦ Ταναΐδος καταφερομένης ἰλύος, ὁ κιμμέριος ἀπογαιωθεὶς βόσπορος, ἐνέδωκεν αὐτοῖς ἐκ τῆς Ασίας πεζῇ ἐπὶ τὴν Ευρώπην διαβῆναι. Αλλὰ καὶ ὁ Ζώσιμος ἐνταῦθα, ἀκέσας μὲν ἐξ Ασίας τὲς ὔννες ἐς τὴν Ευρώπην διαβῆναι, μὴ εἰδὼς δὲ τίνι τρόπῳ ὡς μόνε πόρε ἐξ Ασίας ἐς Ευρώπην τῦ τῶν Καυκασίων ἰσθμῦ τυγχάνοντος, τῦ Ωκεανῦ τάχα μέχρι Περσίας ἐξ ἄρκτε καθήκοντος, ὡς ὁ γεωγράφος φησὶν, ἐνέδωκεν ἐξ ἀμαθείας λογοποιοῖς ἀνθρώποις, πάντῃ ἀπίθανα καὶ φυσικῶς ἀδύνατα δἰ ἀμάθειαν πλάττεσι, διάβασιν ἐπινοῦσιν ὔτω τοῖς ὔννοις, ὅτι, λέγω, ὁ κιμμερικὸς ἀπεγαιώθη Βόσπορος. Θελήσας δὲ καὶ περὶ τῶν ὔννων εἰπεῖν τι, δείκνυσιν ἑαυτῦ τῆς σκυθικῆς

ιϛορίας μεγάλην ἀμάθειαν. Ορᾷς ἀναγνῶϛα ὅσων ἀτόπων ἐξηγήσεων ἡ ἰσχυρογνωμοσύνη καὶ τὸ μέγα ἀξίωμα τȣ̃ Στράβωνος ἐγένετο αἴτιον! μᾶλλον δὲ, ὅσον εὐκαταφρόνητοι, ὅσοι ἐκ τῶν βιβλίων μόνον, ἀλλ' ȣ̓ καὶ ἐκ τῶν πραγμάτων μανθάνειν τὰ πράγματα βȣ́λονται; ἴσως καὶ ὅλων φαλάγγων ῥωμαϊκῶν ἐδέησεν ἐς ἀπόδειξιν, ὅτι τὸ σχίσμα τȣ̃ Ιϛρȣ τὸ ἐς τὸν μυχὸν τȣ̃ ἀδριατικȣ̃ ἐκχυνόμενον, ᾧ περ ὁ Αριϛοτέλης ἐς ἰχθυακῶν φαινομένων ἐξήγησιν ἐχρήσατο, ȣ̓δέποτε ὑπάρξειεν. Ως ἰσχυρόν ἐϛι πρόληψις, ὡς δὲ δυσχερὲς τὸ ταύτης ἀπαλλαγῆναι.

Διαβάντες δὲ οἱ ȣ̃νοι σὺν τοῖς ἵπποις καὶ γυναιξὶ καὶ τέκνοις καὶ οἷς ἐπεφέροντο, τοῖς ἐν ἀριϛερᾷ τȣ̃ Ιϛρȣ ἐπῄεσαν σκύθαις, οἵπερ τὸν ȣ̔ννικὸν ὑπενεγκεῖν ȣ̓κ ἐδύναντο πόλεμον· εἰ γὰρ καὶ ἐκ παρατάξεως ȣ̃τοι οἱ ἐφ' ἵππων (1) καὶ διαιτώμενοι καὶ κα-

(1) Και Αττίλας ἔπειτα παρὰ τῷ Ονεγίϛῳ τῷ λειτȣργῷ ἑϛιαθεὶς, μένων ἐφ' ἵππȣ, τῶν οἰκετῶν ὑπὲρ κεφα-

θεύδοντες, μάχεσθαι ὀκ ἠδύναντο, ἀλλὰ ταῖς περιελάσεσι καὶ ταῖς ἐκδρομαῖς καὶ ταῖς εὐκαίροις ἀναχωρήσεσιν, ἐκ τῶν ἵππων κατατοξεύοντες, ἄπειρον τῶν σκυθῶν εἰργάζοντο φόνον. Τȣ̃το συνεχῶς ποιȣ̃ντες, ἐς τȣ̃το τὸ σκυθικὸν περιέςησαν τύχης, ὥςε αὐτȣ̀ς ὑποχωρῆσαι τȣ́τοις πᾶντα, καὶ αὐτȣ̀ς φεύγοντας περαιωθῆναι τὸν Ιςρον, χεῖρας ἀνατείνοντας καὶ ἱκετεύοντας δεχθῆναι παρὰ βασιλέως, ὑπισχνȣμένȣς πληρώσειν ἔργον αὐτῷ συμμάχων πιςῶν καὶ βεβαίων. Ο δὲ Ουάλης δέχεσθαι τȣ́τȣς ἐπέτρεψε, πρότερον ἀποθεμένȣς τὰ ὅπλα. Αλλὰ τῶν ταξιαρχῶν, καὶ ὅσοι τῶν ςρατιωτῶν ἀρχηγοὶ ἦσαν, διαβάντων τὸν ποταμὸν, ἐφ᾽ ᾧ, ὅπλων δίχα, τȣ̀ς βαρβάρȣς ἐπὶ τὰ ῥωμαίων ὅρια παραπέμψαι, καὶ μηδὲν ἕτερον ποιησάντων, ἀλλ᾽ ἢ ἐπιλογὴν γυναικῶν εὐπροσώπων, καὶ παίδων ὡραίων ἐς αἰσχρότητα, θήραν, (ὁρᾷς ἀναγνῶςα;), καὶ οἰκετῶν ἢ γεωργῶν κτῆσιν, οἷς

λῶν βαςαζόντων τὴν τράπεζαν, εἱςιᾶτο ἔφιππος, ὁ ἐν Ευρώπῃ μεῖζον πάντων δυνάμενος.

μόνοις προσέσχον, παντὸς ἑτέρȢ κοινωφελȢ̃ς ὑπερορῶντες, ἔλαθον οἱ βάρβαροι οἱ πλείȢς μετὰ τῶν ὅπλων περαιωθέντες, καὶ ἅμα τῆς γῆς ἐπιβάντες, Ȣ̓́τε ἱκεσιῶν, Ȣ̓́τε ὅρκων ἐμνήσθησαν· ἀλλ' ἡ Θράκη τε ἅπασα καὶ ἡ Παιονία (1) καὶ ἡ Μακεδονία καὶ ἡ Θεσσαλία ἐπληρȢ̃ντο βαρβάρων, τὰ προσπεσόντα ληϊζομένων. Ἰδȣ̀ τί φησι καὶ Ευνάπιος περὶ τῶν διαβάντων γότθων τὸν Ἴςρον.

Οι σκύθαι Ȣ̓̃τοι τὴν γῆν, ἐς ἣν κατέφυγον, κακῶν ἀνεκδιηγήτων ἐνέπλησαν· παῖδες γὰρ αὐτῶν καὶ τὸ οἰκετικὸν πρός τε τὴν εὐκρασίαν τῶν ἀέρων ἀνέδραμον, καὶ παρὰ τὴν ἡλικίαν ἥβησαν, καὶ πολὺ τὸ ἐπιφυόμενον ἦν πολέμιον γένος. Οι μὲν Ȣ̓̃ν παλαιοὶ μῦθοι λέγȢσι περὶ τὴν Βοιωτίαν καὶ Κολχίδα, δρακόντων ὀδόντων κατασπαρέντων, ὅπλοις ἅμα τῷ σπόρῳ τȢ̀ς ἄνδρας ἀναπάλλεσθαι· ὁ δὲ καθ' ἡμᾶς χρόνος καὶ τὸν μῦθον τȢ̃τον ἐς φῶς ἅμα

(1) Τῳ Θράκη ἐννοεῖται καὶ ἡ βȢλγαρία. Τῷ Παιονία καὶ ἡ Σερβία.

καὶ ἔργον συνήγαγε, καὶ ὀφθῆναι κατηνάγκασεν· ὃ γὰρ ἔφθασαν ἐς τὴν τῶν ῥωμαίων ἐπικράτειαν οἱ παῖδες, ὥσπερ ὀδόντες διασπαρέντες, καὶ πάντα ἦν μεςὰ θυμȣ̃ καὶ μανίας καὶ φόνων, ἀνελθόντων ἐς ἡλικίαν μάχιμον παρὰ τὸν χρόνον. Ταῦτα φησὶν ὁ Ευνάπιος, τὸ δ' ἀληθὲς ȣ̔́τως ἔχει. Κακῶς περὶ αὐτȣ̀ς προσενεχθέντες καὶ πολιτευθέντες οἱ διεφθαρμένοι κωνςαντινȣπολῖται, προνοίας καὶ φρονήσεως, καθόλȣ, περὶ τὰ πολιτικὰ καὶ τὴν λοιπὴν οἰκονομίαν τȣ̃ βίȣ ἐςερημένοι, ἀντὶ ξένων εὐγνωμόνων, ἐχθροῖς πολέμια φρονȣ̃σιν ἐνέτυχον, καὶ ἄρξαντες ἀδικίας, ἀνθρώπȣς, ἁπλȣ̃ς μὲν καὶ ἀγροίκȣς, ἀρεομανεῖς δὲ ἐκτόπως καὶ ἐλευθέρȣς, πλεῖςα καθ' ἑαυτῶν ἐξηγρίαναν.

Τί δὲ οἱ ἡμέτεροι ῥȣμȣ̃νοι τηνικαῦτα ἐποίησαν; Διέβησαν καὶ ȣ̃τοι τὸν Ιςρον καὶ ἐς τὴν κωνςαντινȣπολιτῶν γῆν διεσώθησαν; Ισως τινὲς, πολλοςημόριόν τι πάντως συμπάντων, οἱ πολλοὶ δὲ καὶ σχεδὸν πάντες, ἔμενον ἐν τῇ χώρᾳ, τὸν κλύδωνα

ἴσως πρὸς ὥραν, ἐς φυξίμȣς τόπȣς, ἐς ὕλας καὶ ὄρη καὶ ὑπερποτάμια μέρη ἀναχωρȣ̃ντες, διεκφεύγοντες· ἡ λύσσα γὰρ τῶν ἐσβαλόντων ἐχθρῶν, κατὰ τῶν κρατȣ́ντων ἐξεκενȣ̃το καὶ ἐξεχύνετο, ἀλλ' ȣ̓ κατὰ τῶν κρατȣμένων, ὧν οἱ νέοι κρατȣ̃ντες, ἐπιδεεῖς ἐτύγχανον. Ησαν ȣ̓̃ν οἱ ῥȣμȣ̃νοι θεαταὶ τῶν γινομένων, καί τι καὶ ȣ̓κ ἀνεπηρέαςοι, ἀγομένης καὶ φερομένης τῆς χώρας ὑπὸ τῶν ἀρεοφρύνων ἐπηλύδων, ἀλλὰ διεκρίνοντο πάντως καὶ τοῖς πρώην κρατȣ̃σι ὑπὸ τῶν νέων κρατȣ́ντων ȣ̓ συνεμίσγοντο, σχολῇ γε καὶ ὡς πολέμιοι ὑπ' αὐτῶν ἐγνωρίζοντο. Ως ὑπήκοοι ȣ̓̃ν ὑπ' αὐτῶν θεωρȣ́μενοι καὶ δημητρόφρονες καὶ πανόφρονες μόνον ὄντες, ἠπιώτερον ἐπραγματεύοντο. Ουδὲ τȣ̀ς ȣ̓́ννȣς πάντη ἀγρίȣς καὶ πάσης παντάπασι πολιτικῆς ἐςερῆσθαι οἰητέον, σχολῇ γε καὶ ἐς τȣ̀ς ὁμοίȣς σφίσι φιλίας. Ει δὲ παρὰ τοῖς ἱςορικοῖς ῥητῶς ȣ̓δεὶς λόγος ῥȣμȣ́μων, ȣ̓ θαυμαςὸν ȣ̓δὲ ξένον· καὶ γὰρ καὶ πρότερον καὶ μετέπειτα, ἀκμὴν καὶ μέχρι τῶνδε τῶν φιλοσοφικῶν

λεγομένων χρόνων, ὁρῶμεν τὰς ὁπλοφόρους μᾶλλον ἢ τὰς ἀροτροφόρους καὶ καλαυροποφόρους ὑπὸ τῶν ἱστορικῶν λόγου ἀξιουμένους. Κουμάνων, οὔζων, καγγάρων, μοαγγνόρων, χαζάρων, ἀβάρων, οὔννων, γότθων, δακῶν, γετῶν, σκυθῶν καὶ τῶν λοιπῶν βαρβάρων, τῶν φονομανούντων ἁπανταχοῦ, καὶ οὐδὲ σπιθαμὴν, οὕτως εἰπεῖν, τοῦ δαπέδου ἀμίαντον ἀνθρωπίνοις αἵμασιν ἐασάντων, πολὺς παρὰ τοῖς πολλοῖς λόγος, ῥουμένων δὲ καὶ τῶν πρὸ αὐτῶν, ἐπιχωρίων, τῶν εἰρηνικῶν κωμητῶν, τῶν τῷ ὄντι λόγου ἀξίων, τῶν ἡμετέρων τροφέων, οὐδεὶς λόγος, ὅτι μὴ πάρεργον· ἦσαν γὰρ καὶ ἐπὶ δακῶν καὶ γετῶν καὶ σκυθῶν τῶν ἐπηλύδων, καὶ ἐγχώριοι ἐγγενέες κάτοικοι, καὶ οὐδὲ, ἀναχωρούντων τῶν ἐπηλύδων, ἔρημα ἀνθρώπων μένειν ἡγητέον τὰ μέρη, ὥσπερ καὶ μετὰ ταῦτα ἐπὶ γότθων, ἐπὶ οὔνων, ἐπὶ ἀβάρων, ἐπὶ βουργάρων, ἐπὶ καγγάρων καὶ τ: ἐγγενέες κάτοικοι οἱ ῥουμοῦνοι ἐτύγχανον. Ἀλλὰ Τίνες οὗτοι οἱ αὐτόχθονες κάκάτοικοι; Ἡμῖν δοκεῖ σλαβικὰ ἔθνη τούτους

εἶναι, καὶ τέτων ἴσως αἱ ἐν τοῖς συγγράμμασι τῦ Πτολεμαίυ μόνον σωζόμεναι πόλεις τῆς Ρυμυνίας, ὑπῆρχον κτίσματα· καὶ οἱ μοαγγυόροι Παιονίαν καταςρεψάμενοι, ὐκ ἔρημον κατῴκησαν τὴν χώραν, ἀλλὰ συγκάτοικοι σλάβοις, κατοίκοις πλείοσι σφων ὖσιν, ἐγένοντο, ὥσπερ καὶ νῦν ἔτι. ἀλλὰ τὸ μοαγγυόρος πολὺ ἐν ἱςορίᾳ, καὶ τὸ σλάβος μόλις ἀκύεται, καὶ μηδ᾽ εἶναι σλάβυς ἐν Μοαγγυορίᾳ τινὲς ἔτι οἴονται. Ορᾷς, φίλε, ὅσον καὶ οἱ ἱςορικοὶ χυδαΐζυσι, ξίφεσι καὶ τόξοις καὶ δόρασι νηπιοφρόνως ἐπτοημένοι, ὖς φιλοσοφεῖν ἔδει, ὀλίγον γε.

Τῶν μὲν ὖν δυσμογότϑων, μοῖρα μὲν, μεϑ᾽ ἧς καὶ ὁ Ουλφίλας, ἐν Θράκῃ ὑπὸ βασιλέα ἑαυτῆς κατέμεινε· μοῖρα δέ τις ἑτέρα, δολοπραξίαις καὶ πραξικοπίαις παλαμναίων καὶ ἀλαςόρων καὶ ἐπαράτων λειτυργῶν προτραπεῖσα, τὰ ἀναμεταξὺ Ιςρυ καὶ τῶν παραλίων τῦ ἀδριατικῦ κόλπυ μέχρις Ελλάδος λεηλατήσασα, ἐς Ιταλίαν ἐπέρασε, διὰ τῶν ὑπερκειμένων τόπων τῦ Τριὲς, καὶ ταύτην μέχρι τῦ σικελικῦ πορϑ-

μϐ κατεκτήσατο, ὑπὸ βασιλέα Ἀλλαρὶχ (παμπλέσιον σημαίνει ἡ λέξις δαῦτζιςὶ). Ἐντεῦθεν δὲ καταλιπόντες τὴν Ἰταλίαν οἱ δυσμογότθοι, ἐς τὰ μεσημβρινὰ τῆς Φράνσης, τῆς πάλαι Κελτικῆς, μετανέςησαν, καὶ Τολϐσσα πόλις (Τολϐζ νῦν) ἦν αὐτῶν τὰ βασίλεια. Περὶ δὲ ὀγδοήκοντα ἐνιαυτὸς ἔπειτα, τῶν φράνκων μέγα ἤδη δυναμένων ἐν τῷ βορείῳ τῆς Κελτικῆς, καὶ ἐς τὸ νότιον ἐκτείνεσθαι ἀρχομένων, ἐς Ισπανίαν μετῴκησαν, ὅπϐ ἄχρι τϐ νῦν βασιλεύϐσιν. Οι δὲ ἑωγότθοι ἐς τὰ μέσα περίςρια ἀφικόμενοι, ἐπαχθεῖς ἦσαν τοῖς κωνςαντινϐπολίταις, ἄγοντες καὶ φέροντες τὴν γῆν αὐτῶν, καὶ φόρον λαμβάνοντες, ὃν τύφος καὶ ἠλιθιότης μισθὸν ὑπηρετϐντων ὠνόμαζον. Ηκε δὲ ἐς μέγα βαθμὸν δυνάμεως τὰ ἑωγότθων ὑπὸ τὸν περικλεῆ Θεοδορὶχ βασιλέα. Ουτος, Οδοάκρ τὴν ἄνω Ιταλίαν ἁρπάσαντος, μετέβη ἐκεῖσε, προτρεψάτων τῶν κωνςαντινϐπολιτῶν, καὶ ὑποχείρια πάντα μέχρι Μασσαλίας, τῆς νῦν Μαρσὲλ, καὶ τὰς προκειμένας νήσϐς,

ἐποίησε. Βασίλεια δὲ τῆς μεγάλης ἀρχῆς αὐτȣ̃, τῆς ἀπὸ Ἴςρȣ μέχρι Ροδανȣ̃ ἐξαπλȣμένης, Ραβέννα πόλις, ἡ ἐν τῷ βορείῳ ἀνατολικῷ τῆς Ἰταλίας κειμένη, ἐτύγχανεν. Ἦν δὲ ὁ Θεοδορὶχ τῶν κατ' αὐτὸν βασιλέων ὁ κραταιότατος. Τάλαινα Ἑλλὰς, τάλαινα καὶ σὺ Ἰταλία! οἷα ὑμῖν ἡ τρυφὴ καὶ ἡ διχόνοια ἐπέκλωσαν δεινά!

Πρὶν δὲ τὸν Θεοδορὶχ μετὰ τῶν ἐωγότθων καὶ τῶν γυναικῶν αὐτοῖς καὶ τῶν παίδων παναμαξεὶ ἐς Ἰταλίαν μεταναςῆσαι, ὁρῶμεν, τȣ̀ς γεπίδας ἐξωσθέντας ὑπ' αὐτȣ̃ ἐκ τῶν παραδȣναβίων τῆς κάτω Μοαγγυορίας, ἐς τὸ Ἀρδὲλ ἱκέσθαι. Ἦν μὲν ȣ̃ν περὶ τȣ́τȣς τȣ̀ς χρόνȣς πρωτεύων αὐτῶν νομὸς, αὕτη ἡ χώρα, μέχρις ȣ̃ οἱ ἄβαροι, συμμαχέντων σφίσι τῶν λογγοβάρδων, νικήσαντες κατὰ κράτος τȣ̀ς γεπίδας, κύριοι τῆς χώρας ἐγένοντο. Τὸ δὲ ὄνομα τῶν γεπίδων ἐξέλιπεν ἐντεῦθεν ἐκ τȣ̃ τραγικȣ̃ τῆς οἰκȣμένης θεάτρȣ, διασπαρέντων τῇ δε κἀκεῖσε τῶν δυςυχῶν τȣ̃ ἔθνȣς λειψάνων, καὶ τῶν καταμεινάντων ἐν τῇ χώρᾳ τοῖς ῥȣμȣ-

νοις μιγέντων καὶ ἐκρυμνισθέντων. Τοιοῦτόν τι κἂν τοῖς μετέπειτα χρόνοις συνέβη, καὶ πάντως καὶ ἐν τοῖς μεθ' ἡμᾶς συμβήσεται. Καὶ λυπηρὸν μὲν καὶ ὀδυνηρὸν ἀναπολοῦσι, ἀνασκεπτομένοις δὲ βαθύτερον, ἀναγκαῖον καὶ ἄφευκτον δοκεῖ παρεπόμενον· χρόνῳ γὰρ οὐ μόνον ἄνθρωποι, ἀλλὰ καὶ ὅλα ἔθνη ἀπόλλυνται.

Οιον δὲ καὶ τὸ λῃστρομανοῦν καὶ λυσσεπιδρομοῦν ἔθνος, τὸ νεωστὶ φανὲν καὶ ἐξοιστροῦν ἐν τῇ Ρουμουνίᾳ! Ακούσωμεν τοῦ ἱστορικοῦ Προκοπίου λέγοντος. Τότε δὲ καὶ κομήτης ἀστὴρ ἐφάνη, τὸ μὲν πρῶτον, ὅσος εὐμήκης ἀνὴρ μάλιστα, ὕστερον δὲ καὶ πολλῷ μείζων. Οι μὲν οὖν ταῦτα σοφοὶ, ἀλλήλοις ὡς ἥκιστα ὁμολογοῦντες, ἄλλος ἄλλο προὔλεγον πρὸς τούτου τοῦ ἀστέρος σημαίνεσθαι, ἐγὼ δὲ ὅσα συνηνέχθη γράφων, δίδωμι ἑκάστῳ τεκμαίρεσθαι, ᾗ βούλοιτο. Μέγα μὲν οὖν εὐθὺς στράτευμα οὐννικὸν διαβάντες ποταμὸν Ιστρον, ξυμπάσῃ Ευρώπῃ ἐπέσκηψε· γεγονὸς μὲν πολλάκις ἤδη, τοσαῦτα δὲ τὸ πλῆθος κακὰ, ἢ τοιαῦτα τὸ

μέγεθος, ὐκ' ἐνεγκὸν πώποτε τοῖς ταύτῃ ἀνθρώποις. Ἐκ κόλπȣ γὰρ τȣ̃ Ἰωνίȣ οἱ βάρβαροι ὗτοι ἅπαντα τὰ ἐφεξῆς ἐληίσαντο, μέχρις ἐς αὐτὰ τὰ τȣ̃ Βυζαντίȣ προάστεια. Καὶ φρȣ́ρια μὲν δύο ἢ τρία ἐν Ἰλλυριοῖς εἷλον, πόλιν δὲ Κασσάνδραν κατεστρέψαντο βίᾳ, ȣ̓ τειχομαχήσαντες πρότερον· καὶ τά τε χρήματα ἔχοντες, αἰχμαλώτων δὲ μυριάδας δύο καὶ δέκα ἀπαγόμενοι, ἐπ' οἶκȣ (ἐπὶ Ρȣμȣνίας) ἅπαντες ἀνεχώρησαν, ȣ̓δενὸς σφίσιν ἐναντιώματος ἀπαντήσαντος. (Τί δὲ τηνικαῦτα οἱ κωνσταντινȣπολῖται ἐποίȣν;).

Χρόνῳ δὲ τῷ ὑστέρῳ πολλάκις ἐνταῦθα γενόμενοι, ἀνήκεστα ἔδρασαν. Οι δὴ καὶ ἐν χερσονήσῳ τειχομαχήσαντες, βιασάμενοι τȣ̀ς ἐκ τȣ̃ τείχȣς ἀμυνομένȣς, καὶ διὰ τȣ̃ τῆς θαλάσσης ῥοθίȣ τὸν περίβολον ὑπερβάντες, ὃς πρὸς κόλπῳ τῷ μέλανι καλȣμένῳ ἐστὶν, ὗτω τε ἐντὸς τῶν μακρῶν τειχῶν γεγενημένοι, καὶ τοῖς ἐν χερσονήσῳ ῥωμαίοις ἀπροσδόκητοι ἐπιπεσόντες, ἔκτεινάν τε πολλȣ̀ς καὶ ἠνδραποδίσαντο σχε-

δὸν ἅπαντας. Καὶ διαβάντες τὸν μεταξὺ Σηςȣ͂ τε καὶ Ἀβύδȣ πορθμὸν, λῃσάμενοί τε τὰ ἐπὶ τῆς Ἀσίας χωρία, καὶ αὖθις ἐς χερσόνησον ἀναςρέψαντες, σὺν τῷ ἄλλῳ ςρατῷ καὶ πάσῃ τῇ λείᾳ ἐπ᾽ οἴκȣ ἀπεκομίσθησαν.

Εν ἑτέρᾳ δὲ ἐσβολῇ, τȣ̀ς τε ἰλλυριȣ̀ς καὶ θεσσαλȣ̀ς λῃσάμενοι, τειχομαχεῖν μὲν ἐνεχείρησαν ἐν Θερμοπύλαις, τῶν δὲ ἐν τοῖς τείχεσι φρȣρῶν καρτερώτατα ἀμυνομένων, διερευνώμενοι τὰς περιόδȣς, παρὰ δόξαν εὗρον (ἢ Επιάλτȣ τινὸς ἡγησαμένȣ) τὴν ἀτραπὸν, ἣ φέρει πρὸς τὸ ὄρος, ὃ ταύτῃ ἀνέχει. Ουτω λοιπὸν ἅπαντας ἕλληνας, πλὴν πελοποννησίων, διεργασάμενοι, ἀπεχώρησαν.

## Α τ τ ί λ α ς.

Επήρθησαν δὲ οἱ ȣ̆ννοι ἐπὶ πολὺ δόξης, (κατὰ τὸν πολὺν ἄνθρωπον), καὶ δυνάμεως, ὑπὸ βασιλέα τὸν περιβόητον Αττίλαν, ὃς μοναρχομανῶν, τὸν ἀδελφὸν αὐτȣ͂ διερ-

γάζεται Βδῆλαν, καὶ τὰ βόρεια καὶ ἑῷα, μέχρι Βαλτικῆς καὶ ὑπὲρ Βόλγαν ὑποχείρια ποιησάμενος, καὶ τὴν κωνςαντινεπολιτῶν χώραν μέχρις Ἑλλάδος καὶ Ἰταλίας λῃισάμενος, καὶ συμμαχίαν μετὰ τῶν πόῤῥω ἐθνῶν ποιησάμενος, ὧν ἦσαν καὶ οἱ ἐν Ἀφρικῇ βανδῆλοι, οἱ ἀπὸ τῶν βορείων τῆς Ευρώπης ἐκεῖσε ἱκόμενοι, καὶ Περσίαν μὲν πάρθες, Ἑλλάδα δὲ καὶ Ἰταλίαν καὶ Φράνσαν τὲς διαδεξαμένες τὲς ῥωμαίες ἀφελεῖν προθέμενος, (Ὁρᾷς, φίλε, ὅσον πλεονέκτης καὶ ἄπληςος ὁ ἄνθρωπος! ἀπελπίσθητι τοίνον εἰρήνην ἐν κόσμῳ ἰδεῖν ποτε καταςαθεῖσαν, μόνιμόντε καὶ πολυχρόνιον.), πολυαρίθμῳ ςρατῷ, τρίακοντα μυριάσιν, ἀπῆρε, καὶ παραβαίνων ἐν δεξιᾷ τὸν Δανέβιον, καὶ διαβὰς τὸν Ῥῆνον ἐς τὴν Φράνσαν εἰσέβαλε. Πολυάριθμα δ' ἀκέων Ἀττίλα ςρατεύματα, μὴ οἴε πᾶντα ταῦτα ὕννες εἶναι· ἴσως ἐδὲ τὸ τεταρτημόριον αὐτῶν ἦσαν ὗννοι· οἱ πολλὰ πλείες δὲ, ἕτερα ἔθνη· τὰ μὲν σύμμαχα (βίᾳ πάντως)· τὰ δὲ, ὑπήκοα· τὰ δὲ, καὶ συγ-

κάτοικα καὶ δȣ̃λα· καὶ ἦν ποτε ὅτε καὶ ῥωμαȣ̃νοι ἔνοπλοι τὸν Ῥῆνον ἐπεραιώθησαν· ȣ̓δὲ τὰ Δεκεβάλȣ ȣ̓δὲ τὰ Βοιρεβίςα ςρατεύματα νόμιζε πᾶντα δακȣ̀ς καὶ γέτας εἶναι· ἀλλ᾽ οἱ ςρατοὶ ἀεὶ τȣ̃ κρατȣ̃ντος τὸ ὄνομα φέρȣσι, καὶ ἀπὸ τȣ́τȣ ἐπονομάζονται. Ουδὲν ξένον· ἀλλὰ ξένον πάντως, ἀκμὴν καὶ ἀσύγγνωςον το βλέπειν πολλάκις ὅλα ὑποκείμενα ἔθνη συγκεχύσθαι τοῖς κρατȣ̃σι καὶ ἐλάσσοσιν ȣ̓̃σι, καὶ ἀπὸ τȣ́των ὀνομάζεσθαι καὶ ὑπὸ βαρέων συγγραφέων.

Λέτιος δὲ ὁ Σιλιςραῖος, ςρατηγὸς μὲν τότε ἐν Κελτικῇ τυγχάνων τȣ̃ ἐν Ιταλίᾳ συναυτοκράτορος, πρότερον δὲ πρόσφυξ καὶ ξένος Αττίλα γεγονὼς, παρασκευάζεται ἐς ἄμυναν, φράνκȣς, γοτθικὸν καὶ τȣ́τȣς ἔθνος, καὶ γότθȣς συμμάχȣς αὐτῷ ποιησάμενος. Προφυλακαὶ δὲ ἦσαν ἀδελφὰ ἔθνη ἑκατέροις, Αετίῳ μὲν, δυσμογότθοι· Αττίλᾳ δὲ, γεπίδαι, γοτθικὸν ἔθνος καὶ ȣ̓̃τοι. Εγγὺς δὲ ἀλλήλων τῶν πολυαρίθμων ςρατῶν γενομένων, παρὰ τὴν Σιαλὸν ἐπὶ Μάρνȣ πόλιν, νυκτὸς συμπλέκονται τὰ ἀδελφὰ

ἔθνη, λυσσῶντα κατ' ἀλλήλων ὑπὲρ ἀλλοτρίων, καὶ κατασφάζονται, ὅπȣ καὶ Θιδερὶχ ὁ βασιλεὺς τῶν δυσμογότθων πίπτει μαχόμενος. Ημέρας δὲ γενομένης, καὶ τὰ σώματα τῶν ςρατῶν, Αετίȣ καὶ Αττίλα ςρατηγέντων, φρικαλέως συῤῥάττȣσι, καὶ μάχης καρτερᾶς καὶ πανημέρȣ, καὶ τῷ ὄντι μυριονέκρȣ γενομένης, λυσσοφονȣ̃ντες ἀλλήλȣς οἱ ςρατοὶ, περὶ ἑσπέραν παύȣσιν.

Αττίλας, φρίξας ὁ βάρβαρος, ἰδὼν τὸ πλῆθος τῶν πεσόντων, ὑποχωρεῖ τῷ σιλιςραίῳ τȣ̃ πεδίȣ τῆς μάχης, καὶ ἀναζεύξας ἐς τὰ ἑῷα ἀνεχώρησε. Χρόνῳ δὲ ȣ̓ πολλῷ ὕςερον ἀπροσδόκητος τῇ βορείᾳ Ιταλίᾳ ἐπιπεσὼν, ἔργον φόνȣ καὶ λείας τὸ πᾶν ἐποίησε. Τηνικαῦτα φεύγοντες τινὲς τὴν φονομανίαν τȣ̃ Αττίλα, ἐς τὰ ἐν τῷ μυχῷ, ἐν ἀριςερᾷ ἐσπλέοντι τὸν ἀδριατικὸν κόλπον, ἔρημα νησίδια διεσώθησαν, καὶ ᾤκησαν ταῦτα, καλύβας μὲν πενιχρὰς ἐν ἀρχῇ οἰκητήρια ἔχοντες, καὶ ἁλιεία τὰ πρὸς τὸ ζῆν λιτῶς ποριζόμενοι, ἐγένοντο δ' ἀρχηγοὶ καὶ πατέρες τῆς μετέπειτα περιφανε-

ςάτης πόλεως, διὰ πλᾶτον καὶ τέχνας καὶ δύναμιν, Ενετίας. Οὐδ᾽ Αττίλας ᾶ πολὺ μετὰ ταῦτα ἐπέζησεν· ἐν γὰρ τῷ νυμφικῷ θαλάμῳ, τῇ νεονύμφῳ συγκοιμώμενος, (συχνάκις γὰρ αὐτῷ νέας καὶ ὡραίας παρθένες ἐς γάμον ἄγειν εἴθιςο, καὶ πολύνυμφος ἦν,) ἀποπληξίᾳ ἀπέθανεν. Αποθανόντα δ᾽ αὐτὸν ἀμυχαῖς προσώπων καὶ μεγάλῃ ἑορτῇ οἱ ᾶννοι ἐτίμησαν· καὶ τὸν νέκυν ἐν χρυσῷ κιβωτίῳ θέντες, καὶ ἐν δευτέρῳ ἀργυρῷ τᾶτο ἐνθέντες, καὶ τρίτον πάλιν τούτῳ χάλκινον περιθέντες, ᾶτως αὐτὸν, μάςιγα τᾶ ἀνθρωπίνα γένας ὑπάρξαντα, κηδεύσαντες, ὃν ᾶκ ἐχώρει ὁ κόσμος, ἐν τριπλῷ κιβωτίῳ συγκλείοντες, ἐν ἀγνοαμένῳ τάφῳ κατέθαψαν, καὶ τᾶς περὶ τὴν κηδείαν ὑπηρέτας κατέσφαξαν, ἐφ᾽ ᾧ ἄδηλον μένειν πᾶ τέθαπται, καλὸν οἰωνὸν τῆς ἀρχῆς αὐτῶν τᾶτο ἡγᾶμενοι.

Τὸ κέντρον τῆς μεγάλης ἀρχῆς τᾶ Αττίλα, τὰ βασίλεια, ἦν, ἢ πα ἐν τῷ δυτικῷ τῆς Μολδόβης, ἢ ἐν τῷ βορείῳ· οἱ γὰρ κωνςαντινεπολῖται πρέσβεις, ὧν πρῶτος ὁ

περίφημος τότε διὰ παιδείαν Πρίσκος ἦν, διαβάντες τὸν Ἴςρον κατὰ τὸ νῦν Βιδὶν, καὶ ἄλλȣς ποταμȣ̀ς, μεθ' ἡμέρας δέκα ἐς τὰ βασίλεια τȣ̃ Ἀττίλα ἵκοντο. Οικήματα δὲ ταῦτα ξύλινα ἦν, σανίσιν εὐξέςοις ἡρμοσμένα, καὶ περιβόλῳ ξυλίνῳ περικεκυκλωμένα. Παρ' αὐτὰ δὲ ἦν καὶ τὰ τȣ̃ πρώτȣ ἡπηρέτȣ αὐτῷ Ονεγίςȣ ἀρχεῖα, ὅπȣ καὶ γλαφυρὸν καὶ πολυτελὲς βαλανεῖον αὐτῷ ἔκτιςο, κομισαμένῳ πόῤῥωθεν τȣ̀ς ἐπ' αὐτῷ μαρμάρȣς λίθȣς. Ἀλλὰ τὰ νῦν ȣ̓δὲ τὰ βασίλεια αὐτὰ, ȣ̓δὲ τὸ βαλανεῖον εὑρεῖν ἐςιν ἐρωτῶντι· ȣ̓μὴν ȣ̓δ' ἴχνος αὐτῶν ὑπόλοιπον. Οια τὰ ἀνθρώπινα, καὶ ἐφ' οἵοις κομπάζȣσιν ἄνθρωποι!

Εισήχθησαν δὲ οἱ πρέσβεις καὶ ἐς τὴν γυναικωνῖτιν, τὸ καθῆκον σέβας ταῖς βασιλίσσαις ἀποδώσοντες. Πολλῶν δὲ ȣ̓σῶν τῷ Ἀττίλᾳ γυναικῶν καὶ ἴλης ὅλης, ȣ̔́τως εἰπεῖν, δύο ἦσαν αἱ ἀρχιγυναῖκες Κρέκα καὶ Ρέκα καλȣ́μεναι, ὧν ἡμὲν τῶν γυναικείων ἔργων τȣ̃ ςρατοπέδȣ, ἡδὲ τῶν ἐν τοῖς βασιλείοις ἐφρόντιζε, ᾗ εἰσελθόντες οἱ

πρέσβεις, ἐν μέσῳ πολλῶν θεραπαινίδων ἐντυγχάνουσι, ἐπινεμέσῃ ἑκάςῃ τὸ ἐπιβάλλον οἱ ἔργον. Πᾶσαι ἐνησχολοῦντο τοῖς ἀφορῶσιν ἔργοις τὴν ςολὴν τοῦ μεγάλου βασιλέως Αττίλα, αἱ μὲν, κλώθουσαι, αἱ δὲ, πηνιζόμεναι, αἱ δὲ, διαζόμεναι, αἱ δὲ, ὑφαίνουσαι, αἱ δὲ, βάπτουσαι τὰ ὑφάσματα, καὶ ἄλλαι ἄλλα παραπλήσια καλῶν γυναικῶν καλὰ ἔργα ἐργαζόμεναι. . .

Οι δὲ ποταμοὶ οὓς ἐπέρασαν οἱ πρέσβεις, πάντως οἱ ἐν τῷ Ρουμουνικῷ ἀγρῷ καὶ ἐν τῷ δυτικῷ τῆς Μολδόβης ῥέοντες εισίν· ἐν ταύτῃ γὰρ τῇ ὁδῷ πολλοὺς δεῖ ποταμοὺς διαβῆναι· ἐν δὲ τῇ ἐς Αρδὲλ, ἕνα μόνον ἢ δύο. Τὰ ὀνόματα τῶν ποταμῶν ἕτερα παντάπασι παρὰ τὰ νῦν τυγχάνοντα, παρελείφθησαν. Ησαν ἴσως τινὰ τὰ αὐτὰ τοῖς νῦν, ἀλλὰ βάρβαρα ταῦτα οἰόμενοι, μετέφρασαν ἢ ἐξηλλήνισαν αὐτὰ πέραν τοῦ δέοντος, ὥςε ἀγνώριςα εἶναι καὶ αὐτὰ νῦν παντάπασι, καὶ οὕτω τοῖς μετὰ ταῦτα ἱςορικοῖς καὶ γεωγράφοις παρέσχον πράγματα. Ιδοὺ τὸ κακὸν τὸ ἐκ τῆς μεταφράσεως

ἢ ἀλλαγῆς τῶν κυρίων ὀνομάτων προερχόμενον. Ἀκμὴν ἐ συνιᾶσι τινὲς τἑτε, καὶ χαίρεσι τἑτῳ χρώμενοι, ὑπόληψιν παιδείας τάχα θηρώμενοι. Ὁ Πρᾶτος καὶ πρὸ τᾶ Ἡροδότε Πρᾶτος σχεδὸν ἐλέγετο, καὶ ὁ Μάρισσος Μάρις, καὶ πάντως ἐδέποτ᾽ ἔπαυσαν ἕτω λεγόμενοι· ἐ δὲ φῆναι ἔχειτις, ὅτι οἱ ῥεμᾶνοι νῦν ἐκ τᾶ Ἡροδότε ἔμαθον τὰ ὀνόματα· καὶ ἐπὶ Πτολεμαίε Πρᾶτος ἐλέγετο, ἔτι καὶ ἐπὶ τᾶ αὐτοκράτορος Μαυρικίε. Ἀλλὰ διὰ τί ὁ Πτολεμαῖος Ἱερασσὸν εἶπε, καὶ ἡ Βυζαντὶς Πασπύριον; Ἡμεῖς μὲν ἐδὲν ἔχομεν λέγειν ἐνταῦθα ἐς ἀπόκρισιν, γελᾶν δὲ καὶ μάλιςα· ἕτερος δέ τις λεγέτω τι, ὅ, τι βέλεται. Τί εἴπωμεν νῦν καὶ περὶ τόσων ἄλλων; Ὁρᾷς ἀναγνῶςα ὅσον ἐςὶν ἀναγκαῖον τὰ ἐπιχώρια ὀνόματα ἀπαράλλακτα φυλάττειν ἐν ἱςορίᾳ καὶ γεωγραφίᾳ.

Τὰ δεξιὰ τᾶ Ἴςρε, ἡ νῦν Βεργαρία καὶ ἡ Σερβία, ἐπιταγῇ τᾶ μεγάλε βασιλέως Ἀττίλα, ἔμειναν ἀκατοίκητα καὶ ἔρημα, ὅριον τοιᾶτον εἶναι ἀναμεξὺ αὐτᾶ καὶ τῶν

κωνςαντινεπολιτῶν βελομένε. Οἱ δὲ κάτοικοι τῶν μερῶν αὐτῶν, τὰ λείψανα τῆς τε βαρβάρε φονομανίας καὶ τῆς ἐς τὰ νοτιώτερα φυγαδείας, ἐς τὰ ἀριςερὰ τε Ἴςρε μετήχθησαν· καὶ ηὐξήθη ὅτως ὁ ἀριθμὸς τῶν ῥεμένων. Ἀλλ᾽ οἱ μεταχθέντες ἆρα πάντες ῥεμενοι ἦσαν; ἀλλ᾽ ἐ, τε ἐμποδὼν ἀρθέντος ἐκ μέσε, ὑπέςρεψαν τάχιςα ἐς τὴν χώραν, ἐξ ἧς ἐξεβλήθησαν, ὥσπερ καὶ ἑτέρες ὁρῶμεν ἔπειτα; Η ῥεμενικὴ γλῶσσα καὶ ἐν τοῖς βασιλείοις τε Ἀττίλα κοινὴ ἐτύγχανεν, ὡς γλῶσσα τῶν ἐντοπίων πάντως καὶ τῶν ἐμπόρων καὶ τῶν τεχνητῶν ἐκαλεῖτο δὲ ἔτι καὶ αὐσονικὴ, καὶ οἱ ῥεμενοι ὑπό τινων αὐσόνιοι ὠνομάζοντο, ὑπό τινων πάντως ματαιοσόφων, τῶν τὰ ἐνεςῶτα καὶ ἐπιχώρια ὀνόματα κενοφρόνως περιφρονέντων, καὶ ἀλλότρια ἐν ἀλλοτρίοις δι᾽ ἀλλότρια ζητέτων. Ἰταλικὴν ἐν τὴν γλῶσσαν, ὡς ἀδελφὴν ταύτης, οἰόμενοι, αὐσονικὴν μὲν αὐτὴν, αὐσονίες δὲ τὲς ἡμετέρες ῥεμένες προσηγόρευσαν· ἐπειδὴ ἦν ποτε ἔθνος ἐν Ἰταλίᾳ, ὅτως ὀνομαζόμε-

νον· αὐσόνιοι γὰρ, κατὰ Στράβωνα, τὴν Καμπανίαν ποτὲ εἶχον, καὶ τὰ πλησιόχωρα μέρη· καὶ τὸ σικελικὸν πέλαγος, αὐσόνιον ἀπ' αὐτῶν ὠνομάζετο· καὶ ἡ Ιταλία ὅλη ἐν τοῖς πάλαι χρόνοις Αυσονία ἀπὸ Αυσονίȣ ὠνομάσθη. Παπαὶ, οἵων ἡμῖν πραγμάτων οἱ δοξόσοφοι πρόξενοι!

Εοικε δὲ ὅτι οἱ ῥȣμȣ̃νοι, ὡς ἔθνος ὑποκείμενον καὶ ἥσυχον, καὶ περὶ γεωργίαν καὶ ποιμαντικὴν ἀκάμαντον, ἀγροζωονομȣ̃ν ȣ̃τως, εἰῶντο παρὰ τῶν κρατȣ́ντων, καὶ ἐβίȣν ἥσυχα, ἀναμεταξὺ αὐτῶν καὶ ἀνενόχλητα, ὥσπερ καὶ ἄλλοτε τȣ́τȣς ὑπ' ἄλλȣς κυρίȣς ὁρῶμεν, καὶ δὴ καὶ μέχρι τῶν καθ' ἡμᾶς χρόνων, καὶ ἄλλȣς ἔτι ἐν ἄλλοις μέρεσιν· ȣ̓δὲ γὰρ ȣ̃τως ἀγρίως πρὸς πάντας φέρεσθαι τȣ̀ς ȣ̃ννȣς καὶ, ἁπλῶς, τȣ̀ς ταντάρȣς ἡγητέον, ὥς τινες ἐχθροπαθέςερον ἢ ἀπερισκεπτότερον παρέδωκαν. Γότθοι δὲ, ὡς κρατȣ̃ν ἔθνος καὶ ἀνθιςάμενον καὶ ὑποπτευόμενον, κατεδιώκοντο. Επειτα δὲ ὡς γεωργοὶ καὶ ποιμένες καὶ Δήμητρος καὶ Πανὸς λάτριες, οἱ ῥȣμȣ̃νοι, τοῖς ȣ̃ν-

νοις ὅπλοις ἀεὶ ἐνασχολεμένοις καὶ Ἀρεϊ μόνῳ λατρεύεσι, λυσιτελεῖς μεγάλως ἐτύγχανον. Τοιϐτόν τι καὶ τοῖς σλαβικοῖς ἔθνεσι συνέβη, καὶ τότε καὶ πρότερον ἐπὶ δακῶν καὶ γετῶν, ἐξ ὧν σλαβικῶν ἐθνῶν οἱ ἄντοι, τὴν Μπασσαραβίαν πρότερον νεμόμενοι, ἐς τὰ περὶ Κραϊόβαν μέρη μετανέςησαν ἔπειτα.

Ἀποθανόντος δὲ τϐ Ἀττίλα, διελύθη καὶ ἡ μεγάλη ἀρχὴ τῶν ϐννων, καὶ πολλὰ ἔθνη ὑπήκοα, τὴν σφετέραν ἀνεξαρτησίαν καὶ ἡγεμονίαν ἀνέλαβεν· ἐξ ὧν ἦσαν καὶ τὰ γοτθικὰ καὶ βϐργαρικὰ, δύο ἔθνη διὰ ῥώμην καὶ εὐψυχίαν ἐν τοῖς τότε καὶ νῦν χρόνοις περίφημα. Ἀττίλας ὁ βασιλεὺς γυναῖκας ὅλα τάγματα εἶχε, καὶ παῖδας ἐκ τϐτων κατέλιπεν ϐκ ὀλίγϐς. Ἀλλὰ γὰρ ἀποθανὼν αἴφνης, ϐδὲν ἔφθη, ἐφ᾽ ᾧ ςάσιμα εἶναι τὰ τῆς ἀρχῆς, διατεταχώς. Δύω παῖδες αὐτϐ βασιλεύϐσιν ἐν Μολδόβῃ, ὅπϐ ϐ μόνον ϐννοι, ἀλλὰ καὶ βϐργαροι καὶ ϐτϐργϐροι καὶ κϐτϐργϐροι καὶ χαζάροι καὶ ἀλανοὶ, πᾶντες ἔθνη ὑπήκοα τοῖς ϐννοις, κα-

τώκεν. Δεγγεντζὶκ ἀττιλάδης βασιλεὺς Μολδύβης, κατὰ τὴν Θράκην, ἐπὶ λεηλασίᾳ ἐκεῖσε ςρατεύσας, φονεύεται, καὶ οἱ κετεργῦροι, βεργαρικὸν ἢ ὀγγρικὸν ἔθνος, τὴν ἡγεμονίαν διαδέχονται ἐν τῇ Μολδόβῃ, ἐκτὸς τῆς Μπασσαραβίας, ὅπε τὸ κράτος εἶχον οἱ ἄντοι. Τηνικαῦτα ἕτερα σλαβινικὰ ἔθνη ἐκ τῆς Πόλσκης καὶ Ρεσσίας, ἐς τὴν Ρεμενίαν καὶ τὴν γείτονα Μοαγγνορίαν ἵκοντο.

## Βέργαροι.

Οι δὲ βέργαροι ἢ ὄργαροι ἢ ὄργοι πρὸ τῦ ἔτες ἤδη τῦ ἡμετέρε, τὰ πέραν τῦ Βόλγα, ὅπε καὶ νῦν ἔτι ἀδελφὰ αὐτῶν ἔθνη πολυάριθμα οἰκῦσιν, ἐνέμοντο, ὅθεν ἐξελθόντες κἀπὶ τὰ νότια τραπόμενοι, μέχρις Αρμενίας ἵκοντο. Περὶ τὸ εἰκοςὸν ὄγδοον τῆς πέμτης ἑκατονταετηρίδος, ἀπεχωρίσθησαν τῦ ἔθνες δύο φυλαί, ὀτεργῦροι καὶ κετεργῦροι ἀπὸ τῶν πρώτων ὄτω παρονομαζόμεναι, καὶ διαβάσαι τὸν Βόλγαν καὶ Τάαϊν, ἐς τὸ βόρειον τῆς Μαιώτιδος ἵκον-

το, καὶ τὰς γότθας ἐκεῖθεν, τὰς βανδήλας τᾶ Προκοπία, ἐδίωξαν· ἀ γὰρ σύμπαντες οἱ γότθοι ἐγκαταλελοίπεσαν τὴν χώραν, κατάκτημα ἄννων γενομένην. Ἀλλ' οἱ μὲν ἀτεργᾶροι ἢ ἀτριγᾶροι αὐτίκα πάλιν ἐς τὴν Ἀσίαν ἀνεχώρησαν· οἱ δὲ κατεργᾶροι ἢ κατριγᾶροι ἐν τοῖς μεταξὺ Ταναΐδος καὶ Βορυσθένας κατεσκήνωσαν, καὶ ἐκλήθη καὶ τᾶτο τὸ μέρος Βαργαρία, καὶ πρὸς ἀντιδιαςολὴν τῆς μετὰ ταῦτα Βαργαρίας, τῆς τρίτης τῆς ὑπὲρ τὸν Ἰςρον, παλαιὰ μὲν ἡ δευτέρα, παλαιοτάτη δὲ, ἡ ὑπὲρ τὸν Βόλγαν, ἡ περὶ τὸν Κάμαν ποταμὸν, ὀνομάζεται, ἧς καὶ βασιλεὺς ὁ αὐτοκράτωρ τῆς Ρασσίας ἐπονομάζεται.

Χρόνῳ δὲ ἀ πολλῷ ὕςερον, τᾶ οἱονεὶ φυτωρία τῶν φιλεπιδρόμων καὶ λῃςρομανῶν ἐθνῶν, καὶ τῶν πλειόνων κατοίκων ἴσως τᾶ δυτικᾶ τῆς οἰκαμένης μέρας, τῶν ἐν τῷ βορείῳ, λέγω, τῆς μεγάλης καὶ παλαιοτάτης ἀρχῆς τῶν σιναίων, διαταραττομένων, καὶ ὡς ζεσίμων καὶ καυσίμων ὑλῶν, ζεόντων καὶ ἀναβραζόντων

καὶ βίᾳ ἐκρηγνυμένων· πρᾶγμα συμβὰν μὲν καὶ πρότερον, συμβὰν δὲ καὶ ὕϛερον, συμβήσεται πάντως καὶ ἐν τοῖς μετέπειτα χρόνοις· τῦρκοι πάλιν ἐκραγέντες βιαίως τοῖς ἀβάροις ἐπέπεσον, καὶ ἐξέωσαν αὐτὃς ἐπὶ τὰ δυτικώτερα· οἱ δὲ τὰ αὐτὰ, ἅπερ ὑφ᾽ ἑτέρων πάσχοντες, ἑτέρȣς ποιȣ̃ντες, σαβίρȣς τὃς πρὸ σφῶν, ἐπὶ τὸ βόρειον τραπῆναι ἠνάγκασαν· ȣ̃τοι πάλιν ἐν τοῖς πέραν τȣ̃ Βόλγα γενόμενοι, τὃς βȣργάρȣς ἢ ȣγόρȣς ἐκ τῆς περὶ τὸ Καζὰν καὶ τῆς τῶν μπασκίρων χώρας ἐξήλασαν· οἱ δὲ βȣ́ργαροι, τὃς χαζάρȣς ἐκ τῶν ἀναμεταξὺ τȣ̃ Βόλγα καὶ τῆς Μαιώτιδος ἐδίωξαν, κἀνταῦθα τὰς σκηνὰς αὐτῶν ἐπήξαντο, καὶ τῷ αὐτοκράτορι Λέοντι περὶ τὸ ἐξηκοϛὸν ἔνατον ἔτος τῆς πέμπτης ἑκατονταετηρίδος, δώροις φίλοι τε καὶ σύμμαχοι ἐγένοντο. Οἱ δὲ ἐν τῇ νέᾳ Βȣργαρίᾳ βȣ́ργαροι, τῇ ἀναμεταξὺ Βορυσθένȣς τε καὶ Ταναΐδος, νῦν ἱδρυμένοι, προσχωρησάντων σφίσι καὶ ἄλλων συγγενῶν ἐθνῶν, καὶ αὐξηθέντες, ὡς ἀπὸ λῃϛορμητηρίȣ ταύτης τῆς χώρας ἐπι-

λυσσοδρομοῦντες, περὶ τὸ ὀγδοηκοςὸν ἔννατον, ἐννενηκοκοςὸν τρίτον καὶ ἔννατον τῆς πέμπτης ἑκατονταετηρίδος ἔτος, καὶ ἐν τῷ δευτέρῳ καὶ δεκάτῳ ἑβδόμῳ τῆς ἕκτης, διαβαίνοντες τὸν Βορυσθένη καὶ τὸν Ἴςρον, τὴν τῶν κωνςαντινοπολιτῶν ἐπικράτειαν ἦγον καὶ ἔφερον μανικώτατα· ἐν ταῖς ἐσχάταις δὲ ἐπιδρομαῖς, καὶ μέχρι Θεσσαλίας καὶ Ἠπείρου ἧκον, τὸ πᾶν ληΐζόμενοι. Τηνικαῦτα καὶ Ἀναςάσιος ὁ αὐτοκράτωρ· οὐ γὰρ ἐδεῖ γυναικῶν, ὡς οἱ σπαρτιάται ἔλεγον· τὸ μακρὸν τεῖχος ἐν Θράκῃ, ταῖς λυσσεφόδοις αὐτῶν ἀντιςῆσαι ἔρυμάτι βουλόμενος, ἐκτίσατο, περὶ τὸ δεύτερον ἔτος τῆς ἕκτης ἑκατονταετηρίδος, τῆς διαφθορᾶς καὶ πολιτικῆς ἀῤῥωςίας τῶν κωνςαντινουπολιτῶν ὑπόμνημα πολυχρόνιον. Τὸ δὲ μακρὸν τεῖχος ἀρχόμενον ἐκ τῶν παραποντίων, ἕως ἐς τὴν Προποντίδα καθήκει.

Ἐν δὲ τῷ εἰκοςῷ ἑβδόμῳ ἐνιαυτῷ τῆς ἕκτης ἑκατονταετηρίδος, συλληςὰς ἔχοντες οἱ βούργαροι γεπίδας καὶ ἐρούλους καὶ σλαβικὰ ἔθνη, τὰ ἀναμεταξὺ Βυζαντίου καὶ Ἴςρου

ἐλεηλάτησαν. *Πάλιν* δὲ περὶ τὸ εἰκοςὸν ἔννατον, τριακοςὸν, τριακοςὸν πέμπτον ἔτος τῆς ἕκτης ἑκατονταετηρίδος, περαιωθέντες τὸν *Ιςρον*, τὴν τῶν κωνςαντινεπολιτῶν γῆν τὰ ἀνήκεςα ἐποίησαν, ἀποκτείνοντες, ἀνδραποδίζοντες, λαφυραγωγᾶντες καὶ ἀναχωρᾶντες ἐς τὴν οἰκείαν. *Οἱ* δὲ ςρατηγοὶ τῶν κωνςαντινεπολιτῶν... ἀλλὰ γὰρ ἄτοι τί ποιῆσαι ἠδύναντο κατὰ λυσσορμώντων βαρβάρων, καὶ ἐν μάχαις τὸν ἡρωϊκὸν αναζητάντων θάνατον, καὶ ὧν αἱ γυναῖκες, ὥςπερ ἄλλαι ἀμαζόνες καὶ ἡρωίναι, μᾶλλον δὲ ὥςπερ ταρταρικαὶ ἐριννύες, παρὰ τοῖς ἀνδράσιν ὅμοιον ἁμιλλώμεναι ἐτύγχανον θάνατον; *Εν* δὲ τῷ τριακοςῷ ἐννάτῳ ἔτει τῆς ἕκτης ἑκατονταετηρίδος, μεγάλαις δυνάμεσι *Ιςρον* ποταμὸν διαβάντες, καὶ πορθμὸν θαλάσσης περαιωθέντες, καὶ πολλὰ μέρη τῆς *Ασίας* λυσσολεηλατήσαντες, ἐς τὴν σφετέραν ἐπανέκαμψαν. *Ληΐζονται* πάλιν τὴν *Θρᾴκην* ἐν τῷ πεντηκοςῷ τρίτῳ ἔτει, καὶ *Ιεςιανὸς* ἐγείρει κατ᾽ αὐτῶν τὰς συγγενεῖς αὐτῶν

ȣτȣργȣ́ρȣς καὶ μισθωτȣ̀ς αὐτȣ̃. Διαβαίνȣσιν ȣ̃τοι τὸν Τάναϊν καὶ συμπλέκονται τοῖς ὁμογενέσι μάχαις, καὶ κατατριβόμενα ȣ̃τω λυσσομαχȣ̃ντα τὰ ȣννογενδȣρικὰ ἔθνη, ἐξασθενȣ̃σι παντάπασι καὶ ἀποκάμνȣσιν. Ουτως ȣ̃ν ὑπερισχύȣσιν οἱ ἐκ τῶν ἀνατολικωτάτων τῆς Ασίας ἀπάραντες ἄβαροι, καὶ τέλος ἐς τὰ ἀριςερὰ τȣ̃ Ιςρȣ ἵκοντο, ὥς περ ἐς σκηνὴν τραγῳδίας εἰσαγόμενοι.

Πότερον δὲ, οἱ νῦν βȣ́ργαροι ȣγγρικὸν ἢ ȣγγαρικὸν ἔθνος εἰσὶν, ἢ οἱ νῦν ȣ̃γγροι ἢ ȣ̃γγαροι, βȣργαρικόν; Τȣ̃το παντάπασιν ἀδιάφορον. Αμφοτέρȣς δὲ καὶ ȣννογȣ́ρȣς καὶ ȣννογȣνδȣ́ρȣς καὶ ȣρόγȣς καὶ σαγάρȣς καὶ πολλαχῶς ἄλλως ἐν ἱςορίᾳ καλȣμένȣς ὁρῶμεν, ὑποδιαιρȣμένων ἐνίοτε τῶν ἐθνῶν, εἰρήνῃ καὶ ἡσυχίᾳ διασχιζομένων δ᾽ ἄλλοτε ςάσεσι καὶ αἱματοχυσίαις. Οι βȣ́ργαροι ἐκ τῶν ȣννογȣρικῶν μὲν φύλων, ὥσπερ καὶ οἱ ȣ̃γγαροι, κατάγονται, ὡς καὶ κατωτέρω ὀψόμεθα, γλώσσῃ δὲ ἀλλογενȣ̃ς ἔθνȣς χρησάμενοι, σλαβικῷ ἔθνει πολυαριθμοτέρῳ τȣ̃ σφῶν μιγέντες, τῆς μητρι-

κῆς αὐτῶν ἐπελάθοντο. Γραφόντων δὲ ἑτέρων βέλγαροι, ἡμεῖς τὴν ἐπιχώριον προφορὰν αἱρέμεθα καὶ δεχόμεθα. Επειτα ἐκ ἀπὸ τῦ Βόλγα ποταμῦ (Βόλγαν ἄρα τὸν ποταμὸν ὠνόμαζε τὸ ἔθνος; Τῦτο ἦν αὐτῷ παλαιόθεν τὸ ὄνομα; Τίς δὲ ἦν καὶ ὁ τῦ Ηροδότε, τῦ καλῶς τὰ ὑπὲρ Πόντον καὶ Μαιῶτιν εἰδότος, ὑπὲρ τὸν Τάναϊν μέγας ποταμὸς Οναρος, ἐφ' ᾧ τὴν ςρατιὰν ἵδρυσε Δαρεῖος ὁ Υςάσπεω;) παρωνομασμένον τὸ ἔθνος ἡγέμεθα, ἀλλὰ τὸ β πλεονάζειν ἐνταῦθα οἰόμεθα. Αφαιρεμένε τοίνυν τῦ β, μένει τὸ ἔργαροι ἀπὸ τῦ ἔργοι, ὥσπερ καὶ τὸ ἔγγαροι ἀπὸ τῦ ἔγγροι· καὶ πλὴν τῆς μεταθέσεως τῶν ςοιχείων, αἱ δύο λέξεις ἐδενὶ ἀλλήλων διενηνόχασι.

Τίνες δὲ ἦσαν οἱ βέργαροι ἢ ἔγγροι ἢ ἐννογενδῦροι, ἢ ἄλλως ὅπως ποτ' ἂν ἄλλος καλεῖν αὐτὲς ἐθελήσειε, οἱ καὶ τῶν ἀρεομανέων γότθων ἀρεομανέςεροι, οἱ καὶ πρὸ τῦ ἔτες ἡμῶν μέχρις Αρμενίας λεηλατῦντες πᾶν τὸ προςυχὸν, ἱκόμενοι; Τίνες

δὲ καὶ οἱ Οὖννοι οἱ ὀλεθριώτατοι ξένοι, οὓς οἱ τὰς ἀρχὰς τῶν ἐθνῶν ἀναζητοῦντες σοφοὶ, οἱ μὲν, βορείους ἐθέλουσιν εἶναι, οἱ δὲ, ἑῴους, καὶ τοῖς κοσμοπεριφήμοις σιναίοις, καὶ γνωστοῖς μὲν νῦν, πάλαι δὲ ἠγνοημένοις, πολεμίους ὑπάρξαντας; Τίνες δὲ καὶ οἱ τοῦ Στράβωνος Οὖργοι οἱ πέραν τῶν ποτὲ βασιλείων σκυθῶν οἰκοῦντες, καὶ ἑπομένως πέραν Ταναΐδος; Ἐπεὶ οὖν οἱ ἄνθρωποι οὗτοι, μικρὰ πάμπαν γραμμάτων φροντίζοντες, ἁπλούστερα βιοῦν βουλόμενοι, καὶ ᾄσμασι τὰς θαυμασιωτέρας αὐτῶν πράξεις τοῖς μετέπειτα καταλείπειν ἀρκούμενοι, τοῦ θαυμαστοῦ τοῖς ἀνθρώποις εὑρέματος ὀλιγωροῦντες, ἢ μηδ᾽ ὅλως ἔννοιαν ἔχοντες, καὶ παρ᾽ ἄλλων αὐτοῖς προσφερομένου περιφρονοῦντες, καὶ παραλαβεῖν, ἀνοήτως ἀπαξιοῦντες· τὰ γράμματα λέγω, τὰ σημεῖα τῶν ἀεροβατουσῶν, καὶ διὰ τοῦτο ῥᾳδίον φευγητικῶν φωνῶν, τὰ γράμματα δι ὧν περ ὁ λόγος ἐμφαντικώτερον ἀποδιδόμενος παρίσταται, καὶ τοῖς μεταγενεστέροις, ὡσπερεὶ ζωγραφούμενος, ῥᾷον καὶ ἀσφαλέ-

ςερον παραδίδοται· ἐπειδὴ, φημὶ, γράμματα μὴ ἔχοντες, ἱςορίας τῶν σφετέρων πράξεων ȣ̓ κατέλιπον, καὶ τῶν συγχρόνων αὐτοῖς πεπαιδευμένων ἐθνῶν, πάντων σχεδὸν μικρȣ̃ λόγȣ παρὰ λόγον τὴν ἱςορίαν τῶν ἐθνῶν ποιȣμένων, τεκμαίρεσθαι ἐκ παντὸς τρόπȣ τὴν ἀλήθειαν ἀναγκαζόμεθα, ἐν μέσῳ θαλάσσης βιβλίων πλέοντες.

Εἴπωμεν τὸ παριςάμενον καὶ δοκȣ̃ν ἡμῖν διὰ τῶν προγενομένων καὶ ἐπιγενομένων διιδεῖν τὴν ἀλήθειαν πειρώμενοι; Οἱ βȣ̓́ργαροι, οἱ ȣ̃̔νοι, οἱ ȣ̃̔γγροι ἢ μοαγγȣ̃ροι συγγενῆ καὶ ἀδελφὰ δοκȣ̃σιν ἡμῖν ἔθνη τȣ̓́ρκοις, ἄλλα ἄλλοτε μὲν, ἐκ τῶν αὐτῶν δὲ τόπων τὸ πρῶτον τοῖς δυτικοῖς τῆς οἰκȣμένης, ἐκραγέντα μέρεσιν. Ἐςιν ἐν τοῖς ὑπερβορείοις μέρεσιν, ἐν ἀριςερᾷ εἰσπλέοντι εἰς τὴν περιώνυμον Πετρȣ́πολιν, τὴν ἐν τῷ μυχῷ τȣ̃ φιννικȣ̃ (μᾶλλον δὲ σȣομικȣ̃) κόλπȣ, ἐπὶ τȣ̃ Νέβα ποταμȣ̃ κειμένην, ἔθνος τι ἀλλότριον ῥȣ́σσων, φιννικὸν μὲν ὑπὸ τῶν ἄλλων, ἐπιχωρίως δὲ, σȣομικὸν καλȣ́μενον, καὶ ἡ χώρα Σȣόμα. Τȣ̀ς σȣό-

μες τέτες, τζιέτες καλέσιν οἱ ῥέσσοι, οἱονεὶ σκύθες. Αναρμοςεῖ δὲ πάμπαν τὸ φίννοι τοῖς τὰ βόρεια οἰκᾶσι τᾶδε τᾶ κόλπε, ὡς καὶ τὸ παίονες ἢ πάννονες τοῖς μοαγγυόροις, τοῖς τὰ κάλλιςα νεμομένοις παρίςρια· ὅθεν καὶ ἀποῤῥιπτέα ἐκ τῆς ἱςορίας τὰ τοιαῦτα ἀλλότρια ὀνόματα, ὡς πολλῆς αὐτῇ συγχύσεως πρόξενα. Τῶν δὲ σεόμων βορειότερον καὶ μέχρι τᾶ κατεψυγμένε Ωκεανᾶ καθῆκον, ἕτερον ἔθνος ὁρῶμεν, συγγενὲς πάντως καὶ ἀδελφὸν τοῖς σεόμοις· σάμοι ἔτοι ἐπιχωρίως ὀνομάζονται, καὶ Σαμελάδε ἡ χώρα, λαπονοὶ δὲ ὑπὸ τῶν ἀλλοτρίων. Ετι δὲ ἐν τῇ μεγάλῃ ἀρχῇ τῶν ῥέσσων πολλά εἰσιν ἔθνη ἀδελφὰ τοῖς σεόμοις, ἄλλα ἄλλως ὀνομαζόμενα, μάροι (τζερεμίσσοι ὑπὸ τῶν ἀλλοτρίων), τζεβάχοι, μορδβίνοι, ἔδοι ἢ ἐδκέρτοι (βοτυάκοι), τὰ πέραν τᾶ Βόλγα οἱ πλεῖςοι νεμόμενοι, μάνσοι (ἢ μοαγγοι ἴσως) (βογγέλοι) τὰ βόρεια τῶν ἐραλικῶν ὀρέων οἰκᾶντες, ἀσυάγοι (ὀςυάκοι) περὶ τὸν Γιὰγ (Ομπ) ποταμὸν καὶ τὰ λοιπά. Συγγενῆ

τȣτοις ἔτι ἔθνη καὶ οἱ τὰ νότια τȣ̃ σȣομικȣ̃ κόλπȣ οἰκȣ̃ντες ἐσθονοὶ καὶ λιφλανδοί.

Τȣτων πάντων τῶν ἐθνῶν αἱ γλῶσσαι ἐπὶ τοσȣ̃τον ἀλλήλαις καὶ τῇ τῶν ἡμετέρων μοαγγυόρων πλησιάζȣσιν, ὥςε ῥάδιον μοαγγȣ̃ορον καὶ μικρὸν προσέχοντα τοῖς λεγομένοις, συνιέναι λιφλανδȣ̃ διαλεγομένȣ, μικρὸν δὲ προσεκτικώτερον καὶ μετ' ἐπιςασίας ἀκȣ́οντι, ȣ̓δ' ὁ σάμος ἀκατάληπτος. Ἐςι δὲ καὶ δῆμος τις σȣομικὸς, (οἱ μάνσοι ἢ μοάγγοι κάλλιον) ȣ̃ καὶ τὸ ὄνομα συγγενὲς τῷ μοαγγȣ̃ορος ὀνόματι. Ουκȣ̃ν καὶ οἱ βορειότατοι καὶ, μικρȣ̃, πυγμαῖοι σάμοι, ταυτογενὲς ἔθνος εἰσὶ τοῖς καθόλȣ μεγαλοσώμοις μοαγγυόροις, τȣ̃ ὑπερβάλλοντος καὶ μακροχρονίȣ (δεκαμηνιαῖος γὰρ ἐν τῇ Σαμελάδε σχεδὸν ὁ χειμὼν καὶ δριμύτατος,) ψύχȣς καὶ τῆς τραχύτητος τȣ̃ κλίματος, συμπιεζόντων τρόπον τινὰ καὶ συσφιγγόντων τὰ σώματα, καὶ τὴν φυσικὴν διάςασιν καὶ ἀνάςασιν κωλυόντων, καὶ σμίκρυνσιν παρ' ἄνθρωπον προξενȣ́ντων.

*Τȣ̃το καὶ τῇ φυτικῇ φύσει συμβαίνει· καὶ γὰρ καὶ δένδρα, οἷς ἀνεκτὸν τὸ ἐκεῖ ψύχος, φύεται μὲν αὐτόματα, ȣ̓ τὸ αὐτὸ δὲ ἔχει ἀνάστημα, ὅπερ καὶ ἐν τῇ μεσημβρίᾳ τῆς Ευρώπης ὁρῶμεν, ἀλλ' εἰσὶ καὶ ταῦτα πυγμαῖα· καὶ βορειότερον ἔτι, ȣ̓δὲ φύεσθαι ἔχȣσι. Τὸ βορειότατον Σπιτζπὲργ (ὀξὺ ὄρος) ἄδενδρον πάντη καὶ ἄθαμνον καὶ ἄποον, καὶ ὅλος, ἄφυτον, ἐκτὸς τῆς πόας κοχλεαρίας, καὶ τȣ̃ καταστρωννύντος καὶ σκέποντος, δορᾶς μᾶλλωτῆς δίκην, ὥς φασι, τὴν ἐπιφάνειαν τῆς γῆς ἐν τοῖς ὑπερβορείοις μνίȣ ἢ βρύȣ. Ει γὰρ καὶ ἐν Παρισίοις καὶ ἐν τῷ Λαϋτζλὰνδ αἱ φυτευθεῖσαι πλάτανοι καὶ αἴγειροι ȣ̓κ αὐτόματοι ȣ̃σαι, πυγμαῖαι τρόπον τινά εἰσι, ταῖς τῆς Ελλάδος παραβαλλόμεναι, καὶ αἱ πλάτανοι ȣ̓κ ἔτι πλατυφίκομοι, ȣ̓τε μὴν αἱ αἴγειροι ὀξυφίκομοι, ὥσπερ καὶ ἐν Ελλάδι, τί δεῖ περιμένειν ἐν τοῖς ὑπερβορείοις, τȣ̃ ὑπερβάλλοντος ψύχȣς πάσῃ ζωῇ σχεδὸν ἀνθισταμένȣ.*

Μνημονεύσασι δὲ σεομαλαίνων καὶ τῶν λοιπῶν συγγενῶν ἐθνῶν, τὰ βόρεια τῆς Ρεσσίας νεμομένων, ἐς μνήμην ἦλθε τὰ ἐφεξῆς. Ἀρ' ἐχ ἔτως ἔχει καὶ πολλὰ ἄλλα ἔθνη τῆς Ευρώπης πρὸς τὲς προπάτορας αὐτῶν, ὥσπερ καὶ τὰ τῶν σεόμων; ὅ ἐςιν, ἄρ' ἐ καὶ ἐκεῖνα ἀπόγονοι τῶν κιμμερίων εἰσὶν, ὥσπερ καὶ ἔτοι τῶν Τύρκων; Οἱ πελασγοὶ ἐν πολλοῖς μέρεσι τῆς Ευρώπης, καὶ τῆς Ελλάδος περιήρχοντο, καὶ ἐπὶ Δευκαλίωνος ἐν τῇ Φθιώτιδι ἦσαν, καὶ μετὰ πολλὰς μεταναςάσεις, ἐλθόντες ἐς Πελοπόννησον, δωριεῖς ἐκλήθησαν. Ο Ευριππίδης φησὶν ὅτι ἐπιταγῇ τῶ Δαναῦ, δαναοὶ ὠνομάσθησαν. Κατῴκησαν δὲ καὶ τὴν Αττικὴν, καὶ οἱ κάτοικοι μετέπειτα, ἐλθόντων τῶν ἑλλήνων, διαλέγεσθαι ἑλληνιςὶ ἤρξαντο, ὡς λέγεσιν. Αλλ' ἄνευ ἐπιςάσεως ταῦτα λέγεσι, ταῖς ἀλλαγαῖς τῶν ὀνομάτων ἀπατώμενοι, καὶ ἕτερα ἔθνη ὑποτιθέντες. Αιολεῦσι δὲ οἱ πελασγοὶ ἦσαν μάλιςα μεμιγμένοι, ἀλλ' αἰολεῖς καὶ δωριεῖς πελασγῶν ἀπογόνες εἶναι, ἀλλάξαν-

τας ἐκ περιςάσεων τὰ ὀνόματα, πιϑανότερον λέγειν.

Ενδιητῶντο γὖν ἐν Ελλάδι καὶ πελασγοὶ καὶ λέλεγες, καὶ ϑρᾶκες καὶ ἕτεροι ὑφ' ἕτερα ὀνόματα, ὥσπερ νῦν ἐν Ρυσσίᾳ οἱ συόμοι, οἱ μάροι, οἱ μάνσοι καὶ οἱ λοιποί· ὗτοι μὲν, τύρκων ἀπόγονοι εἰσίν· ἐκεῖνοι δὲ, κιμμερίων. Τί δὲ βὔλεται σημαίνειν καὶ ἡ εἰς ἐν κατάληξις τῶν ἀπαρεμφάτων τῆς δαΰτζικῆς γλώσσης ἢ γοτϑικῆς, καὶ τῆς τῶν δωριέων; Ονομάσωμεν καὶ τὖτο τυχηρὰν σύμπτωσιν; ἀλλὰ διὰ τὴν βίαν, πιϑανότητος πάσης ἐκτὸς πίπτει ἡ σύμπτωσις. Τί δὲ σημαίνειν βὔλεται καὶ ἡ ταυτότης πολλῶν λέξεων ἔν τε τῇ δαΰτζικῇ γλώσσῃ καὶ ἐν τῇ ἑλληνικῇ τῇ παλαιᾷ μάλιςα; Εἴπωμεν ὅτι τυχηρὸν καὶ τὖτο; Αλλ' ὖτω ῥαδία τῦ παντὸς ἡ ἐξήγησις, καὶ λανϑάνομεν ἑαυτὖς, ὀχλικοὶ καὶ χυδαῖοι ἐξηγηταὶ γινόμενοι. Ιδὖ ἀπὸ πολλῶν τινες λέξεις, αἵ τινες αἱ αὐταὶ καὶ παρὰ τοῖς δαΰτζοις, λεγεν, ςένεν, ἔσεν, ἀμέλγεν, ῥῆσσεν, ςεῖχεν, κύσεν, ἀρχὴ, ϑυρα, φαῦ-

λος, θὴρ, ἀρχὸς, πῦρ, πύργος καὶ τὰ λοιπά.

Τὲς κιμμερίες σκυθικὸν ἔθνος ἐκ παραδόσεως οἴδαμεν· ὠνομάζοντο δ' αὐτοὶ καὶ τρῆραι, φησὶν ὁ Ευςάθιος. Τρῆραι δὲ θρᾶκες εἰσὶ, φησὶν ὁ Στράβων. Αρα καὶ οἱ θρᾶκες κιμμέριοι. Ωκησαν δὲ καὶ οἱ θρᾶκες διάφορα μέρη, καὶ Αττικὴν καὶ Βοιωτίαν, σκυθικῶς ἢ κιμμερικῶς ἢ πελασγικῶς καὶ αὐτοὶ περιφερόμενοι, καὶ γυναῖκας ὠνίες εἶχον, πάντως σιαμαϊςαὶ τυγχάνοντες. Οὐκῦν ἐν τῇ τῶν ἐκ τῦ βορείε τῆς Ασίας εἰς τὴν Ευρώπην κιμμερίων ἐκρήξει, θάλασσα ἦν ἀπὸ βοσπόρε μέχρι τῆς Αραλίας, καὶ οἱ κιμμέριοι πολὺ βορειότεροι τῶν μετὰ ταῦτα, πολὺ ὑπὲρ τῶν νῦν ἐκβολῶν, διαβαίνοντες τὸν Βόλγαν, εἰσήλασαν ἐς τὴν Ευρώπην, καὶ πιθανῶς εἰς τὰ βόρεια αὐτῆς πρότερον κατεσκήνωσαν· καὶ μὴ οἷε ἐδὲ τὰ βόρεια πρὸ τῶν κιμμερίων ἀκατοίκητα εἶναι παντάπασιν.

Αρ ὖκ ἔχει τις σὺν λόγῳ εἰκάσαι, μᾶλλον δὲ, τεκμήρασθαι ἐκ τὖτων, ὅτι αἱ ὖνογορικαὶ φυλαὶ, αἱ ἐν μέρει πάντως ὑπὸ τῶν σαβίρων, ἐκ τῶν πέραν τῦ Βόλγα ἐξελαθεῖσαι, ἐξ ὧν καὶ οἱ κὖτὖργὖροι, καὶ οἱ ὖτὖργὖροι, καὶ οἱ βὖργαροι καὶ οἱ ὖγγροι, ἔτι δὲ καὶ οἱ πρὸ Χριςῦ βὖργαροι, οἱ μέχρις Αρμενίας ἱκόμενοι, καὶ οἱ πέραν Ταν άδος ὖργοι, πάντως καὶ οἱ ὖννοι, βορειότερα ᾤκὖν καὶ ἀπὸ τῶν σὖομικῶν φυλῶν, δἰ ἀναφυείσας ςάσεις ἢ δἰ ἄλλο τι ἀποχωρισθέντες, ἐς τὰ μεσημβρινώτερα ἐξεῤῥάγησαν; Ο ἐπιγενόμενος χρόνος ἤνεγκεν ἡμῖν πολλὰ παραπλήσια παραδείγματα. Επεὶ δὲ καὶ ἡ τυρκικὴ γλῶσσα ἀδελφή πως δοκεῖ τῇ τῶν μοαγγυόρων, ἄρ᾽ ὖκ ἔχει τις σὺν λόγῳ συνάγειν, ὅτι καὶ οἱ μοαγγῦοροι συγγενὲς ἔθνος τοῖς τύρκοις τυγχάνὖσιν; Εῶ λέγειν ὅτι οἱ μοαγγῦοροι τῦρκοι ὑπὸ τῶν κωνςαντινὖπολιτῶν ἐκαλῦντο· ἴσως γὰρ ὡς ἀναμεμιγμένὖς ἐν τοῖς περὶ τὸν Τάναϊν τὖρκοις (τοῖς χαζάροις) καὶ ὑπηκόὖς αὐτοῖς ὑπάρχοντας, τύρκὖς

καὶ αὐτὰς ὅτως, ἀπεριεργότερον ὠνόμασαν οἱ κωνςαντινεπολῖται, καὶ ἐν τῷ παρὰ τᾶ αὐτοκράτορος τῶν κωνςαντινεπολιτῶν, τῷ βασιλεῖ τῶν μοαγγυόρων πεμφθέντι ςεφάνῳ, ᾧ ςέφονται καὶ μέχρι τᾶ νῦν οἱ βασιλεῖς μοαγγῦροι, ὁ βασιλεὺς ῥωμαίων τῷ βασιλεῖ τῶν τούρκων, ἑλληνιςὶ ὅτως ἐπιγέγραπται. Ἀλλὰ τῇ τῶν μοαγγυόρων γλώσσῃ, ὡς ὑπηκόων τοῖς τύρκοις πολλαὶ ἐσέφρησαν λέξεις. αλλὰ γὰρ τῆς τῶν μοαγγυόρων γλώσσης ἀδελφῆς ὅσης τῇ τῶν σεόμων, εἴπωμεν ὅτι τὸ αὐτὸ συνέβη καὶ τῇ σεομικῇ γλώσσῃ; ἀλλ' ἀπόριςον ὅτω πάντη τὸ πόρισμα, πολὺ πρότερον ἐνταῦθα τῶν σεόμων ἱκομένων, καὶ μηδεμίαν μηδέποτε μετὰ τῶν ἡμετέρων τύρκων ἐπιμιξίαν σχόντων· ὅμὴν ὅδὲ μογγόλες ἐς τὰ περὶ Βαλτικὴν ἱκομένες βλέπομεν. Καταναγκάζει ἄρα ἡμᾶς ὁ λόγος ὅτως, καὶ τὰς σεόμες καὶ τὰ παραπλήσια αὐτοῖς ἔθνη, ὡς τυρκικὰ ὁρᾶν καὶ ἀποφαίνεσθαι, τὸ τύρκος καθόλε ὄνομα τῶν συγγενῶν τέτων ἐθνῶν ἐκλαμβάνοντας. Τί δὲ καὶ τῷ τυρ-

κιλίγγοι (ἀπόγονοι τύρκων) τȣ̃ Ιορνάνδȣ, καὶ τῷ τῦρκοι τȣ̃ Πλινίȣ τεκμαρȣ́μεϑα; Η τῶν σκανδιναβῶν ἱερὰ βίβλος λέγει, τῷ Οδιν ἐρχομενῳ ἢ ἐπανερχομένῳ ἐξ Ασίας (ἐν τοῖς χρόνοις τȣ̃ Πομπηίȣ) συνώδευσαν οἱ τῦρκοι. Ην δὲ ὁ Οδιν τῶν σκανδιναβῶν, ὥςπερ καὶ ὁ Μωάμεϑ τῶν ἀράβων, νομοϑέτης ἢ καὶ ἀνώτερόν τι νομοϑέτȣ, ὥςπερ ϑεὸς γεραιρόμενος.

Τȣ́τȣ ȣ̃ν ȣ̈τως ἔχοντος, ἆρ' ȣ̓κ ἔχει τις ὀρϑῶς λέγειν, ὅτι καὶ τὰ σȣομικὰ ἔϑνη, συγγενῆ τοῖς τύρκοις ὄντα, ἐν τοῖς ὑπὲρ τῆς Σίνης ἀναβρασμοῖς, ἐκ τῆς μεγάλης Σκυϑίας καὶ αὐτὰ ἐς τὰ δυτικὰ καὶ βόρεια ἐξεῤῥάγησαν, προπορευόμενα τῶν ἡμετέρων τύρκων, τῶν τȣ́ρκων τῆς Βυζαντίδος, καὶ ἀπὸ τῶν βορείων ἔπειτα ὡσπερεὶ κατ' ἀποτρόπαιον ὀπτικὴν ἀντανάκλασιν ἐς τὰ μεσημβρινὰ ἐκπλημμυρήσαντα; Ουδεῖ ἐγγενέα βόρεια ἔϑνη οἴεσϑαι, ὅσα ἐκ τῶν βορείων ἐκραγέντα καὶ ὁρμήσαντα οἴδαμεν. Τοιαύτας ἀνακλαςικὰς ἐκρήξεις καὶ ὁρμὰς,

κὰν τοῖς μετέπειτα χρόνοις οἴδαμεν· καὶ οἱ μογγȣ̃λοι τῆς ταυρικῆς καὶ τῶν περὶ Τάναϊν πολυαρίθμῳ ςρατῷ περὶ τὰς πεντήκοντα μυριάδας, ἐντεῦθεν βοῤῥῆθεν ἐκραγέντες, ἑτέροις μογγȣ́λοις ἐκ νότȣ ὁρμήσασιν, ȣ̓κ ἐλάσσοσι τὸν ἀριθμὸν, ἀγομένοις ὑπὸ τȣ̃ περιφήμȣ Τιμȣ̀ρ μπέη, ἐν τοῖς δυτικοῖς παρακασπίοις περὶ τὸν Τερὲκ ποταμὸν συῤῥαγέντες, ἐμαχέσαντο μεγάλην μάχην· ὅτε καὶ ὁ Τιμȣ̀ρ μικρȣ̃ πρῶτον, ἀπελπισθεὶς τῆς νίκης, ἀναθαῤῥήσαντος τȣ̃ ςρατȣ̃, ἐνίκησεν ὁλοσχερῶς τȣ̀ς πολεμίȣς, καὶ ἀναβὰς ἐπὶ ὑψώματος, περικείμενον ἅπαντα τὸν ςρατὸν προσεκύνησε γονατίσας, ἐμφαίνων αὐτῷ παγκοίνως ȣ̃τως τὴν αὐτȣ̃ πρὸς αὐτὸν εὐγνωμοσύνην. Ορῶμεν τȣ̀ς φοβερȣ̀ς μογγȣ́λȣς οὐ μόνον μέχρι τȣ̃ ἀδριατικȣ̃ κόλπȣ ἐκ δυσμῶν, καὶ μέχρι Συρίας, ἐκ μέσης ἡμέρας καὶ προσωτέρω ἐπιλυσσοδρομȣ̃ντας, ἀλλ᾽ ἐκ βοῤῥᾶ καὶ μέχρι τȣ̃ κατεψυγμένȣ Ὠκεανȣ̃ ἱγμένȣς, καὶ νῦν ἔτι τȣ̀ς ἀπογόνȣς αὐτῶν ἐν τοῖς ὑπερβορείοις τῆς Ῥȣσσίας ἱδρυμένȣς, καὶ ὑπὸ

τὸ σκῆπτρον τῆς μεγάλης ταύτης ἀρχῆς ἐν εὐτυχίᾳ ἀσμένως διαιτεμένες.

## Α β α ρ ο ι.

Ἐκπονηθέντων δὲ ταῖς κατ' ἀλλήλων λυσσομαχίαις τῶν ἐνογερικῶν φυλῶν, αἷς καὶ τὸ τῶν χαζάρων ἔθνος ὑπήκοον, τὸ μετὰ ταῦτα, ὥσπερ κατιόντες ὀψόμεθα, τὲς ἐννογερικὲς δήμες ὑποχειρίες ποιησάμενον, οἱ ἀνατολικώτατοι ἄβαροι, ἀπωθὲντες καὶ ἀπωθέμενοι, ὡς ἐν κλύδωνι τῶ Πόντε τὰ ἀλληλωθέμενα πελώρια καὶ ἴσα ῥάχεσι κατορῥωδἕντες καὶ ἀγωνιῶντες ἐβλέπομεν κύματα, καὶ ἱκόμενοι τέλος, ὑπερισχύεσι, καὶ, περὶ τὸ ἑξηκοςὸν τρίτον ἔτος τῆς ἕκτης ἑκατονταετηρίδος, τὸ κράτος ἐν Ρεμενίᾳ διαδέχονται. Φαίνεται δὲ ὅτι οἱ ἄβαροι τοῖς ἐνογερικοῖς ἔθνεσι διὰ τὸ ἀρεϊκὸν αὐτῶν καὶ φιλοπόλεμον, ὡς φίλοις μᾶλλον καὶ ὡς συμμάχοις ἐχρῶντο, ἢ ὡς εἰ ἦσαν ὑπήκοοι· καὶ γὰρ ὁρῶμεν, τῶν ἀβάρων τὸ κράτος ἐχόντων, ἡγεμόνας καὶ ςρατηγὲς βεργάρων βεργάρες, καὶ ποτε καὶ ἐκ περιόδε ἑκατέ-

ρυς, ἡγεμονεύοντας. Οι δὲ βύργαροι πάλιν ἐν τοῖς ἀβάροις ἢ ὑπὸ τὺς ἀβάρυς, ἐπὶ λεηλασίᾳ Ιταλίαν, Θρᾴκην τε καὶ Ιλλυρίδα ἐπιτρέχυσι, καὶ τῶν σαβίρων αὐτοῖς προςεθέντων, ὁ λῃςρηγεμὼν, ὅτε μὲν ἐκ τῶν σαβίρων, ὅτε δὲ ἐκ τῶν βεργάρων, ἐψηφίζετο. Καὶ ἠδύναντο μὲν ἐν τοῖς δυτικωτέροις πυ ἐμφωλεῦσαι, λῃςήριον ἀλλάσσοντες, ἠγάπων δὲ τὺς φωλεὺς αὐτῶν ἐν τῇ δευτέρᾳ Βυργαρίᾳ, τῇ ἀναμεταξὺ Βορυσθένυς τε καὶ Τανάϊδος.

Οι δὲ ἄβαροι τὸ κράτος ἔχοντες, προχωρῦσι καὶ τὰ ἐντὸς τῦ Ιςρυ πᾶντα ποιῦνται τάχιςα ὑποχείρια. Τῶν δὲ σλαβικῶν ἐθνῶν, τινὰ μὲν γνωρίζοντα τὴν ἡγεμονίαν αὐτῶν, συςρατεύειν ἢ δυλεύειν αὐτοῖς ἠναγκάσθησαν· τινὰ δὲ, ὑψηλότερα ἴσως φρονῦντα, ἐς τὰ βόρεια, ὅθεν ἐξῆλθον, τοῖς συόμοις ὑποταγῆναι μὴ θέλοντα, ἀνέςρεψαν. Οι δὲ καταμείναντες σλάβοι, τοῖς ἀβάροις ὑποταγέντες, γίνονται αὐθαδέςεροι, καὶ τὴν τῶν κωνςαντινυπολιτῶν χώραν ἐπιτρέχοντες, σχληρότεροι αὐτοῖς καθί-

ςαντο. Περαιῦται κατ' αὐτῶν τὸν Ἴςρον, ὁ πόῤῥω Σιλίςρας, Πρίσκος ἀρχιςάτηγος τῶν κωνςαντινοπολιτῶν, καὶ τὸν ἀρχιληςὴν σλάβον ἀφαιρεῖται τὴν λείαν, ἣν ἐκ τῆς τῶν κωνςαντινοπολιτῶν γῆς ἐς τὰ ἴδια ἐκομίζετο. Διαμοιρᾶ τὸν ςρατὸν ἐς λόχους, λεηλατεῖν ἐπιτρέχων τὴν χώραν βουλόμενος. Διαβαίνει τὸν Ελιβακίαν ποταμὸν (τὸν Σιρέτην ἴσως). Πλανᾶται. Επιςρέφειν ὀπίσω ζητεῖ. Οδηγούμενος δὲ ὑπό τινος χριςιανοῦ γεπίδου· (οἱ γὰρ σλάβοι ἐν δυσβάτοις καὶ ἀποκρύφοις καὶ παραβύςοις, ὥσπερ θῆρες ἐφώλευον,) καὶ περάσας τὸν ποταμὸν Πασπύριον, (τὸν Προῦτον ὡς ἔοικεν), νυκτὸς ἐπιπίπτει τῷ ἀχρηγῷ αὐτῶν Μουσεργίῳ, τῷ ἀδελφῷ αὐτοῦ μετὰ τῶν ἐπισήμων τοῦ γένους τὴν πυροκηδείαν ποιουμένῳ, καὶ οἰνοποσίᾳ ζωρότερον ἐπισκυθίζοντι, τὸν θανόντα τιμῶντι, καὶ ἀποκτείνει τοὺς συνεςιωμένους ἐν μέσῳ συμποσίῳ, τιννύμενος αὐτοὺς, δι' ἃ πεποιήκεσαν κακὰ τοὺς κατοικοῦντας τὴν τῶν κωνςαντινοπολιτῶν ἐπικράτειαν, καὶ ἀναχωρεῖ πέραν τοῦ Ἴςρου.

Εν δὲ τῷ ἐφεξῆς ἐνιαυτῷ διαβαίνει πάλιν τὸν Ιςρον, τῇ παντελῇ καταςροφῇ τῶν σλαβίνων, ἠρεμίαν προξενῆσαι τοῖς πέραν τȣ Ιςρȣ βȣλόμενος, ἀλλ᾽ ἀπειθȣντων τῶν ςρατιωτῶν καὶ αὐθαδιαζόντων, ἀναχωρεῖ ἄπρακτος. Διαβαίνει πάλιν καὶ ἐν τῷ ἐφεξῆς ἑτέρῳ ἐνιαυτῷ, ἀλλὰ τῶν σλάβων ἐς τȣς ἀποκρύφȣς τόπȣς αὐτοῖς ἀνακεχωρηκότων, ἐξευρεῖν αὐτȣς αὐτῷ ὑπῆρξεν ἀδύνατον.

Μετὰ ταῦτα διαδέχεται τὸν Πρίσκον Πέτρος ἀδελφὸς τȣ Μαυρικίȣ, ὅστις διὰ περιφάνειαν βίȣ καὶ λαμπρότητα καταςάσεως, ἔλαθεν ȣμόνον ἑαυτὸν ἀρχιςρατηγίαν, πρᾶγμ᾽ οἱ ὑπὲρ δύναμιν, μετιὼν, ἀλλὰ καὶ τὸν ἀδελφὸν ἀναξίως τὰ ὑπὲρ αὐτὸν αὐτῷ ἐμπιςεύοντα· ἤ, εἴπωμεν τἀληθέςερον, διὰ περιφάνειαν καὶ λαμπρότητα καταςάσεως περιφανές τι καὶ λαμπρὸν ὁ ἄθλιος διαπράξασθαι ἐφαντάζετο, καὶ ὁ ἀδελφὸς ἀντὶ ςρατηγικῆς ἀρετῆς, ἱκανὴν ἡγεῖτο βασιλικὴν ἀδελφότητα, καὶ ἀπέςειλεν αὐτὸν ἡγεμόνα τȣ ςρατȣ, ὃν ἔδει ἡγεμόνα χορȣ τινος καὶ συμποσίȣ καταςῆσα-

σθαι. Ορᾶς ἀναγνῶςα τὰ τῆς τρυφῆς ἀποτελέσματα; Αὐτίκα ὂν πέραν ἔτι τȣ͂ Ιςρȣ μὴ πολεμίοις ἀνθρώποις, ὡς πολεμίοις ἐχρήσατο· καὶ ἐπὶ τȣ́τῳ ὑπὸ μομφὴν γενόμενος παρὰ τῳ ἀβαράρχῳ, παρὰ γνώμην αὐτȣ͂ καὶ ἀγνοȣ͂ντος πεπρᾶχθαι ταῦτα, ἔλεγε, δίκην ἀνδραπόδȣ καταψευδόμενος, καὶ ȣ̔́τως ἑαυτὸν ἐδείκνυ χαμερπȣ͂ς καὶ ἀγενȣ͂ς χαρακτῆρος ἄνθρωπον, καὶ παρὰ τοῖς σωφρονȣ͂σι περιφρονησεως ἄξιον. Διαβαίνει τὸν Ιςρον, καὶ βιασάμενος τὴν ἀπόβασιν, τὸν σλάβον ἄρχοντα ἔκτεινε. Κρύπτονται οἱ σλάβοι, ὥσπερ ἔθος αὐτοῖς, ἐν δυσβάτοις τόποις, καὶ αὐτὸς λεηλατεῖ πᾶσαν τὴν πλησιόχωρον χωραν, πάντως ȣ̓δὲ τῶν ἡμετέρων ῥȣμένων τῶν ἡσύχων θεραπόντων τȣ͂ Πανὸς καὶ τῆς Δήμητρος φειδόμενος. Τέλος, ἡττᾶται ὑπὸ τῶν σλάβων, δείξας λῃςȣ͂, ȣ̓μὴν ςρατηγȣ͂ ἀνδρὸς ἐπιτηδειότητα, καὶ διαβαίνει ἐς τὰ πέραν τȣ͂ Ιςρȣ κατῃσχυμμένος. Περὶ τȣ͂τον τὸν χρόνον ὁ ἀβαράρχης ἐπὶ τȣ̀ς φράνκȣς πορεύεσθαι ἔγνωκε, καὶ δολιχὸν ἀνύσας ὁδὸν, ἐς τὸ Θύριγγεν, ȣ̓

πόῤῥω τοῦ περιωνύμου νῦν ἐμπορείου τῆς Λειψίας, ἵκετο. Αλμπρουνιχὶλδ δὲ ἐπιτροπευούση τηνικαῦτα, Θευδεμπὲρτ καὶ Θευδερὶχ τῶν τοῦ τεθνηκότος Χιλδεμπὲρτ βασιλέως παίδων ἀνηλίκων ὄντων, χρυσίῳ ἐξιλεωθεὶς ἐς τὰ παρίστρια ἀνεχώρησε.

Μαυρίκιος δὲ ὁ αὐτοκράτωρ τὰ ἀτυχήματα τοῦ ἀδελφοῦ πυθόμενος, Πρίσκον αὖθις, πάντως καὶ μὴ θέλων, ἐν τοῖς παριστρίοις ἀναδείκνυσιν ἀρχιστράτηγον. Εν τούτῳ τῷ χρόνῳ τοῦ ἐννενηκοστοῦ ἑβδόμου ἐνιαυτοῦ τῆς ἕκτης ἑκατονταετηρίδος ἡ δύναμις τῶν ἀβάρων ηὐξήθη ἐκ τῶν ἐξ ἔω ἑγμένων λαῶν· περὶ γὰρ τὰς ἑκατὸν χιλιάδας, ταρνιάχοι, χαζάροι, βάροι, οὖννοι, ταβένδοι, ὑπὸ τῶν τύρκων ἀπωσθέντες ἐκ τῶν περὶ Βόλγαν καὶ τῶν ὑπὲρ τὴν Μαιῶτιν τόπων, ἐς Ρουμουνίαν ἵκοντο. Ερχεται γοῦν Πρίσκος ἐς τὸν Ιστρον, καὶ ὃν, οὕπω δύο ὅλους ἐνιαυτοὺς καταλελοίπει στρατὸν, ἐξασθενοῦντα ὅλως καὶ ἀψυχοῦντα παραλαβὼν, περιφρονεῖ τὰς αὐξηθείσας δυνάμεις τῶν ἀβάρων, καὶ ἐν αὐταῖς λαμπρότερα ὁρᾷ κα-

τορθώματα. Περαιῦται θαῤῥαλέως παρὰ τὴν εἰρήνην τὸν Ιςρον καὶ αἰφνηδίως ἐν τοῖς δυτικοῖς τῆς Κραϊόβης φαίνεται. Οδ' ἀβάραρχος Μπαϊὰν, τὸν Πρίσκον μᾶλλον ἢ τὸν κωνςαντινȣπολιτικὸν ςρατὸν φοβȣ́μενος, κινεῖσθαι μὲν ἐπ' αὐτὸν ȣ̓κ ἐβȣ́λετο ἢ ȣ̓κ ἐθάῤῥει, μέμφεται δ' αὐτῷ τὰς συνθήκας παραβαίνοντι, καθ' ἃς ὁ Ιςρος ὅριον ἦν. Πρίσκος μάλα ἀγερώχως ἀπεκρίνατο, ὅτι ἐν τῇ τῶν κωνςαντινȣπολιτῶν παλαιᾷ χώρα εἴη, μηδὲν ἄλλο ποιεῖν, ἀλλ' ἢ διατριβῆς χάριν θηρᾷν βȣλόμενος, καὶ παρασπονδεῖν τȣ̃το ȣ̓κ εἴη.

Ο δ' ἀβάραρχος ἐπιτεθῆναι αὐτῷ δεξιῶς ἐςρατοπεδευμένῳ δυσχερὲς οἰόμενος, διαβαίνει τὸν Ιςρον, καὶ ἐς τὴν γῆν τῶν κωνςαντινȣπολιτῶν ἐμβάλλει μετὰ δυνάμεως, καὶ Σιγηδόνα ἐξ ἀπροόπτȣ αἱρεῖ καὶ κατασκάπτει. Πρίσκος μένει ἐν τῷ αὐτῷ τόπῳ. Ο ἀβάραρχος ἐς λόγȣς σὺν αὐτῷ ἐλθεῖν βȣ́λεται. Πρίσκος πρὸς ταῦτα ἀλαζονικῶς ἀποκρίνεται, ὅτι αὐτὸς πρὸς τὸν αὐτοκράτορα ἀγνω-

μόνως φέρεται, κωνςαντινεπολιτικὴν χώραν παραλόγως σφετεριζόμενος, ἱκέτης ξένος πρὸ ὀλίγε ὑπάρξας. Ἀπειλεῖ ἐπὶ τέτοις ὁ Ἄβαρος τὰ πέραν τε Ἴςρε πυρπολῆσαι πάντα, καὶ φρερὲς ἐν Σιγηδόνι βεργάρες καταλιπὼν, ἐσβάλλει ἐς τὴν Δαλματίαν, καὶ πᾶν τὸ προςυχὸν λυμαίνεται καὶ λεηλατεῖ. Πρίσκος διώκει ἐκ Σιγηδόνος τὲς βεργάρες καὶ τὴν πεμπομένην λείαν τῶν ἀβάρων ἐς τὰ ἀριςερὰ τε Ἴςρε ὑπὸ δύο χιλιάδας ἀνδρῶν ἐνόπλων αἱρεῖ, καὶ ἐκφοβεῖ ἕτω τὸν ἄβαρον, ὥςε τάχιςα ἐς τὴν ἀρχὴν αὐτε ἀφικέσθαι.

Τῷ δὲ ἐφεξῆς ἔτει Πρίσκος μὲν συμπλακήσεσθαι ἐς μάχην τῷ ἀβάρῳ ἐντὸς τε Ἴςρε ἤλπιζε, καὶ πάντα ἐπὶ τέτῳ ἐποίει· ὁ δ᾽ ἀβάραρχος φεύγων τὴν μάχην, λείαν ἐᾷ τὰ ἑαυτε ἐντὸς τε Ἴςρε τῷ Πρίσκῳ, καὶ διαβαίνει τὸν ποταμὸν καὶ τὴν Τόμιν ἐν τῇ μικρᾷ Σκυθίᾳ πολιορκεῖ. Πρίσκος δρῶν τὰς δυνάμεις μείες ἢ ὥςε κατακτήσασθαι τὴν ἀρχὴν τῶν ἀβάρων, καταλιπὼν τὰ ἐντὸς τε Ἴςρε, παρὰ τὸν πολιορκεντα ςρα-

τοπεδεύει, ἐκβιάσασθαι αὐτὸν ἱκανὰς μὴ ἔχων δυνάμεις. Ο ἀβάραρχος ἕτερον ϛρατηγὸν τῶν κωνϛαντινȣπολιτῶν, ἐφ' ᾧ ἤλπιζον οἱ πολιορκȣμενοι, νικᾷ, καὶ ἐς φυγὴν τρέπει, καὶ πανικὸς φόβος τȣς κωνϛαντινȣπολίτας καταλαμβάνει, ἡνίκα καὶ κοινῇ καὶ ξένῃ παντάπασι γνώμῃ, μετοικίσαι τὴν πόλιν τὴν τῆς ἀρχὴν μητρόπολιν ἐς τὴν Ἀσίαν, παρεσκευάζοντο. Ἀλλὰ γὰρ αὐτίκα ἔπειτα, λοιμȣ̃ ἐνσκήψαντος τῷ ἀβαρικῷ ϛρατῷ, πράγματος συνήθȣς, καὶ συχνὰ τοῖς ϛρατοπέδοις συμβαίνοντος, καὶ ἑπτὰ παίδων τȣ̃ ἀβαράρχȣ ἀποθανόντων, ἐς εἰρήνην αὐτὸς ȣ̔́τως συγκατανεύει, καὶ μισθῷ ταύτην τοῖς κωνϛαντινȣπολίταις δίδωσι. Τηνικαῦτα ὁ ἀβάραρχος πολλὰς χιλιάδας αἰχμαλώτων ἡβηδὸν κατασφάξαι ἐπέταξε, τȣ̃ ἀσεβȣ̃ς Μαυρικίȣ διὰ ῥυπαρὰν φειδωλίαν καταβαλεῖν μὴ βȣληθέντος, ȣ̓δ' εὐτελὲς ἀργύριον ἀνὰ ἕκαϛον, ȣ̓δὲ πεμπτημόριον πȣ ὀλλανδικȣ̃ χρυσίȣ.

Τῷ δ' ἐπιόντι ἐνιαυτῷ διαλῦσαι Πρίσκος τὴν εἰρήνην ἐπιταχθεὶς, περαιȣ̃ται

τὸν Ἴςρον. Ἰδὲ τί φησὶν ὁ Θεοφύλακτος περὶ τῦ Πρίσκυ. Πρίσκος διαβὰς τὸν Ἴςρον (ἐν Μπανὰτ) νικᾷ τὸν Χάγανον τῶν ἀβάρων τρισὶν αἱματώδεσι μάχαις, καὶ τετάρτῃ παρὰ τὸν Τισσὸν ποταμὸν. Εἶτα ὑποςρατηγοῖς διανήξασθαι τὸν Τισσὸν αὐτῦ κελεύσαντος, ὗτοι περαιωθέντες τὸν ποταμὸν, περιπίπτυσιν ἀπροσδόκητοι τοῖς βαρβάροις, καὶ πολλὰς χιλιάδας κτείναντες καὶ προνομὴν μεγάλην ποιήσαντες, πρὸς Πρίσκον ἐπέςρεψαν, τὸν ποταμὸν ἀντινηξάμενοι. Στρατολογεῖ πάλιν ὁ Χάγανος καὶ περὶ τὸν ποταμὸν συναγείρει μεγάλας δυνάμεις. Πρίσκος δὲ παλιννοςεῖ περὶ τὸν ποταμὸν, καὶ γίνεται μάχη μεγάλη κατὰ τῦτον τὸν χῶρον, καὶ θριαμβεύει ὁ Πρίσκος. Πίπτυσιν ἐνταῦθα πολλοὶ ἄβαροι καὶ σλάβοι, πνίγονται δὲ ὐκ ὀλίγοι. Αἰχμάλωτοι δὲ ἦσαν τρεῖς χιλιάδες ἄβαροι καὶ ὀκτὼ χιλιάδες σλάβοι, (πάντως προμαχόμενοι, φειδομένυ τῦ Χαγάνυ τῶν ἀβάρων. Ὅρα, φίλε, οἷα πάσχυσιν, ὅσοι δι' ἀνανδρίαν καὶ βλακίαν ὑπὲρ πατρίδος ὐ θέ-

λεσιν ἀμύνεσθαι.), ᾐχμαλωτίσθησαν δὲ καὶ ἄλλοι βάρβαροι. Ταῦτα φησὶν ὁ Θεοφύλακτος. Τηνικαῦτα δὲ καὶ τέσσαρες παῖδες τȣ͂ Χαγάνȣ, οἷς αἱ προφυλακαὶ παρὰ τȣ͂ πατρὸς ἐνεπιςεύθησαν, ἐν λίμνῃ τινὶ μετὰ πολλῶν, φεύγοντες τȣ̀ς ἐπερχομένȣς σφίσι πολεμίȣς, ἀπόλλυνται.

Πρίσκος πάντως ἄριςος ςρατηγὸς ἦν, καὶ τῶν παλαιῶν ἑλληνικῶν ἡρώων γνήσιος ἀπόγονος, πρᾶγμα σπάνιον καὶ θαῦμα ἐν διεφθαρμένοις βασιλείοις. ἀλλ' ἔαρ χελιδὼν ȣ̓ καθίςησι μία, μὰ τὴν ἀλήθειαν, ȣ̓δὲ δύο, ȣ̓δὲ τρεῖς ἐνίοτε· καὶ ἐν τοιȣ́τοις τοιȣ́τȣς εὐδοκιμεῖν καὶ πράττειν τι λαμπρὸν καὶ σωτήριον, δυσχερέςατον· ἐν γὰρ διεφθαρμέναις αὐλαῖς, ȣ̓δὲν ȣ̃τω μισητὸν καὶ ἐπιβȣλευτὸν, ὡς αὐλικὸς διὰ ὁποιανȣ͂ν ἀξιότητα καὶ ἀρετὴν ἐπίσημος. Οἱ μὲν γὰρ ὑποπτεύȣσιν αὐτὸν ὡς τοῖς σφῶν συμφέρȣσιν, ἅπερ τῆς πατρίδος ȣ̓κ ἔςιν, ἐναντιȣ́μενον ἢ ἐναντιωθησόμενον. οἱ δὲ, διὰ φθόνον, τὴν ἀρετὴν αὐτȣ͂ ȣ̓χ ὑποφέρȣσι· καὶ σύμπαντες παντοίαις μηχαναῖς εἰς ὄλε-

θρον αὐτȣ̃, ἡμέρας καὶ νυκτὸς ȣ̓ παύονται χρώμενοι, τυρεύοντες, συῤῥάπτοντες, ἐπιβȣλεύοντες, ἄχρις ἂν τȣ̃ σκοπȣ̃ αὐτῶν, ὡς γύπες μυσαροὶ, ἐπιτύχωσι, τὸν θάνατον τȣ̃ ἐπιβȣλευομένȣ, ὅπως ἂν δύνωνται, διαπράξωνται· Πρίσκος, ὁ καὶ βασιλείαν ἔπειτα προσφερομένην οἱ μὴ δεξάμενος, μὴ δυνάμενος πρᾶξαι τι λαμπρὶν ἐντὸς τȣ̃ Ἴςρȣ, καὶ ςρατοπεδεύειν ἀναγκαζόμενος πέραν τȣ̃ Ἴςρȣ, πάντως διὰ τὰς ἐπιβȣλὰς αὐτῶν καὶ δολοπραξίας καὶ κακοτεχνίας ȣ̓κ ἠδύνατο. Τοιȣ̃τον ἡ διαφθορὰ ἑνὸς λαȣ̃, καὶ ὁ ὄλεθρος, τὸ ἑπόμενον, ἄφευκτος.

Μετὰ ταῦτα ἀναλαμβάνει πάλιν τὴν ςρατηγίαν ὁ Πέτρος, ςρατȣ̃ τάχα ἀνδραγαθίας ῥαδίως οἱ ἀπονέμεσθαι οἰόμενος, καὶ ὁ βασιλεὺς τῶν ἀβάρων συναγείρας μεγάλας δυνάμεις περὶ τȣ̀ς καταῤῥάκτας τȣ̃ Ἴςρȣ, καταράσσει ἐς τὰ πέραν τȣ̃ ποταμȣ̃, καὶ μεγάλας ἐπιδρομὰς καὶ λεηλασίας μέχρι τῆς Θράκης καὶ ἐντὸς αὐτῆς ποιήσας, ἐπανακάμπτει πάλιν μετὰ πολλῶν λαφύ-

ρων ἐς Ῥεμενίαν, καὶ Πέτρον, θέρετρον τῆς μαλακότητος καὶ ἀνέσεως καὶ ἀκηδίας αὐτῦ Σιλίςραν ἔχοντα παριςρίαν πόλιν, εἰς εἰρήνην ὑφέλκει, καὶ ἐς Θράκην αὐτὸν ἐπιςρέψαι διαπράττεται. Αὐτὸς δὲ πάλιν αἰφνηδίως ἐς τὺς κωνςαντινεπολιτικὺς νομὺς ἐσβάλλει, προθέμενος καὶ τὴν Κωνςαντινέπολιν αὐτὴν κατακτήσασθαι. Μαυρίκιος δὲ κελεύει Πέτρον, ὑπὸ Βόνασον ἀρχιςράτηγον τελῦντα, ἐς τὰ παρίςρια ἀπελθεῖν, ὅτε καὶ ὁ ἀβάραρχος τὴν Κωνςαντινέπολιν ἐξ ἀπροόπτε ἑλεῖν βελόμενος, διαβεβήκει τὸν Ἴςρον. Μαυρίκιος καὶ ςόλον ἀποςέλλει ἐς τὸν Ἴςρον, ᾧ ὁ ςρατὸς τῦ Πέτρε περὶ τὸν τρίτον ἐνιαυτὸν τῆς ἑβδόμης ἑκατονταετηρίδος, ἐς τὴν Ῥεμενίαν διαβάζεται καὶ σλαβίνες κατὰ κράτος νικᾷ, καὶ τὴν χώραν ληΐζεται. Ὁ δ' ἀβάραρχος ὀργισθεὶς ἐπὶ τύτῳ, τοῖς ἄντοις, ὡς τὰ κωνςαντινεπολιτῶν φρονῦσι καὶ ὑπὸ τὴν ὑπεράσπισιν αὐτῶν ὖσιν, ἐπιτίθεται, καὶ καταλύει τὸ ἔθνος, καὶ τὸ τῶν ἄντων ἐκλείπει ὄνομα.

*Μετὰ δὲ ταῦτα λεηλατεῖ πάλιν ὁ ἀβάραρχος τὰ μέχρι Θράκης καὶ περαιτέρω, καὶ χρυσῦ τὴν εἰρήνην ὁ ἅρπαξ Φωκᾶς ἀνταλλάττεται. Οδ᾽ ἀβάραρχος πάλιν ὑποτάττει τὺς πέραν τῦ Ἴςρυ σλαβίνυς, καταςρέφεται τὴν Δαλματίαν, λεηλατεῖ τὸ βόρειον τῆς Ἰταλίας, μικρῦ, εἷλε δόλῳ τὴν Κωνςαντινύπολιν, καὶ μετὰ παμπόλλων αἰχμαλώτων, περὶ τὰς ἑπτὰ καὶ εἴκοσι μυριάδας, ὡς λέγυσιν, ἀπίθανα πάντη λέγοντες, ἐπανέκαμψεν ἐς τὰ ἴδια.*

*Ηράκλειος δὲ ἐς Ἀσίαν κατὰ Περσῶν ςρατεύειν βυλόμενος, συντίθεται εἰρήνην μετὰ τῶν ἀβάρων. Μετὰ ταῦτα ὁ βάρβαρος ἐπιςρέψας, ἐκ Τζεχίας (Μποεμίας), τῇ τῦ βασιλέως τῶν περσῶν προτροπῇ, πολιορκεῖ παρασπόνδως ἐξ Εὐρώπης τὴν Κωνςαντινύπολιν, ἐξ Ἀσίας δὲ οἱ πέρσαι. Βόνασος δὲ ὁ πατρίκιος ςρατηγῶν τηνικαῦτα ὑπὲρ κωνςαντινυπολιτῶν, τὰς τῶν βαρβάρων ἐπιχειρήσεις καὶ ἐπιθέσεις ματαίας καθίςησι, καὶ τρέπεσθαι ποιεῖ τὺς βαρβά-*

ρες, καταισχυνομένες διὰ τὴν ἀπότευξιν, ἐς τὰ ἴδια.

Τηνικαῦτα τὰ ὑποτελῆ τοῖς ἀβάροις ἔθνη, μάλιςα δὲ καὶ τὸν αὐτοκράτορα Ηράκλειον θριαμβεύοντα ἐν Περσίᾳ πυνθανόμενα, καὶ τὴν εὐτυχίαν τῶν κωνςαντινεπολιτικῶν ὅπλων θαυμάζοντα, τὴν ἀνεξαρτησίαν αὐτῶν ἀναλαμβάνεσι, τὴν τῶν ἀβάρων ἀπειπόντα ἀρχηγεμονίαν. Τηνικαῦτα καὶ πολλοὶ σλάβοι ἐκ Ρεμενίας, τε κωλύοντος ἐκ μέσε ἤδη ἀρθέντος, ἐπανίασι πάλιν ἐς τὰ βόρεια, ὅθεν ἐξῆλθον ὑπὸ τῶν σομαλενικῶν ἐθνῶν ἐκεῖθεν ἐξελαθέντες, καὶ οἱ πατέρες τῆς νῦν μεγάλης ἀρχῆς τῶν ῥέσσων ἀποκαθίςανται.

Ουτως ἓν οἱ ἄβαροι ἐς μέγιςον βαθμὸν δυνάμεως ἱκόμενοι, καὶ μεγίςως ἐπαιρόμενοι· ἀπὸ γὰρ Τριεςίε μέχρι Ταναΐδος ἦρχον, καὶ ἀπο τῶν παραθαλασσίων τῆς Δαλματίας μέχρι τε βορείε τῆς Τζεχίας· διὰ μίαν μόνην ἐκςρατείαν ἀπερισκεπτότερον, ἵνα μὴ ἀφρονέςερον εἴπωμεν, κατὰ τῆς Κωνςαντινεπόλεως γενομένην,

περὶ τὸν εἰκοςὸν ἕκτον ἐνιαυτὸν τῆς ἑβδόμης ἑκατονταετηρίδος, συμμαχέντων σφίσι καὶ τῶν περσῶν ἐξ ἔω, ἀτυχήσαντες, ταπεινῦσθαι ἤρξαντο, καὶ τὰ σλαβικὰ ἔθνη καὶ ὀυνογυρικὰ τὴν ἀρχηγεμονίαν αὐτῶν περιεφρόνησαν. Εκπονηθέντες ὖν καὶ ἐξασθενήσαντες οἱ ἄβαροι διὰ τὴν ἀτυχίαν ταύτην, καὶ τῆς ἀρχῆς αὐτῶν ἐπὶ πολὺ παρ' ἐλπίδα συςαλείσης, κἂν τῇ Μοαγγυορίᾳ καὶ ταύτῃ ὀυχ ὅλῃ ἴσως, περιορισθείσης, ἀνάγκην ἔγνωσαν εἶναι τῆς σφετέρας αὐτῶν ἀσφαλείας σπυδαιότερον φροντίζειν, καὶ τὰ πολυθρύλλητα ἐννέα χωμάςεα ἐν τῇ Μοαγγυορίᾳ ἐποιήσαντο, διὰ ὕψος καὶ πάχος καὶ περιφέρειαν σχεδὸν ἀπίθανα κινδυνέυοντα εἶναι· διάμετρον γὰρ εἶχε τὸ μεῖζον, ὅσον ἀνὴρ εὔζωνος καὶ ποδώκης μόλις ἡμέρας βαδίσειε (περί πυ δυοκαίδεκα ὥρας), καὶ ἀφίςαντο ἀλλήλων ὑπὲρ τὸ διπλάσιον. Ταῦτα πάντα ὁ τῆς δύσεως πρῶτος αὐτοκράτωρ, ὁ καὶ τὴν ἀρχὴν τῶν ἀβάρων καταλυσάμενος, κατηδάφισε, καὶ τὀυντεῦθεν τὸ ἀβάρων ἐξέλιπεν ὄνομα.

Σὺ δὲ φίλε μὴ θαύμαζε περιερχόμενος τὴν Μοαγγυορίαν, καὶ πιρισκοπῶν ματαίως, ἴχνη ὁρᾷν τετωνὶ τῶν μεγάλων ἀνθρωπίνων ἔργων βυλόμενος· καὶ βασίλεια ὅλα καὶ ἀρχεῖα ὅλα, καὶ ἄςεα ὅλα ταὐτὸ πεπόνθασιν· ὔδὲ γὰρ ὔδὲ τῦ μεγάλυ Τραϊανῦ, ἵνα μὴ πόῤῥω Ρυμυνίας πορευώμεθα, παραδείγματα ζητῦντες ἢ μαθήματα, τῆς θαυμαςῆς γεφύρας ἴχνη σώζονται, ὔδὲ τῶν βασιλείων τῦ κοσμοκαταγωνιςῦ Αττίλα, ὔδὲ τῦ γλαφυρῦ λυτρῶνος τῦ Ονεγίςυ. Μὴ θαύμαζε δὲ μηδὲν πλέον μηδὲ διὰ τὴν ἀκαριαίαν ἐξασθένησιν τῶν ἀβάρων καὶ ταπείνωσιν· πλεονεξία γὰρ τῦ πλείονος, ἀποβολὴ, ὡς τὰ πολλὰ τῦ ὅλυ ἕπεται· καὶ ἔςι σοι ζητῦντι, πολλὰ τύτυ καὶ πάντη νεαρὰ καὶ ἔναυλα παραδείγματα, ἃ καὶ δράματα τέρψεως χάριν τὴν ἱερὰν ἀποφαίνυσιν ἱςορίαν, τὴν πάγκοινον τῦ ἀνθρωπίνυ γένυς διδάσκαλον, δι ἧς ἔδει τὰ παθήματα καὶ ἀτυχήματα τῶν ἄλλων, ἡμέτερα μαθήματα καὶ εὐτυχήματα γίνεσθαι. Εςι μὲν ὖν ἐπὶ τῆς οἰκείας ἀμυνομένῳ καὶ μαχομένῳ

καὶ πολλάκις ἀτυχήσαντι, τῶν ὅλων μὴ ἀπελπίζεσθαι· ἐ ῥαδίως δὲ πόῤῥω ἐπ' ἀλλοδαπῆς μαχομένῳ, μάλιςα δὲ καὶ σὺν μιγάδι καὶ σύγκλυδι ςρατῷ ἐξ ἑτερογενῶν ἐθνῶν συγκειμένῳ, ἐχθρῶν μὲν ἀλλήλοις ἐχθρῶν δὲ καὶ ᾧ βίᾳ πείθονται, ἀναλαβεῖν καὶ δευτέρας τύχης ἀποπειρᾶσθαι. Ἀφροσύνη μὲν ἒν περὶ τῶν ὅλων ἕτωσὶ κινδυνεύειν· εἰ δὲ καί τινες ἠυτύχησαν, ἐδ' ὅλως γεμὴν ἡ μίμησις φρόνιμον.

## Ρουμουνικαὶ πολιτεῖαι.

Πρὶν δὲ τὲς ἀβάρες ἐπὶ Ῥεμενίαν ἱκέσθαι, καὶ πολιτείας δύο, τὸ πλεῖςον ἐκ ῥεμένων συνίςασθαι βλέπομεν· ὧν ἡ ἐκ λῃςείας ἀρξαμένη, (ἀλλὰ μὴ ξενίζε, καὶ ἡ μεγάλη ἀρχὴ τῶν ῥωμαίων, ἡ πολλὰ λῃςήρια καταςρέψασα, παραπλησίαν τινὰ ἀρχὴν εἶχε,) κατελύθη τέλος ὑπὸ τῶν ἀβάρων. Μῆνδος ἡγεμὼν ἕννος ἐςὶν ὁ πρῶτος αὐτὴν συςήσας ἐν τοῖς δυσβάτοις τῶν δεξιῶν τε Ἴςρε, ἐκ συγκλύδων καὶ μιγάδων ἀνθρώπων, μάλιςα δὲ ῥεμένων, καὶ τα

περὶ τὸν ποταμὸν κατεληΐζετο. Μετανέςη δὲ τὸ λῃςροσύςημα ἐς τὰ ἀριςερὰ, καὶ ἄνω πȣ τῶν καταῤῥακτῶν ἱδρύθη· καὶ οἱ λῃςαὶ φρέριον ἔχοντες ἐνταῦθα τȣ̃ συςήματος αὐτῶν μητρόπολιν, μᾶλλον δὲ τῆς λῃςείας αὐτῶν ὁρμητήριον, τοῖς παριςρίοις ἐπηρέαζον. Τȣ́τȣ ἕνεκα τοῖς κωνςαντινȣπολίταις ἐμέμφοντο οἱ ἄβαροι, ὡς τὸ πᾶν, καὶ εἰρήνης ȣ̌σης, ἐν τοῖς μέρεσιν ἐκείνοις ἀνεπίμικτον ἐτύγχανεν. Ὠνομάζοντο δὲ οἱ λῃςαὶ, σκαμάροι, καὶ πολὺ ἦν πολλαχȣ̃ αὐτῶν τȣ̃νομα.

Η δὲ ἑτέρα ῥȣμȣνικὴ πολειτεία πέραν τȣ̃ Ολτȣ συνεςάθη, καὶ ὑπὸ τῶν ἀβάρων καὶ αὐτὴ κατελύθη. Αρχὴ δὲ ταύτης φρȣριόν τι ἦν, ᾧ ὁ αὐτοκράτωρ Ιȣςινιανὸς κωνςαντινȣπολιτικὰς φρȣρὰς ἐγκατέςησε. Επειτα δὲ Χιλβȣδίȣ τȣ̃ ἐν τῷ Ρȣμȣνικῷ ἀγρῷ καὶ τῇ Μολδόβῃ τὸ τῶν κωνςαντινȣπολιτῶν ὄνομα σεβαςὸν καὶ ἐπίφοβον τοῖς βαρβάροις ποιήσαντος, ἐν μάχῃ τινὶ πεσόντος, ὁ αὐτοκράτωρ πρέσβεις ἔπεμψε τοῖς ἄντοις διαλλαγεῖσι, τὸ φρȣ́ριον, πα-

λαιὸν δὲ ἦν καὶ κτίσμα τȣ̃ Τραϊανȣ̃, Τȣ̃ρις (πύργος δηλαδὴ) τȣ̃νομα, φρȣρεῖν ἐπὶ μισθῷ κελεύων, καὶ ὡς ἐν προπυργίῳ τῆς κωνςαντινȣπολιτικῆς ἀρχῆς ἐκεῖ ὄντας, ἀπερύκειν τȣ̀ς βαρβάρȣς, μάλιςα δὲ τȣ̀ς ȣ̃ννȣς, τὸν Ἴςρον διαβαίνειν καὶ τὰ δεξιὰ ληίζεσθαι, καὶ τὸν ψευδοχιλβȣ́διον αἰτȣ̃σιν ἐπέςησεν. Ἀλλὰ τȣ̃τον μὲν αὐθαδιάσαντα καὶ ἐς Θράκην ἱκόμενον, φωράσας ὁ ἀρχιςράτηγος Ναρσῆς, καίτοι καὶ λατινιςὶ διαλεγόμενον, ἐπαίδευσεν. Οἱ δὲ ἄντοι καὶ ῥȣμȣ̃νοι οἱ ἐν τῷ φρȣρίῳ, γῆν ἱκανὴν περὶ αὐτὸ ἔχοντες, αὐτονόμως καὶ ἐλευθέρως, τῶν περιςάσεων ἐπιτρεπȣσῶν σφίσιν, ἐπολιτεύοντο, καὶ τὸ πολίτευμα ῥȣμȣνοσλαβινικὸν ἐκαλεῖτο. Ἦν δὲ ἡ χώρα ταύτης τῆς πολιτείας ὁ ὑπονομὸς ὁ νῦν καλȣ́μενος Ῥȣμȣνάτζ· καὶ γὰρ Ἰορνάνδης ὁ περὶ τὸ μέσον τῆς ἕκτης ἑκατονταετηρίδος τὴν γοτθικὴν ἱςορίαν συγγράψας ἢ συλλέξας, σλαβίνιον ῥωμανένσε καλεῖ τὴν ἐπικράτειαν.

Ὁ δὲ ἀληθὴς Χιλβȣ́διος ἦν, κατὰ τὸν

Προκόπιον ἐπὶ ςρατηγίᾳ ὀνομαςὸς, καὶ ἀντὶ μεγίςȣ κτήματος, τὸ μηδὲν κεκτῆσθαι εἶχεν, θαῦμα πάντως τυγχάνων ἐν τοῖς τότε χρόνοις ἀναμφίβολον. Παρατήρησον, φίλε, καὶ σκέψαι, καὶ ὁ κλεινὸς Χιλβȣ́διος τοῖς πάλαι ἥρωσί σοι παρατεθεὶς καὶ ἀφηρωϊσθεὶς, εἴδωλόν σοι ἔςω καὶ καλȣ̃ ςρατηγȣ̃ ἐν ἑτέραις παραθέσεσι πρωτότυπον. Οι σλαβῖνοι καὶ ἄνται ȣ̓κ ἄρχονται πρὸς ἀνδρὸς ἑνὸς, ἀλλ᾿ ἐν δημοκρατίᾳ ἐκ παλαιȣ̃ βιοτεύȣσι, καὶ θεὸν ἕνα δημιȣργὸν, ἁπάντων κύριον μόνον αὐτὸν νομίζȣσι, καὶ θύȣσιν αὐτῷ βόας τε καὶ ἱερεῖα ἅπαντα, καὶ ἐν τοῖς κινδύνοις ἐπαγγέλλονται αὐτῷ θυσίαν, καὶ οἴονται τὴν σωτηρίαν ταύτης δὴ τῆς θυσίας αὐτοῖς ἐωνεῖσθαι. Σέβȣσι δὲ καὶ ποταμȣ̀ς καὶ ἄλλα δαιμόνια. Ειμαρμένην δὲ, ȣ̓́τε ἴσασιν, ȣ̓́τε ἄλλως ὁμολογȣ̃σιν ἔνγε ἀνθρώποις ῥοπήν τινα ἔχειν. Ην δὲ φιλοδημοκρατίαν τῶν σλαβίνων φησὶν ὁ Προκόπιος, ταύτην οἰόμεθα αἰτίαν εἶναι τȣ̃ τὰ σλαβικὰ ἔθνη ἄλλοτε ἄλλοις ἀλλοτρίοις ἡγεμόσιν

ὑπήκοα εἶναι. Ἦσαν οἱ σλάβοι ἄκρως φιλελεύθεροι ὥστε μηδὲ αἰχμάλωτον εἰς ὑπηρεσίαν παρ' αὐτοῖς ἐθέλειν ἔχειν. Τοῖς ἐκ τῆς ἄγαν φιλελευθερίας καὶ ἐκ τῆς ἀκράτου δημοκρατίας, ὅ ἐστιν ὀχλαρχίας, κακοῖς ἐπαχθεσθέντες ἔπειτα, τὸν Ρουρὶκ καὶ τοὺς ἀδελφοὺς αὐτοῦ ἐκ τῆς Σκανδιναβίας προσεκάλεσαν, καὶ τὴν ἡγεμονίαν αὐτῶν αὐτοῖς ἐνεπίστευσαν.

Οὐδὲ βούργαροι καὶ ἀκμαζόντων ἔτι τῶν ἀβάρων, τοὺς σφετέρους εἶχον ἡγεμόνας, ὥσπερ καὶ μετέπειτα ὑπὸ τοὺς χαζάρους ὀψόμεθα. Σαβείρων δὲ (ἴσως οἱ τοῦ Ἡροδότου σαπεῖροι) ἔπειτα αὐτοῖς προσχωρησάντων καὶ συλληστῶν γενομένων, πρότερον πολεμίων σφίσιν ὄντων, ἐναλλὰξ αὐτοῖς ἐξ ἑκατέρων ὁ ἡγεμὼν συνετίθετο καὶ ἐψηφίζετο. Τοῦτο δὲ ἐνίοτε οὐκ ἡσύχως οὐδ' ἀναιμωτὶ ἀνθρώποις φονομανοῦσιν ἐγένετο· καὶ γὰρ καὶ βουργάρους καὶ ἀβάρους ὁρῶμεν ἐπ' αὐτῷ τοῦτο ἐν Παιονίᾳ, περὶ τὸ τριακοστὸν ἔτος τῆς ἑβδόμης ἑκατονταετηρίδος, μανιωδῶς στασιάσαντας ἀλλήλοις, καὶ μάχης κρατε-

ρᾶς καὶ αἱματώδες γενομένης, ἡττηθέντες οἱ βέργαροι ἐς Μπάϋερν ἐτράποντο. Οὗτοι οἱ βέργαροι ἢ ὔγγαροι εἰσὶν, οἳ καὶ ἐν μέσῳ τῶν ἀβάρων ἄμικτοι περιεφέροντο, οἷς τὰς ἐν τῷ Δαϋτζλὰνδ γενομένας, πολὺ πρὸ τῦ Λεβεδία, ἐπιδρομὰς καὶ λεηλασίας ἀπονεμητέον, τὰ τοῖς ὀνόμασι συγκεχύσθαι δοκῦντα πράγματα, διακρίνοντας. Οι δὲ Σαβῖροι οἱ καὶ τὴν πέραν τῦ Ἰςρυ μικρὰν Σκυθίαν, τὴν Δόμπριτζαν, χειρωσάμενοι, ὐννικὸν ἔθνος ἦσαν, φησὶν ὁ Προκόπιος, ὅ ἐςι τυρκικόν.

## Κ ο υ β ρ ά τ.

Περὶ τὸν δέκατον ἔννατον ἐνιαυτὸν τῆς ἑβδόμης ἑκατονταετηρίδος, τῶν ὐννογυνδύρων ἀνήρ τις ἀνήσυχος, μεγάλα ἐν νῷ περιλαβεῖν ἱκανὸς, καὶ ἐς ἔργον βαλεῖν τὰ νούμενα ἐπιτήδειος, διεπράξατο τὴν ἐθναρχίαν, καὶ ἐς Κωνςαντινύπολιν ἱκόμενος, τὴν τῶν χριςιανῶν ἐναγκαλίζεται θρησκείαν καὶ οἴκαδε ἀφίκετο, θρησκείαν, ὡς ἔοικε, χρυσῦ κνὶ δώρων ἀνταλλαττόμενος·

ἴσως διὰ τἀργύριον.

Βασιλεύȣσιν ȣ̃ν μετὰ τȣ̀ς ἀβάρȣς ἐν τῇ ἑῴα Ρȣμȣνίᾳ οἱ ȣ̓ννογȣνδȣ̃ροι, ἐν τοῖς μεταξὺ βορυςθένȣς καὶ Ταναΐδος ἐνιδρυμένοι, ἐν τῇ δευτέρᾳ καὶ μέλανι Βȣργαρίᾳ, τῇ καὶ Χαζαρίᾳ κληθείσῃ ὕςερον. Κȣβρὰτ δὲ ἀποθνήσκων, πέντε παῖδας κατέλιπεν, ȣ̃ς μάτην ἐπειράσθη τȣ̃ διασχισθῆναι κωλῦσαι, συμβȣλεύσας τὰ δέοντα· διεσχί-

τὸν γὰρ μετὰ ταῦτα βίον ἐ μετεῤῥύθμισε· καὶ γὰρ συςρατεύει μικρὸν ὕςερον τοῖς ἀβάροις, ὅμαιχμος τοῖς πέρσαις, ἐπὶ Κωνςαντινόπολιν, καὶ πρὸ ταύτης ναυαγεῖ μετὰ τῶν λῃςροσυμμάχων ὁ βάρβαρος. Τότε ἀδελφιδῦς ἢ ὑιϊδῦς ἦν ὁ Κεβρὰτ, ὅς, ἀτυχησάντων τῶν ἀβάρων, ἀνακηρύττεται ἀνεξάρτητος καὶ ἀρχηγεμὼν, καὶ τὲς σλάβες καὶ τὰ ἄλλα φιλολήια φῦλα τὰ τὴν νῦν Μολδόβαν καὶ τὰ πέριξ οἰκῦντα, ὧν τὴν ἀρχὴν ὑπὸ τῶν ἀβάρων ἐμπεπίςευτο, ἐξέωσεν, ἃ ὑπώπτευεν ἴσως οἱ ἄρχοντι ἀπαρεσκόμενα. Ουτος ἦν χριςιανὸς καὶ σύμμαχος τῶν κωνςαντινεπολιτῶν, ἑκάτερα

σθησαν γὰρ ἀποθανόντος τȣ̃ πατρὸς, καὶ ἄλλος ἄλλοσε ἐπιδρομομανῶν ἐτράπετο. Ο νεώτερος ἐς Ιταλίαν ἀπῆλθε, περὶ τὸν ἑξηκοςὸν ἕβδομον ἐνιαυτὸν τῆς ἑβδόμης ἑκατονταετηρίδος· ὁ τέταρτος πρὸς τȣ̀ς ἀβάρȣς ἐς Παιονίαν, (ἕτεροι ȣ̃τοι βȣ́λγαροι ἢ ȣ̃γγροι τῶν περὶ ἐθναρχίας τοῖς ἀβάροις μαχεσαμένων)· ὁ τρίτος ὁ Ασπαρὰχ, περὶ τὸν αὐτὸν χρόνον μετὰ τῶν ȣ̓γγάρων ἢ ȣ̓γȣ́ρων ἢ βȣργάρων, ἐν τῆ Μολδόβη περὶ τὸν Πρȣ̃τον τὰς σκηνὰς ἐπήξατο· ὁ δεύτερος δὲ περάσας τὸν Τάναϊν, τὴν παλαιὰν τῶν ȣ̓ννογȣνδȣ́ρων ἢ ȣ̃ργων κατῴκησε χώραν, καὶ μόνος ὁ πρῶτος ἐν τῇ πατρῴᾳ ἔμεινε χώρᾳ, τῇ νέᾳ Βȣργαρίᾳ.

## Χ α ζ ά ρ ο ι.

Διασπαρέντων τῶν τȣ̃ Κȣβρὰτ υἱέων, καὶ τȣ̃ ἔθνȣς τῶν ȣ̓ννογȣνδȣ́ρων βȣργάρων ἐξασθενήσαντος, ἐξῆλθε, περὶ τὸν ὀγδοηκοςὸν ἐνιαυτὸν τῆς ἑβδόμης ἑκατονταετηρίδος, τὸ μέγα ἔθνος τῶν χαζάρων ἐκ τῆς Βερυλίας (ἢ Βερζυλίας, τῶν ἀναμεταξὺ

δηλονότι Κασπίας καὶ Πόντȣ), καὶ διαβὰν τὸν Τάναϊν, πρῶτον τὸν υἱὸν τȣ̃ Κȣβρὰτ τὸν ἐν τῇ πατρίδι μείναντα, ὑπόφορον ἐποίησε, καὶ ἐπὶ πολὺ πρὸς τὸ βόρειον καὶ ἀνατολικὸν καὶ πρὸς τὸ δυτικὸν μέχρι Τισσȣ̃ προχωρήσαν, πᾶντα ὑποχείρια ἐποίησε. Μητρόπολις δὲ αὐτῶν καὶ μέγα ἐμπορεῖον, τὸ Ἀςραχάνιον, ὅπερ καὶ νῦν ἔτι περιώνυμόν ἐςιν, ἐτύγχανεν. Ἐκ τῶν χαζάρων δὲ ὠνομάζετο καὶ ἡ Κασπία, χαζαρικὴ θάλασσα. Ησαν δὲ καὶ οἱ χαζάροι μοῖρα τȣ̃ μεγάλȣ ἔθνȣς τῶν τύρκων, καὶ ἡ μείζων ἴσως τῶν ἐν τοῖς χρόνοις ἐκείνοις ἐξ ἕω τε καὶ ἐκ δυσμῶν τῆς Κασπίας ἐς τὸ βόρειον αὐτῆς ἀφικομένων, ἧς τȣ̀ς πρότερον ἐπεληλυθότας, ὡς ἀποκόμματα τȣ̃ μεγάλȣ τότȣ σώματος προσήκει οἴεσθαι. Τȣ́τȣς δὴ τȣ̀ς χαζάρȣς καὶ ἐμπορικωτέρȣς καὶ φιλελευθερωτέρȣς τῶν ἄλλων συγγενῶν καὶ ἀδελφῶν ἐθνῶν βλέπομεν, (ὅθεν καὶ τὸ κράτος αὐτῶν ὀλιγοχρόνιον)· καὶ γὰρ καὶ ἐν Ρȣμȣνίᾳ καὶ ἐν Μοαγγυορίᾳ ἔμποροι χαζάροι ἦσαν, καὶ τὰς βασιλικὰς προσό-

## Ἀ σ π α ρ ά χ.

Ο δὲ Ἀσπαρὰχ ἐκ τῶν παραπρετίων, ὡς ἀπὸ λῃςηρίε ὁρμῶν, καὶ περαιέμενος τὸν Ἰςρον, ἦγε καὶ ἔφερε τὲς τῶν κωνςαντινεπολιτῶν νομές. Ουτοι τέλος ἀποδυσπετήσαντες, τίσασθαι καὶ πέρας θεῖναι ταῖς ἐπιδρομαῖς τῶν βεργάρων ἔγνωσαν. Διαβαίνεσι δυνάμει τὸν Ἰςρον, καὶ κακῶς ςρατηγέμενοι, ἐλάιῳ τὸ πῦρ σβεννύασι,

δες ἔπειτα τῶν μοαγγυόρων, καὶ ἑτερόθρησκοι καὶ ἐθνικοὶ ὄντες, ἐνεπορεύοντο. Πολλοὶ τέτων ἐν Ρεμενίᾳ τὴν χριςιανικὴν θρησκείαν ἐδέξαντο παρὰ τε̃ Κυρίλλε τε̃ καὶ χαζαρικε̃ ἀποςόλε ὀνομασθέντες· ἕτεροι πάλιν μωαμεθανοὶ ἦσαν, καὶ ἄλλοι ἑβραῖοι· πολλοὶ δὲ καὶ τῇ πατρῴᾳ πίςει ἐγκατέμενον. Ἀλλὰ γὰρ πολλὰ τῆς Ρεμενίας εὐθὺς ὑποτάξαντες, τάχιςα ταῦτα ἀπέβαλον· καὶ ὅλως ἡ αὐτῶν ἀρχὴ ἐκ ςασιωδῶν ἐκτόπως καὶ ἄγαν φιλελευθέρων φυλῶν συγκειμένη, μόνιμον καὶ παγίαν διάρκειαν λαβεῖν ἐκ ἐδύνατο.

τὸ δὴ λεγόμενον, τὴν πυρκαϊὰν πολὺ μείζονα καὶ ὀλεθριωτέραν ποιήσαντες. Ἐνίκησαν μὲν, ὥς φασι, τὺς βυργάρυς ἐν Μολδόβῃ, περαιωθέντες τὸν Ἴςρον, καὶ τραπῆναι ἐποίησαν, κἀκεῖνοι ἐς δύσβατα χωρία διασωθέντες, ἐν αὐτοῖς πολιορκύμενοι ὑπὸ τῶν κωνςαντινυπολιτῶν, καραδοκῦντες περιέμενον τὸ μέλλον, καὶ μεθ᾽ ἡσυχίας ἑώρων τὰ πέριξ λεῖα γινόμενα. Ποδάγρᾳ δὲ τῦ βασιλέως ἁλῦντος, καὶ τὸ ςρατόπεδον αἴφνης καταλιπόντος, καὶ ἐπὶ τῶν θερμῶν τῆς Μεσημβρίας ἀπάραντος, φόβῳ πανικῷ κατασχεθεὶς ὁ ςρατὸς, ὡς ἄρα τῦ βασιλέως πρόσχημα δειλίας τὰ λυτρὰ προτείναντος, τὰ νῶτα τοῖς πολεμίοις δίδωσι, καὶ ἐς τὴν πέραν τῦ Ἴςρυ μετὰ θορύβυ καὶ ἀταξίας ὅτι πλείςης ὑποςρέφειν ἐπείγεται. Συνῆκαν οἱ βάρβαροι, ναὶ, ἀλλὰ φρονιμώτερον πολὺ ςρατηγύμενοι, καὶ ἐξελθόντες ἐκ τῶν δυσβάτων τόπων, καὶ ἐπιπεσόντες τοῖς φεύγυσι, νικῶσιν αὐτὺς κατὰ κράτος, καὶ διαβάντες τὸν ποταμὸν κατόπιν τῶν φυγάδων, ὑποχείριον ποιῦν-

ται τὴν χώραν τὴν ἐξ αὐτῶν ἔτι καὶ νῦν Βυργαρίαν ὀνομαζομένην, καὶ ἐν αὐτῇ ἐνίδρυνται, ἐπιτεταγμένυ φόρυ τὴν εἰρήνην τοῖς κωνςαντινυπολίταις πωλήσαντες. Τῶν δὲ ἐν ταύτῃ τῇ χώρᾳ οἰκύντων σλαβίνων, τὺς μὲν, ἐς τὰ πέριξ μετοικῆσαι ἠνάγκασαν, φόρον αὐτοῖς ἐς τὐπιὸν σφίσι καταβάλλειν ἐπιτάξαντες, τοῖς δὲ λοιποῖς πλείοσι σφῶν ἔτι ὖσιν ἀναμιγέντες, τῆς μὲν μητρικῆς αὐτῶν γλώσσης κατ' ὀλίγον ἐπελάθοντο, τῶν δὲ πατρώων ἀρεϊκῶν καὶ φιλεπιδρομικῶν φρονηματων ἐπιλήσμονες ὐκ ἐγένοντο.

Ου σοι τὰ ἀνωτέρω κωνςαντινυπολιτικαὶ κομποῤῥημοσύναι δοκῦσιν ὦ φίλε, ὥσπερ τοιαύτας πολλαχῦ τῆς Βυζαντίδος ὁρῶμεν, νίκη, λέγω, αὐτῶν, τροπὴ, φυγὴ, καταφυγὴ βυργάρων ἐς δύσβατα, ἄπαρσις ἐπὶ τῶν θερμῶν λυτρῶν τῦ αὐτοκράτορος; Ορᾶς ἔτι κἀνταῦθα τὰ τῆς διαφθορᾶς τῶν ἠθῶν ἀποτελέσματα, τὸ κρύπτειν ζητεῖν τὰ ἐν πολέμῳ ἀτυχήματα, καὶ τὰς αἰτίας αὐτῶν, δέον ζητεῖν τι τύτων θεραπευτή·

ριον· τὸ κρύπτειν τὴν αἰσχύνην μετ' ἀλαζονίας καὶ ὑπυλότητος, δέον εἰλικρινῶς καὶ γενναίως ὁμολογεῖν τὴν ἀλήθειαν; Η δοκῦσα φυγὴ τῦ Ασπαρὰχ, δέλεαρ τῷ ὄντι ἐτύγχανεν, ἁλιεύοντος, ὥσπερ ἀντακαίυς τὺς πολεμίυς, καὶ ὑφέλκοντος καὶ ὑπάγοντος αὐτὺς ἐς ἃ ἐβύλετο μέρη, ἐς σφαγὴν οἱ ἐπιτήδεια.

Οὕτω μὲν ὖν οἱ βύργαροι νικήσαντες τὺς κωνςαντινυπολίτας, ἐς τὰ πέραν τῦ Ιςρυ μετεσκήνωσαν. Καὶ ἦσαν μὲν ὕτω πλησιέςεροι γενόμενοι τοῖς κωνςαντινυπολίταις, ἀδιαφθορότητος διδάσκαλος ἄριςος, ὥσπερ ποτὲ καὶ ὁ μέγας Σκηπίων, Κάτωνος ἰσχυρογνωμονῦντος, τὴν Καρχηδόνα τοῖς ῥωμαίοις εἶναι ἐβύλετο· ἀλλ' οἱ κωνςαντινυπολῖται, ὥσπερ παρ' ἐχθρᾶς εἱμαρμένης ἐς τὰ κάτω συρόμενοι, καὶ ἤδη τῷ τῆς διαφθορᾶς βορβόρῳ ἐνεχόμενοι, ἀνανῆψαι ποτὲ καὶ ὑψηλότερόν τι καὶ ἄξιόν τι τῶν προγόνων φρονῆσαι, καὶ ἀπόνασθαι τῆς γειτονίας ταύτης, ὐκ ἠβυλήθησαν, μι-

κρὰ πάντως ἀπογόνων φροντίζοντες, καὶ κακίςων πατέρων κάκιςα τοῖς ἐπιγινομένοις καταλείποντες παραδείγματα. Ὀδυνηρὰ ταῦτα ἡμῖν μετὰ σχετλιασμῶν ἀναπολῦσιν, ὀδυνηρότερα δὲ τὰ μετὰ ταῦτα· ὀδυνηρότατα δὲ τὰ ἐνεςῶτα καὶ δακρύων πολλῶν καὶ σχετλιασμῶν ἄξια. Οὕτω μὲν ὖν οἱ ὖγγροι ἢ βύργαροι, κακῇ τύχῃ τῶν κωνςαντινυπολιτῶν, καταλιπόντες τὰ περὶ Πρῦτον, ἐς τὰ πέραν τῦ Ἰςρυ μετανέςησαν, περὶ τὸν ὀγδοηκοςὸν ἐνιαυτὸν τῆς ἑβδόμης ἑκατονταετηρίδος (680), καὶ μέχρι τῆς ἀφίξεως τῦ συγγενῦς αὐτῶν ἔθνυς τῶν τύρκων, ὐκ ἔπαυσαν τὺς κωνςαντινυπολίτας τὰ ἀνήκεςα ποιῦντες, καίτοι καὶ τὴν θρησκείαν τύτων, μετ' ὐχ ὅλας δύο ἑκατονταετηρίδας, ἐναγκαλισάμενοι. Ἦν μὲν ὖν ῥάδιον ἀρχῇ μεγάλῃ, οἵα ἦν τηνικαῦτα ἡ τῶν κωνςαντινυπολιτῶν, ἡ πρώτη ἐν τοῖς δυτικοῖς τῆς οἰκυμένης μέρεσιν, ἀρχὴν μικρὰν, οἵα ἡ τῶν βυργάρων ἦν, πολλοςημόριον τῆς ἐκείνων, ὑποτάξαι· ἀλλὰ κακῶς καὶ φαύλως συνεςαμένον πολίτευμα, μεγάλη ἐκτα-

σις τόπων ἀσθενέστερον ἀπεργάζεται, σχολῆς ἂν καὶ λυσιτελοίη.

## Κρυμὸς κύριος Ρυμυνίας.

Κρυμὸς βασιλεὺς βυργάρων τὰ πλείω τῶν ἐντὸς τῦ Ἴςρυ μέχρι Τισσῦ ὑποχείρια ἐποίησεν, ἀρχομένης τῆς ἐννάτης ἑκατονταετηρίδος, καὶ ἐπὶ τὺς κωνςαντινυπολίτας ὑποδεκαπλασίῳ τῦ τύτων ςρατῷ ςρατεύει, καὶ κατὰ κράτος νικᾷ, καὶ διώκων τὺς φυγάδας, πρὸ τῶν τειχῶν τῆς Κωνςαντινυπόλεως παραγίνεται, καὶ εἰρηνικαῖς ψευδοπροσκλήσεσιν ἔνδυς, μικρῦ ἐδολοφονήθη. Ἀπαλλάττεται γῦν θυμῦ καὶ ὀργῆς ἔμπλεως κατὰ τῶν δολιοφρόνων καὶ δολοφόνων, καὶ ἐπιςρέφων οἴκαδε, τισιμανῶν, Δέλβετον καὶ Ἀδριανύπολιν πόλεις ἐξηνδραποδίσατο, καὶ τὺς ἐξηνδραποδισμένυς, τὺς ἀθλίυς, λέγω, κατοίκυς τύτων τῶν πόλεων, τὺς βλακίας καὶ διαφθορᾶς καὶ δολοφονίας θύματα γεγονότας, μετὰ τῦ ἐπισκόπυ αὐτῶν, ἐς τὰ λαιὰ παρίςρια, ἤδη ὑφ᾽ ὃ τελῦντα, ἐς τὴν Ρυμυνίαν μετοικί-

ζει, περὶ τὸν ἑνδέκατον καὶ δέκατον τρίτον ἐνιαυτὸν τῆς ἐννάτης ἑκατονταετηρίδος. Ἀλλ' ὗτοι οἱ δυςυχεῖς, ἀγαθῇ τύχῃ, μετ' ὁ πολὺ ἐν μέρει, ἑκόντων τῶν βυργάρων, ἐς τὴν ποθυμένην πατρίδα ὑπέςρεψαν· ἔπειτα δὲ, ὅσοι ἦσαν ἔτι ὑπόλοιποι, καὶ ἀκόντων τῶν βυργάρων, βίᾳ ἐπανέκαμψαν οἴκαδε.

Υποτάξας δὲ τὰ ἐντὸς τῦ Ἰςρυ ὁ Κρυμὸς, μέχρι Τισσῦ καὶ ἐπέκεινα, καὶ τὰ τῶν ἀβάρων ὕτω ταπεινωθέντα ὁρῶν, ὥςε καὶ βυργάρυς τὺς ποτὲ τοῖς ἀβάροις ὑπηκόυς, ὑπερτερῆσαι τύτων, καὶ πολλὺς εἶναι ὑπὸ τὴν ἡγεμονίαν αὐτῦ, διαπορῶν καὶ τὴν αἰτίαν μαθεῖν βυλόμενος, δι' ἣν οἱ ἄβαροι κακῶς ὕτω πράττυσιν, ἀβάρῳ τινὶ ἐντυχὼν ἐπύθετο αὐτῦ, ὅτυ χάριν οἱ ποτὲ μέγα καὶ ἐν τοῖς κάτω παριςρίοις δυνάμενοι ἄβαροι, τότε ἀποβεβλήκοιεν ταῦτα καὶ ὕτω ταπεινοὶ γεγόνοιεν;

Μηδέν σοι ξένον, ὦ βασιλεῦ, ὁ σοφὸς καὶ σκεπτικὸς ἔφη ἄβαρος, εἰ τῶν ἡμετέ-

ρων πολὺ κρείσσω τὰ ὑμέτερα καὶ ὑπέρτερα. Πᾶσα γὰρ πολιτεία, καθόλυ, ὡς ἐπὶ βάσεως ἀκραδάντυ δικαιοσύνης, ἐρείριζαι καὶ βέβηκε· καὶ ὡς περὶ πάγιον κέντρον, περὶ αὐςηρὸν ἠθικὸν, ἀμετακινήτως, ἀναπολύτως, ἀδιαλύτως καὶ ςαθερῶς ἐς ἑαυτὴν συνέςραπται. Τῶν ἰδίων ὗν πρὸ τῶν κοινῶν τιθεμένων, τὸ πολίτευμα ὐκ ἔτι ἐπὶ ςαθερᾶς βάσεως τῆς δικαιοσύνης, ἕςηκεν· ὐκ ἔτι περὶ μόνιμόν τι περιφέρεται· καὶ ἀνατροπὴ περιμένει καὶ ἐπαπειλεῖ τῷ ὅλῳ· τῦ τε κοινῦ ἠθικῦ ἀμελυμένυ καὶ περιφρονυμένυ, καὶ τῦ κέντρυ ὕτως χαλωμένυ καὶ σαλευομένυ καὶ μηδόλως κρατυνομένυ, ἀπόλυσιν ἀνάγκη πᾶσα συμβαίνειν, καὶ διάλυσιν καὶ παντελῆ κατάλυσιν, τῦ πολιτικῦ καὶ κοινωνικῦ σώματος. Ταῦτα, ὦ βασιλεῦ, ἀδικία καὶ διαφθορὰ ἠθῶν, τὰ ἀδελφὰ καὶ σύνοικα ἀεὶ καὶ συνοδοιπόρα, ὁ μοχλός ἐςι, δι᾿ ὗ καὶ αἱ μέγιςον δυνάμεναι πολιτεῖαι ἀναμοχλεύονται καὶ ἀνασκάπτονται· ταῦτα ἐςὶν ὁ δηλητήριος ἰὸς, δι᾿ ὗ ὅλα κοινωνικὰ σώματα, ὅλα

ἔθνη, νεκρὰ ὁρῶμεν καὶ ἐν παραδόσεσι μόνον ἢ ἐν ἱςορίαις ὑπάρχοντα.

Ουδὲν ξένον ὂν εἰ καὶ τὸ ἔθνος τῶν ἀβάρων, τὸ πάλαι τοῖς γείτοσι σεβαςὸν καὶ ἐπίφοβον, πνέει νῦν τὰ λοίσθια, καὶ μετὰ μικρὸν, ὡς περὶ μηκέτι ὑπαρχόντων ἀβάρων, διαλέξονται ἄνθρωποι. Ηδη ἐκνενόθευται τὸ τῶν ἀβάρων ἔθνος καὶ πάντη διέφθαρται· καὶ ἔςιν ὀυχ οἷον ἐξῆλθεν, ὡς μήποτ' ὤφελεν, ἐκ τοῦ μυχοῦ τῆς Ασίας, καταλιπὸν, μάλα ἀφρόνως, τὰ ἑὰ ἤθεα, τὰ χαριέςατα καὶ εὔφορα πεδία, τὰ περὶ τὸν μέγαν ποταμὸν Σεγγὲλ κείμενα. Τί γὰρ καὶ ἀπωνάμεθα καταλιπόντες ταῦτα, καὶ δολιχὸν μάλα καὶ ἀργαλέην ὁδὸν διανύσαντες, πολλάτε ὄρεα δύσβατα, πολλούς τε ταχυῤῥόους καὶ πλατυῤῥόους χειμάῤῥους ἐκ τῶν ὀρέων καταράσσοντας, καὶ ταχὺν ἐπαπειλοῦντας τὸν κίνδυνον, πολλούς τε ποταμοὺς βαθυῤῥόους καὶ δυσπεράτους, πολλάς τε ῥάχεις τραχείας καὶ πολλὰς πεδιάδας, οὐχ ἧττον πονηρὰς καὶ ταύτας διά τε τὸ ψύχος, χειμῶνος, καὶ διὰ τὸ θάλπος, θέρους, δια-

περάσαντες; Τὴν πατρῴαν ἀπλότητα, τὰ καθαρὰ ἤθη, τὴν δικαιοσύνην, καὶ ὅλως, τὴν ἀρετὴν ἀπεβάλομεν, ἐνταῦθα, ἐν τῷ τῆς διαφθορᾶς τόπῳ γενόμενοι.

Απορεῖς ὦ βασιλεῦ, ὅτι ταπεινὰ νῦν τὰ τῶν ἀβάρων καὶ εὐτελέςατα; Απόρει μᾶλλον, εἰ τοιῦτοι ὄντες, ἐν τηλικαύτῃ παρανομίᾳ καὶ διαφθορᾷ ἠθῶν, σκιάν τινα ἔτι κοινωνικῆς ζωῆς καὶ πολιτικῆς σῴζομεν, καὶ ὐ πάλαι πάντῃ ἐξηφανίσθημεν. Τῦτο, ὐ φρονήσει ἐσωτερικῆς διοικήσεως ἀπονεμητέον, ἀλλὰ πάντως πάντῃ ἐξωτερικαῖς περιςάσεσι· τὸ γὰρ ἐφ' ἡμῖν, πάλαι ἀπολώλαμεν. Αθλιοι καὶ οἰκτροὶ τῷ ὄντι, ὅσοι ὐ τῇ ἑαυτῶν δυνάμει, ἀλλὰ τῇ ἑτέρων, ὥς περ ἀνδριὰς, ἀφ' ἑαυτῦ ςῆναι μὴ δυνάμενος, ἐπερειδόμενοι ἵςανται. Στάσις αὕτη δοκῦσα ἐςὶ, καὶ ἀρχὴ πραγματικῆς καταπτώσεως, καὶ, ὅσον ὔπω, ἐς τὸ τῆς ἀπωλείας πεσῦνται βάραθρον. Πλῦτος καὶ ἡ αὐτῷ σύνοικος τρυφὴ εἰσὶ τὰ τὺς ἀβάρυς κάκιςα πράττειν ποιήσαντα. Ταῦτα ἐςὶν ὁ ἀνατρεπτικὸς μοχλὸς τῆς μεγάλης τῶν

ἀβάρων ἀρχῆς· πλέον γὰρ ἔχειν ἀεὶ βϑλόμενοι, ὅσον ϑπω, ἐς τὸ μηδὲν ἔχειν περιϛήσονται.

Κατακτησάμενοι τὴν καλλίϛην χώραν τὴν ἐν τῷ μέσῳ τῆς Ευρώπης κειμένην, πέρατα τῶν κατακτημάτων ἑαυτοῖς γνῶναι ϑκ ἠβϑλήϑημεν, ἀλλὰ πανταχόϑεν τϑ πλέον ἔχειν ἐφιέμενοι, ἐπεξετεινόμεϑα πανταχόσε, καὶ ἠρεμεῖν ϑδένας, ϑδ' ἑαυτϑς ἐῶν ἠβϑλόμεϑα, δέον πάντως σωφρονϑσιν, ἀρέσκεσϑαι καὶ ἀρκεῖσϑαι τῇ Ἀβαρίᾳ, ἱκανῇ ϑσῃ τὸ μέγεϑος εὖ διοικϑμένῃ, εὖ πολιτευομένῃ, τὴν ἑτέρων ἀπλήϛων καὶ δοξομανῶν ἀναχαιτίσαι ὁρμὴν, καὶ σέβεσϑαι αὐτὴν τϑτϑς ποιήσασϑαι. Εν γὰρ τῇ τῶν πραγμάτων νῦν καταϛάσει, ἀνάγκη πᾶσα, λαόν τινα τῆς ἀνεξαρτησίας αὐτϑ τῷ ὄντι ἐπιμελόμενον, ἔχειν χώραν ἱκανὴν τρέφειν περὶ τὰς χιλίας πεντακοσίας μυριάδας ἁπλῶς κατοίκϑς. Τοσϑτοι ὄντες, εὖ διοικϑμενοι, εὖ πολιτευόμενοι, ϑδέποτε ὑπὸ τῶν ἔξωϑεν καταν ικηϑήσονται. Ἀλλὰ δεῖ πάντας ϛέργειν ὑπὲρ ἑαυτϑς τὴν πατρίδα·

ἄλλως γὰρ ψυχρῶν περὶ αὐτὴν τῶν πολιτῶν ὄντων, ἀδύνατον σώζεσθαι τὸ πολίτευμα· ψυχρότης γὰρ ȣ̓ γεννᾷ ἐνθȣσιασμὸν· καὶ τότε ἄνευ, ȣ̓δεὶς πολίτης ἥρως· καὶ ὅπȣ ȣ̓δεὶς ἡρωϊσμὸς, ἐκεῖ καὶ ȣ̓δεὶς τῷ ὄντι πατρίδος ὑπέρμαχος.

Αυτη ἐςὶν, ὦ βασιλεῦ, ἡ ὑγεία καὶ εὐῤῥωςία τȣ̃ κοινωνικȣ̃ σώματος· εὐταξία δὲ καὶ φροντὶς τȣ̃ κοινȣ̃ καὶ ἰσονομία, καὶ, συνελόντι φάναι, δικαιοσύνη, ἥ δίαιτά ἐςιν, ἧ ἑπόμενον, ἢ ἧ ἀγόμενον, ὑγιαίνει καὶ ἔῤῥωται τὸ κοινωνικὸν σῶμα, καὶ ἀντιπαλαίειν καὶ ἀντέχειν τοῖς ἔξωθεν ἐς ἐπίθεσιν ἐπερχομένοις ἐπιτήδειον, καὶ ἀκαταμάχητον, καὶ ἡ πατρὶς ȣ̓́τω μένει ἀνεπηρέαςος. Ινα δὲ καὶ μερικῷ χρήσωμαι παραδείγματι, ἔλθω πάλιν εἰς Αβαρίαν, κακῇ τύχῃ, πόῤῥω ποι πορεύεσθαι, καὶ ζητεῖν ἀλλότριον μὴ δεόμενος. Οι ἄβαροι ὑφ᾽ ἡγεμόνα, ὡς ὑπὸ κοινὸν πατέρα βιȣ̃ντες καὶ πολιτευόμενοι· δεῖ γὰρ πάντως εἶναι τινὰ τὸν τὴν φροντίδα τȣ̃ ὅλȣ σώματος ἀναδεδεγμένον· ἄλλως γὰρ, κέντρȣ μὴ πα-

ρόντος, περὶ ὃ τὸ ὅλον συςρέφοιτ' ἂν καὶ διαμένοι, διάλυσις καὶ κατάλυσις τȣ̃ ὅλȣ σώματος, ἀναγκαῖον ἑπόμενον. Οἱ ἄβαροι, λέγω, ὑφ' ἡγεμόνα, ὡς ὅλον εὖ ὠργανισμένον καὶ ἐῤῥωμένον σῶμα βιȣ̃ντες, μακάριοι τῷ ὄντι ἐτύγχανον· ὅ, τε ἡγεμὼν, κηδεμὼν τȣ̃ ὅλȣ τυγχάνων, καὶ ἐν πατρὸς φιλοςόργȣ μοίρᾳ τιθέμενος, ἐν υἱῶν ἀγαπητῶν μοίρᾳ πάντας ἐξ ἴσȣ ἐτίθη, ἐξ ἴσȣ πᾶσι βραβεύων τὸ δίκαιον αὐςηρότατα, καὶ ȣ̓ καὶ τοῖς ὑπηρέταις, ȣ̔̀ς καλȣ̃μεν νῦν ἄρχοντας, καὶ μικρὸν τῆς εἰς τὸ ἰσόνομον καὶ δίκαιον δειχθείσης αὐτοῖς ὁδȣ̃ παρεκτρεπομένοις· καὶ γὰρ καὶ ὀλιγίςη ποινῆς τοῖς ὑπηρέταις ἄνεσις, μεγίςȣ ὀλέθρȣ τῷ κοινωνικῷ καὶ πολιτικῷ σώματι πρόξενος.

Ἄκȣσον, ὦ βασιλεῦ, καὶ τὸ συμβάν ποτε τοῖς ἀβάροις, ὅπερ μοι ὁσάκις ἂν ἐπὶ νȣ̃ν ἔλθῃ, πολλά με καὶ ἀκατάσχετα καταχεῖν ποιεῖ δάκρυα. Στάσις ποτὲ τοῖς ἀβάροις, ȣ̓κ οἶδ' ὅπως ȣ̓δ' ὅθεν, ἀνεφύη, διὰ δυσαρέσκειαν ἴσως τῆς διοικήσεως. Ἀμ'

αἰσθόμενος τȣτο ὁ βασιλεὺς, συγκαλέσας αὐτὲς, καὶ ϛὰς ἐν μέσῳ πάντων, τοιάδε, ἀκȣόντων πάντων, ἔλεξε. Φίλοι παῖδες καὶ ἀδελφοί· ἐγὼ μὲν ὡς πατὴρ φιλόϛοργος τὸ ἱερὸν ἔργον, τὴν φροντίδα τȣ ὅλȣ, πρὸς Θεȣ καὶ τῶν πατέρων ἡμῶν, ȣκ ἔπαυσά ποτε ἐκτελῶν, ὅση μοι δύναμις, ὡς οἴομαι· ἡμεῖς δὲ ἀναμνήσθητε, ὅτι ἀνθρώπῳ ὄντι κἀμοὶ, ὥσπερ ἡμεῖς, ἁμαρτάνειν τȣ δέοντος συμβαίνει ἐνίοτε. Επεὶ ȣν ȣ δἰ ἐμαυτὸν, ἀλλὰ δἰ ὑμᾶς βασιλεύω, εἰ ἴϛε τινὰ ἕτερον . . . ȣκ ἔφθη λέγων, καὶ συνεταράχθησαν ἅπαντες, καὶ τὰ πάντα δακρύων μεϛὰ ἐφάνησαν· πληγὴν αἰφνηδίȣ κεραυνȣ τὸ ἕτερος ᾠήθησαν ἅπαντες. Ο δὲ βασιλεὺς μηδὲν πλέον εἰπεῖν δυνάμενος, δακρυῤῥοῶν καὶ κλαίων καὶ αὐτὸς, ἐπανελθεῖν οἴκαδε ἔγνωκεν· εἵποντο δ' αὐτῷ σωρηδὸν οἱ ἄβαροι, καὶ ἀποχωρισθῆναι αὐτȣ ȣδενὶ τρόπῳ ἐβȣλοντο, παραίτησιν ὑποτοπάζοντες καὶ φοβȣμενοι. Ο δὲ βασιλεὺς ὁρῶν ὅτι ȣκ ἦν ἄλλως ἐπανελθεῖν αὐτȣς οἴκαδε ποιῆσαι, παρακλήσεων καὶ

ἐπιταγῶν μηδὲν ἀποτέλεσμα ἐχϐσῶν, ἀπώμοσε πρὸς Θεϐ καὶ κατὰ πατέρων ἀβάρων ἦ μὴν μὴ καταλείψειν τὴν βασιλείαν, ἑτέρῳ τινὶ ταύτης ὑποχωρήσας, καὶ ὅτως οἱ ἄβαροι διαλυθέντες, ὑπέςρεψαν οἴκαδε. Ορᾷς ὦ βασιλεῦ, οἷοι ποτὲ οἱ ἄβαροι· νῦν δὲ ὑπὸ πλϐτϐ καὶ τρυφῆς διαφθαρέντες, βασιλιῶσιν ἅπαντες, καὶ ἕκαςος ἑκάςϐ τὸ κοινωνικὸν σῶμα ἐπιτηδειότερον ἄγειν φαντάζεται, καὶ ἄττει πρὸς βασιλείαν καὶ φυσᾷ, καὶ περ ϐδὲ οἰκίαν μίαν, ϐδὲ γυναῖκα μίαν ἄγειν ὢν ὁ ἄθλιος ἄξιος· ἡνίκα γὰρ ἄν τις μικρὰ πράττων, οἰκαρχίαν ἄγων, φαντασιοκοπίας καὶ πραξικοπίας ἀσθενῆς καὶ τάλανος γυναιϐ ἀναχαιτίζειν καὶ συςέλλειν, καὶ ἐς τὸ καθῆκον φέρειν αὐτὸ ἀνίκανος ᾖ, σχολῇ γε ἂν τὸν τοιϐτον μεγάλα πράττειν, ἐπιτετραμμένον τὸ κοινὸν καὶ προϊςάμενον τϐτϐ, δύνασθαι φαίημεν.

Ουτως οἱ ἄβαροι πολιτευόμενοι, ἦσαν ἔσωθεν μὲν εὐτυχεῖς, πτωχείαν καὶ πλϐτον ἀγνοϐντες παντάπασιν· ἔξωθεν δὲ ζηλωτοὶ

καὶ σεβαςοὶ καὶ ἐπίφοβοι· πλῦτος γὰρ καὶ πτωχεία, ἀλαζονία καὶ ταπεινότης, ὑψιπέτεια καὶ χαμέρπεια, πλῆθος καὶ φθίσις, κόρος καὶ πεῖνα, ῥακοφορία καὶ χρυσοφορία, πενία καὶ ἁβρότης, σάρκες διαῤῥέυσαι καὶ κατεσκληκυῖαι, πρόσωπα κατάπλεα καὶ ῥυσσὰ, σύνοικα ταῦτα πάντα, εἰσὶ καὶ σύσκηνα· καὶ ὅπυ ὕτως ἔχει τὰ τῶν κατοίκων, ἐκεῖ ἤδη τὸ ἱερὸν πῦρ ἔσβεςαι, καὶ ψυχρὰ τὰ πάντα, καὶ ὐδεὶς ἐνθυσιασμὸς, καὶ ἑπομένως, ὐδὲ ςρατηγὸς, ὐδὲ ταξιάρχης ὐ δὲ ςρατιώτης ἄξιος. Ἀλλὰ γὰρ ἔπειτα τὸ πᾶν μεταβέβληται· ἡ δίαιτα περιφρονηθεῖσα, κατήργηται· τὸ κοινωνικὸν σῶμα παρανομίας πλῆθον, ὥσπερ κακοχυμίας, ὅσον ὔπω, διαῤῥαγήσεται, καὶ τὸ ἐφ' ἡμῖν, διεῤῥάγη ἤδη. Τί τις ἐῤῥωμένος τὸν νῦν καὶ σκεπτικὸς ὁρᾷ νῦν ἐν Ἀβαρίᾳ παραγενόμενος; ὐδὲν, ἀλλ' ἢ κοινωνικόν τι σῶμα πνέον τὰ λοίσθια, καὶ οἶκτον πολὺν διεγεῖρον καὶ δάκρυα. Οἱ ποτὲ μὲν ὑπηρέται τῦ ἡγεμόνος, νῦν δὲ, ὥςπερ ἕτεροι τόσοι δεσπόται, διανείμαν-

τες ἑαυτοῖς τὴν χώραν, καὶ τὸν λαὸν ἐν δέλȣ μοίρᾳ τιθέμενοι, τὸν λαὸν τὴν βάσιν καὶ τὸ καιριώτερον μέλος παντὸς πολιτικȣ͂ σώματος, τρυφῇ καὶ πολυτελείᾳ ἑαυτȣ̀ς ἐκδιδόασι, μηδενὸς ἑτέρȣ φροντίζοντες. καὶ περισπȣ́δαςα αὐτοῖς μόνον, λαμπραὶ οἰκίαι καὶ περιττῶς ἐκτισμέναιτε καὶ κεκοσμημέναι, ἱςοὶ παντοδαποὶ τηλόθεν μάλα κομιζόμενοι καὶ πολλȣ͂ ὤνιοι, δοραὶ ἁπαλαὶ καὶ πολύτιμοι, ςολισμὸς γυναιξὶ μᾶλλον ἢ ἀνδράσιν οἰκεῖος, οἶνος πόῤῥωθεν ἐρχόμενος, τȣ͂ παρὰ σφίσιν, καίτοι κρατίςȣ ὄντος, δἰ αὐτὸ τȣ͂το ὅτι παρὰ σφίσιν, περιφρονȣμένȣ· ἐδώδιμα ἐκ ξένης ἀφικνȣ́μενα, ξένοι καὶ ἁδρῶς μεμισθωμένοι μάγειροι καὶ θεράποντες, ἀγέλαι θηρευτικῶν κυνῶν πλείονος φροντίδος, ἢ οἱ ὅμοιοι αὐτοῖς, ἠξιωμένων, καὶ κυνοθέας καὶ κυνοδρομίας πλέον ȣ̓δὲν, ὡς τȣ́των πάντων τάχα καὶ τῶν τοιȣ́των, ἃ καταλέγειν ἀηδία, τȣ͂ λαȣ͂ διαςελλόντων, κατ' αὐτȣ̀ς, τȣ̀ς ἄρχοντας. Ζῶντες ȣ͂ν ȣ̔́τως μᾶλλον δὲ σπαίροντες, πολλῶν δεόμενοι,

ἀδικεῖν τὸν λαὸν καὶ κλέπτειν τὸν ἡγεμόνα παντοίοις τρόποις, ἐ παύονται, τὴν ἀναίδειαν αὐτῶν καὶ τὴν ὕβριν, χειμάῤῥȣ δίκην, λαύρως καταράξασαν τῇ κοινωνίᾳ, λοιμῷ πανώλει παρομοίως, τῷ πολιτικῷ σώματι ἐμμανῶς ἐπισκήψασαν, συςέλλειν καὶ ἀναχαιτίζειν μηκέτι δυνάμενον, Ου θεωρȣ̃σιν αὐτȣ̀ς ὡς ὑπηρέτας, ἀλλ᾽ ὡς κτηματικȣ̀ς τȣ̃ λαȣ̃, ὅς τις, κατ᾽ αὐτȣ̀ς, δὲ ȣ̓δὲν ἄλλο ὑπάρχει, ἢ διὰ τὸ συντηρεῖν καὶ αὔξειν τὴν τρυφὴν σφων καὶ πολυτέλειαν.

Τȣ́τοις τοῖς βδελυροῖς καὶ ἀποτροπαίοις φρονήμασιν ἀκόλȣθα πράττοντες, σοβȣ̃σι διὰ τῶν ἀγυιῶν, ὑπερορῶντες πάντων, καὶ ἑαυτȣ̀ς εἶναί τι ἀνώτερον τῶν πάντων νομίζοντες, ἐκ καθαροτάτȣ μὲν σφᾶς χοὸς, ὥς τινος αὐτῶν τὴν ἠλιθίαν παραβολὴν ταύτην ἤκȣσα λέγοντος, ἀγγεῖα κομψὰ καὶ πολύτιμα ὄντας, ἐκ δὲ πεπατημένȣ καὶ εὐτελȣ̃ς τὸν λαὸν, ἀγγεῖα ἄκομψα καὶ εὐτελέςατα. Ου παύȣσι γȣ̃ν ἐκμυζῶντες τȣ̃τον, ὡς βδέλλαι, παντοίῳ τρόπῳ, ὡς

δευτεραῖα ὄντα νομίζοντες, καὶ ὡς ὑποζύγια ἐπὶ τῷ δȣλεύειν μόνον καὶ ἐργάζεσθαι σφίσιν γεγονέναι οἰόμενοι, ἵνα αὐτοὶ ὑπτιάζοντες, τὰ εἰς τὴν ἀναίσχυντον καὶ ἠλιθίαν τρυφὴν συντείνοντα, πλȣσίως καὶ ῥαδίως πορίζωνται. Ουκ ἔςι τρόπος, καὶ ὁ ἀποτροπαιότατος ἔτι, ᾧ πρὸς χρηματισμὸν χρῆσθαι ȣ̓ βȣ́λονται. Ψεῦδος, συκοφαντία, διαβολὴ, κλοπὴ, ἐπιορκία, κλεπτῶν καὶ λῃςῶν καὶ δολοφόνων ὑποδοχὴ καὶ προςασία καὶ συνηγορία, ψευδομαρτυρία, καὶ συνελόντι, πᾶσα παρανομία καὶ κακȣργία αὐτοῖς ἐπιτέτραπται, τὴν κοινὴν ȣ̓́τω συμφορὰν παντοίως μηχανωμένοις εἰς πρόσοδον. Ουκ ἐπιλείπȣσι, ναὶ, τῇ Αβαρίᾳ καὶ ἄνδρες τῷ ὄντι δἰ ἀρετὴν ἀξιέπαινοι· ἀλλὰ, τὸ τȣ̃ λόγȣ, ἔαρ χελιδὼν ȣ̓ καθίςησι μία· ȣ̓ μὴν, ȣ̓δὲ δύω, ȣ̓δὲ δὶς τόσαι· καὶ ςένειν καὶ ȣ̃τοι καταναγκάζονται, τὸν τῆς διαφθορᾶς χείμαῤῥον ἀπερύκειν μηδόλως ἔχοντες.

Ουτως ȣ̓̃ν οἱ πολλοὶ τὰ πρὸς τρυφὴν πορίζόμενοι, χαίρȣσι δαπάναις καὶ ἀσω-

τίαις, πολυτελέσι καὶ ποικίλαις τραπέζαις, τῷ λαῷ μηδὲ τὰ τῆς πρώτης ἀνάγκης ἱκανὰ καταλείποντες, ςολισμοῖς περιττῶς μάλα καὶ θηλυπρεπῶς ἑαυτῶν τε καὶ τῶν ἵππων ἐξ ἴσε· καὶ ὑδὲν συχνότερόν ἐςιν ἰδεῖν ἐν πόλεσι τῆς Ἀβαρίας, ἢ χρυσοφόρες ἐπὶ χρυσοφόρων ἵππων ἀβρῶς ἐλαύνοντας, καὶ δύσγνωςον πόῤῥωθεν τὸ ζῶον χρυσοσκεπὲς τυγχάνον πέραν τε δέοντος. Ιππέυεσι συχνὰ, ὐκ εἰς πόλεμον ἀσκεμενοι, ἀλλὰ χρῆσιν μηδέποτε σχεδὸν τῶν σφετέρων ποδῶν ποιεμενοι. Οπλα φέρεσιν ἐνίοτε ὐκ εἰς ἄσκησιν, ἀλλ' ἐς ἐπίδειξιν, ἵνα τὰς διαλίθες λαβὰς αὐτῶν καὶ τὰς χρυσᾶς ἢ ἀργυρᾶς θήκας καὶ ἕτεροι ἴδωσι, τὸ ἀμυντήριον τῆς πατρίδος ὅπλον βεβηλεντες, τρυφῆς ὑποκείμενον ποιεντες. Ουχ ὕτως ἐποίεν οἱ προπάτορες ἡμῶν τῶν εἰς ἄμυναν τῆς πατρίδος φροντίζοντες. Ουτως, ὦ βασιλεῦ, ὁ ἔρως τῆς πατρίδος καὶ ὁ ἐνθεσιασμὸς, τὰ μόνα ἀνίκητον ποιεντα τὸ ἔθνος, ἐξέλιπον. Ετι δὲ ἐμπορία περιττὴ, ὡς τῇ τρυφῇ ὑπηρετεσα, εἰσφρήσασα τῷ

ἔθνει, πάντας, ὡς ειπεῖν, φιλοκερδεῖς ἀναισχύντες, μικρολόγες, ἀντ᾽ ἀνδρῶν γενναίων, ἐποίησε, τὸ κέρδος περὶ πολλȣ̃, μᾶλλον δὲ περὶ παντὸς τιθεμένες, ἀνοήτȣ τρυφῆς καὶ παράφρονος, καὶ ἀναισχύντȣ πολυτελείας παντοίοις τρόποις περιποιεῖσθαι τὰ μέσα σπȣδάζοντας. Πόῤῥω τῆς σῆς ἀρχῆς τὸ τοιȣ̃τον, ὦ βασιλεῦ, ἐμπόριον, τὸ τὸν ἀνατρεπτικὸν πάσης κοινωνίας μοχλὸν χαλκεῦον.

Οιος δὲ καὶ ὁ γάμος ἐςὶν ἐν Ἀβαρίᾳ! ὁ γάμος ὁ ἱερὸς καὶ ἀπαράβατος δεσμὸς τῶν μερικῶν κοινωνιῶν, τῶν μελῶν παντὸς καθόλȣ κοινωνικȣ̃ συςήματος! ψυχρὰ τὸ σύνολον συνοικέσια, καὶ δεσμὸς χαλαρὸς καὶ πάντη κακόδεσμος, δέον τȣ̉ναντίον τυγχάνειν, ἵνα καὶ τὸ κοινωνικὸν σῶμα, τὸ μηδὲν ἀλλ᾽ ἢ ἄθροισμα πολλῶν συνοικεσίων τυγχάνον, συνῳδὰ βαδίζον τῷ γάμῳ, ςαθερὸν καὶ συνεσφιγμένον καὶ δυσδιάλυτον ᾖ. Εῶ λέγειν τὰ ἐν ταῖς προμνηςείαις συμβαίνοντα· τίνα γὰρ ἂν τις ἕτερα παρ᾽ ἐκνοθευθέντος ἤδη λαȣ̃ πε-

ριμείνειε; Προῖκες ἐξαίσιαι παρὰ τῶν πλȣσίων πατέρων τῶν μνηςευομένων προσφέρονται, καὶ τὰ ἐκ τȣ́τȣ συνοικέσια δυςυχῆ τὰ πολλὰ τυγχάνȣσι. Προῖκες ἐξαίσιαι παρὰ τῶν μνωμένων ἀπαιτȣ͂νται, καὶ ἐν τοῖς γαμικοῖς συμβολαίοις καταγραφῆναι προσαπαιτȣ͂νται· ȣ̓δὲν γὰρ πλέον ἢ μέσον καὶ ὄργανον μείζονος τρυφῆς τὸν γάμον ἀσεβῶς οἴονται, τὸν γάμον, τὴν ἱερὰν βάσιν ἐφ᾽ ἧς τὸ κοινωνικὸν βέβηκε σύςημα· καὶ δυσκολύνȣσιν ȣ̓́τω τȣ͂τον, καὶ ἡ ἀσέλγεια ȣ̓́τως αὔξεται, καὶ ὁ γάμος περιφρονεῖται, καὶ τὸ κοινωνικὸν κατ᾽ ὀλίγον ὑπορύττεται σύςημα. (1) Νυμφεύεται

---

(1) Ηδη πάλαι ὑπὸ τῶν ἠθικῶν σκεπτικῶν παρατετήρηται ὅτι αἱ προῖκες ἐν εὐθεῖ λόγῳ τῆς διαφθορᾶς τῶν ἠθῶν αὐξάνȣσι, καὶ τεκμήριον ἔχοι ἄντις ἀδιάπταιςον τὴν αὔξησιν τῶν προικῶν, τῆς διαφθορᾶς τῶν ἠθῶν καὶ ἐκπτώσεως. Η Μασσαλία πάλαι περίφημος ἐπ᾽ ἀρετῇ καὶ παιδείᾳ καὶ τῇ περὶ τὰ πολιτικὰ καὶ περὶ τὴν ἄλλην τȣ͂ βίȣ οἰκονομίαν προνοίᾳ, καὶ τῇ ναυτικῇ καὶ ἐμπορίᾳ ἐτύγχανε· καὶ οἱ ῥωμαῖοι ἔπειτα διὰ τὸ αὐτῶν περὶ αὐτὴν σέβας, τὴν ἣν ἐξ ἀρχῆς εἶχεν ἡ πόλις ἐλευθερίαν, ἐφύλαξαν, ὥςε μὴ ὑπακȣ́ειν τῶν ἐς τὴν ἐπαρχίαν πεμπομέ-

μὲν ὁ ἀνὴρ γυναῖκα, ἀλλὰ κωμητικὸν τὸ πρᾶγμα καὶ πάντη ἄγροικον οἰόμενος, ποιεῖ τοῦτο, μόνον εἰς συντήρησιν ἐξωτερικοῦ τινος φαινομένου καθήκοντος, καὶ ἀπολαςαίνων οὐ παύεται· καὶ ὡς ὑπὲρ νόμον αὐτὸς τάχα ὤν, ἀκολασίας οὐκ οἶδεν ὅρια. Ὑπανδρεύεται δὲ καὶ ἡ γυνὴ, ἀλλὰ μόνον διὰ τὴν κοινὴν λεγομένην ὑπόληψιν, ὑφ' ἕτερον εἶναι, κωμήτισι τάχα ἰδίου τοῦ πράγματος ὄντος, μηδενὶ τρόπῳ βούλεται, καὶ τὸν γάμον θεωρεῖ ὡς πρώτην βαθμίδα, δι' ἧς εἰς τὸν κόσμον εἰσέρχεται, ὡς ἐκ δεσμωτηρίου τῆς οἰκίας ἑαυτὴν ἀπαλλάττουσα, καὶ τοῦ κόσμου παντάπασι γίνεται, καὶ τῶν τῆς οἰκίας οὐδεμίαν φροντίδα ἐθέλει ἔχειν, τῆς οἰκίας, ἥπερ τὸ πάλαι, σωφρονούντων τῶν ἀβάρων, τῶν γυναικῶν ὑπῆρχε τὸ ςάδιον, τῶν ἀνδρῶν τοῖς ἔξω ἐνασχολουμένων.

---

νων ςρατηγῶν, μήτε αὐτὴν, μήτε τοὺς ὑπηκόους αὐτῆς. Ἰδὲ τί φησι περὶ αὐτῆς ὁ Στράβων. Τῆς δὲ λιτότητος τῶν βίων καὶ τῆς σωφροσύνης τῶν μασσαλιωτῶν οὐκ ἐλάχιςον ἄν τις θείη τοῦτο τεκμήριον. ἡ γὰρ μεγίςη προὶξ αὐτοῖς ἐςὶν ἑκατὸν χρυσοὶ, καὶ ἐς ἐσθῆτα πέντε, καὶ ἐς χρυσοῦν κόσμον πέντε· πλέον δὲ οὐκ ἔξεςι.

Ἀλλ᾽ ἄγε δὴ πολιτικώτερον τὸ πρᾶγμα ἐπισκεψώμεθα, καὶ ὄψει τὸν ἐκ τούτου πολλοὺς λανθάνοντα ὄλεθρον. Ψυχρὰ πρὸς ἀλλήλους φερομένων τῶν συζύγων, ἀδιαφορίας τὸν σύνδεσμον χαλώσης, οὐδεμία στοργὴ τοῦ ἀνδρὸς πρὸς τὴν γυναῖκα. Ἄρ᾽ οὐχ οὕτως ἔχει; Πάνυγε ἔφη ὁ Κρουμός. Οὐκοῦν, ἔφη ὁ ἄβαρος, ὁ ψυχρὸς ἀνὴρ, πάντως καὶ ψυχρὸς πατὴρ ἔσεται· ὅ ἐστιν, ὁ μὴ στέργων τὴν ἑαυτοῦ γυναῖκα, οὐδὲ τοὺς παῖδας στέρξει ποτὲ, μάλιστα δὲ καὶ ὑποπτεύων τὴν γέννησιν. Ουμενουν ὁ Κρουμὸς ἀπεκρίνατο. Φέρε δὴ σκεψώμεθα εἴτι ἐκ τούτου καθόλου ὀλέθριον, ἔφη ὁ ἄβαρος. Ο μὴ στέργων τοὺς αὐτοῦ παῖδας, δύναταί ποτε οὗτος ἑτεροῖός τις εἶναι περὶ τὴν πατρίδα· ὅ ἐστι, στέρξει ποτὲ οὗτος τὴν πατρίδα, καὶ θερμὸς περὶ αὐτὴν ἔσεται; Ηκιστα πάντων ἀπεκρίνατο ὁ Κρουμὸς μάλα τεταραγμένος. Τὸν δὲ μὴ στέργοντα, ἔφη πάλιν ὁ ἄβαρος, τὴν πατρίδα, τὸν ψυχρὸν περὶ ταύτην, ποῖον ἄρα ὑπηρέτην εἶναι τοῦτον νομίζεις τοῦ ἡγεμόνος, ποῖον στρατηγὸν,

ποῖον ταξιάρχην, ποῖον ϛρατιώτην, ποῖον κριτὴν, καὶ, συνελόντι, ποῖον ὑπηρέτην πατρίδος; Κάκιϛον, σύννες καὶ ἐπιτροχάδην ἀπεκρίνατο ὁ Κρȣμὸς τεταραγμένος. Οὐκȣ̃ν ἔφη ὁ ἄβαρος, τὸ συναγόμενον ἐκ τȣ́των εὐσύνακτον· ὅτι λέγω, τὸ κοινωνικὸν σῶμα ὡς ψυχοῤῥαγȣ̃ν θεωρητέον, καὶ περιμένειν ἀνάγκη τὴν ὅσον ȣ̃πω διάλυσιν. Τοιȣ̃τοι, ὦ βασιλεῦ, νῦν οἱ ἄβαροι· ταύτῃ τοι καὶ πρὸ μικρȣ̃ εἶπον, ὅτι, ὅσον ȣ̃πω, ὡς περὶ μηκέτι ὄντων ἀβάρων διαλέξονται ἄνθρωποι.

Πέμπτον ἤδη ἐνιαυτὸν εἰς Ἀλεξάνδρειαν ἱκόμην, ἐπιθυμῶν ἰδεῖν τὴν κοσμοπερίφημον ταύτην πόλιν, ἣν ὁ μακεδὼν Ἀλέξανδρος πρὸ τῆς Εὐρώπης καὶ ἀναμεταξὺ τῆς Ἀσίας καὶ τῆς Ἀφρικῆς κτισάμενος, μητρόπολιν τῆς ἑαυτȣ̃ μεγάλης ἀρχῆς γενήσεσθαι ἐφαντάζετο· ὅποι ποτὲ πανταχόθεν οἱ φίλοι τῶν ἐπιϛημῶν ἐπορεύοντο, ἐκεῖ ταύτας διδαχθησόμενοι· ὅποι καὶ νῦν ἔτι, καίτοι παρακμαζȣ́σης τῆς πόλεως, πολλοὶ πορεύονται εἰς αὐτὴν τὰς ἐπιϛήμας

σπεδάσοντες. Ενταῦθα διατρίβων, ἐσύχναζον εἰς τὰ σχολεῖα· καί ποτε ἐν σχολείῳ ἰατρικῆς τυγχάνων, ἤκεσα τȣ̃ τῆς ἰατρικῆς διδασκάλȣ λέγοντος, ὅτι τὸ νευρικὸν σύςημα, τὸ τιμιώτερον ἐν τῷ ἀνθρώπῳ, τῶν γυναικῶν, τῷ τῶν παίδων εἴη ὅμοιον. Τȣ̃τό μοι ἀκȣ́σαντι, ἐν νῷ ἐγένετο· ὅτι διὰ τȣ̃το καὶ τὸ γυναικεῖον φῦλον τȣ̃ ἀνδρείȣ τυγχάνοι, ὡς τὰ πολλὰ, ἀσθενέςερον. Καλῶς ȣ̃ν, κατ' ἐμαυτὸν ἔλεγον, οἱ ἀσιανοὶ ποιȣ̃σιν, ἐν ἀγνοίᾳ μὲν τȣ́τȣ, φρονήσεως δὲ ἄτερ ȣ̓δαμῶς, τῶν πρωτείων ταῖς γυναιξὶ μηδέποτε ἐξιςάμενοι. Ουτω καὶ οἱ προπάτορες ἡμῶν ἐποίȣν· νῦν δὲ, ἐν τῇ καθόλȣ ἐπὶ τὸ χεῖρον μεταβολῇ, ἰδεῖν ἐςι καὶ τȣ́τȣ τἀνάπαλιν, καὶ παρ' ἡμῖν ἡ ἅμαξα τὸν βȣ̃ν φέρει, ὥςπερ ἡ παροιμία φησίν.

Αι γυναῖκες ἀντὶ τȣ̃ πείθεσθαι τοῖς ἀνδράσιν, ὑπεροχήν τινα ἰδιοποιȣ́μεναι, τὸ ἀνάπαλιν διισχυρίζονται, καὶ ἐν διεφθαρμένοις τόποις, τȣ̃ σκοπȣ̃ αὐτῶν ῥᾳδίως ἐπιτυγχάνȣσι, καὶ τὸ σέβας ἀνῆκον τοῖς ἀν-

δράσιν, ὡς μέλος ἰσχυρώτερον ὄσι, σφίσιν ἀνήκειν διεπράξαντο. Εςιν ὂν ἰδεῖν, καὶ ἀπίϑανά σοι δόξω λέγειν, ὦ βασιλεῦ, ἄνδρας προβεβηκότας ἤδη τῇ ἡλικίᾳ, καὶ βαϑὺν καὶ λευκὸν καὶ σεβάσμιον καϑειμένȣς πώγωνα, νέων κομιδῇ γυναίων κωμικῶς μᾶλλον ἢ κομψῶς ἐςολισμένων, φιλεῖν τᾶς χεῖρας μετὰ μεγάλȣ σέβατος, ὡς δȣ́λȣς ὄντας, ȣ̋ς ὁ δημιȣργὸς κυρίȣς ἔταξεν εἶναι. Αναίδεια αὔτη μεγάλη ἐςὶ καὶ παντελὴς λήϑη τȣ̃ ἀνδρείȣ ἀξιώματος. Δεῖ τὰς γυναῖκας σέβεσϑαι τȣ̀ς ἄνδρας, ὡς ἀσϑενέςερον μέλος ȣ̓́σας, καὶ παρ' αὐτῶν περιμενȣ́σας τὴν ὑπεράσπισιν. Δεῖ τȣ̀ς ἄνδρας ςέργειν καὶ περιέπειν τὰς γυναῖκας, ὡς παρ' αὐτῶν τȣ̀ς παῖδας τȣ̀ς τῆς πατρίδος ὑπερμάχȣς περιμένοντας. Τοιȣ̃τοι, καϑόλȣ εἰπεῖν, οἱ ἄνδρες, πάντως ἀνάξιοι παντάπασι τȣ̃ ὀνόματος. Τοιαῦται αἱ γυναῖκες, καϑόλȣ, διὰ τȣ̀ς νηπιόφρονας. Ορᾷς ὦ βασιλεῦ, οἷα τῆς τρυφῆς τὰ ἀποτελέσματα;

Οιοι δὲ καὶ οἱ νέοι τῆς Αβαρίας! ο

νέοι ἡ ἐλπὶς τῆς πατρίδος! τάλαινα καὶ πανάλαινα πατρὶς, οἴαί σοι ἐκ μέσȣ τῶν κόλπων ἀναφύονται ἁπαλαὶ σαλαμάνδραι! Ἄκȣσον καὶ φρίξον, ὦ βασιλεῦ. Ἐξ ἁπαλῶν ὀνύχων, τὸ λεγόμενον, συνιᾶσιν ὅτι κληρονόμοι ποτὲ γενήσονται πολλῶν γηδίων καὶ χρημάτων, καὶ ἕξȣσιν, ὥςπερ ἐκ γῆς αὐτομάτως σφίσι φυόμενα, ἀνήροτα καὶ ἄσπαρτα, ὅσα εἰς πολυτέλειαν τραπεζῶν καὶ ἱματίων, καὶ δωματίων καὶ ἵππων, ὅσα, ἑνὶ λόγῳ, εἰς τρυφὴν χρήσιμα, καὶ ἐπιλήψει αὐτοῖς ȣδὲ ἕν· τάς τε κοινὰς ὑπηρεσίας, ἢ κατ' αὐτȣς λέγειν, τὰς ἀρχὰς, ὡς πάτριόν τι σφίσι νομίμως ἀνῆκον, ὡς ὁσημέραι ἀλαζονικῶς λέγοντες ȣ παύȣσι, διαδέξονται. Ορᾶς ὦ βασιλεῦ, οἵα ἡ ἀνατροπὴ τῶν νοημάτων καὶ τῶν πραγμάτων ἐνταῦθα· ἡ ἱερὰ τῆς πατρίδος λειτȣργία, εἰς ἣν πολλὰ δεῖ ἕκαςον πονῆσαι ἐκ νέȣ προπαρασκευαζόμενον, εἰς ἀπόλαυσιν κληρονόμημα, καὶ ἐς ἠλιθίαν τρυφὴν καὶ βδελυκτέαν, ὄργανον καὶ ὑπηρεσία νομίζεται· Ὦ Θεέ! οἷα ἀκȣ́ω, ὑπέλαβεν ὁ βȣ́ργαρος!

Τὸν λαὸν ἓν καὶ τὰς ὑπηρεσίας τῆς πατρίδος, ἔλεγε πάλιν ὁ ἄβαρος, ὡς ἴδια κτήματα βλέποντες, νομίμως πατρόθεν εἰς αὐτὺς κατιόντα, ματαιότητος πολλῆς καὶ πλείονος ἔτι αὐθαδείας καὶ ἀπειθείας καὶ ἰσχυρογνωμοσύνης ἐμπίπλανται, καὶ τὸ ὂκ εἰμι ὡς οἱ λοιποὶ ἄνθρωποι, καὶ τὸ ὅτω θέλω, καὶ ἡ λοιπὴ κακοήθεια καὶ ἀηδία, συχνά· Ἀφροντιςῦσι πάντων τῶν ἄλλων, καὶ μόνον περίπατοι καὶ θέαι, ςολισμὸς σώματος καὶ ποικίλη τράπεζα αὐτῶν ἡ ἀσχολία. Προβᾶσι δὲ μικρὸν τῇ ἡλικίᾳ, συμπροβαίνουσι καὶ αἱ κακοήθειαι αὐτῶν καὶ συνάυξουσι, καὶ τῆς σωματικῆς δυνάμεως προςεθείσης, καὶ κατὰ τῶν φύντων αὐτῶν ἀφηνιάζουσι, καὶ αἱ ὑπηνυλκαὶ ὀ σπάνιαι, καὶ ἡλικία ὀρθοῦ λόγου ὀδεμία.

Τηνικαῦτα περὶ τὸ κοσμεῖν περιττῶς τὸ σῶμα μᾶλλον σπουδάζουσι, πανία ἐξ ἀλλοδαπῆς καὶ πόῤῥωθεν ἐρχόμενα ἀναζητοῦσι, λίθους πολυτίμους, ἀλωπεκᾶς καὶ ἄλλας δορὰς ἐκ τοῦ βορειοτάτου τῆς Εὐρώπης, καὶ

ἄλλα ἐξ ἄλλων· καὶ ὀδὲν αὐτοῖς ὄτω περισπόδαςον. Τότοις ὂν ἐφωδιασμένοι, ἱμάτια ἐξ αὐτῶν ποικιλόχροα καὶ ἀνθηρὰ ποιῦνται, καὶ ὥσπερ ταῷ ἐςολισμένοι κωμικῶς, καὶ τεθρυμμένοι θηλυπρεπῶς, ἐλαύνοσι διὰ τῆς ἀγορᾶς σοβῦντες μάλα καὶ φρίσσοντες, ὑπερορῶντες πάντων, ὡς ὄντες τάχα πάντων ὑπέρτεροι· τῷ ὄντι δὲ, ἀμελῦντες τῦ ὄντος ἀνθρώπυ, μηδὲν ἀλλ' ἢ οἶκτος τυγχάνοντες, ῥυπαρὰν καὶ πολύσπιλον ψυχὴν ὑπὸ λαμπρὰ καὶ ἁπαλὰ ἱμάτια κρύπτοντες· οἵ τε πατέρες ἀκόλυθα καὶ ὗτοι ταῖς μυσαραῖς καὶ ἀπτροπαίοις ἀρχαῖς αὐτῶν πράττοντες, ὡς ἀγαλμάτια καὶ πάλληκας εἰς ὄψεως τέρψιν τὰς παῖδας αὐτῶν ἀνατρέφοντες, πατρίδος μηδόλως φροντίζοντες, βλέποντες τέρπονται καὶ γάνυνται, καὶ ὕτως ἔτι μᾶλλον αὐτὰς τυφῦσι καὶ διαφθείρυσι· Περιφρονῦσι τῦ μαθεῖν τι δἰ ὃ ἄξιοί ποτε ὑπηρέται πατρίδος ἔσονται· εἰσὶ δὲ οἵ καὶ, δἰ ὑπερβάλλοντα ἠλίθιον τύφον, ἀλλότριον καὶ ἀπροσφυὲς καὶ ἀνάξιον τῆς ἑαυτῶν καταςάσεως, τὸ μα-

θεῖν τι τῷ βίῳ τῶν ἀνθρώπων χρήσιμον καὶ ἀναγκαῖον, νομίζȣσιν.

Οιδα ὅτι πρό τινων ἐνιαυτῶν ἕλληνας καὶ λατίνȣς διδασκάλȣς τοῖς παισὶν οἱ πατέρες μισθȣ̃ν ἤρξαντο· καί ποτε, περιεργείας χάριν, εἰς τὴν οἰκίαν τινὸς τῶν λεγομένων μεγάλων ἐπορεύθην, καὶ εἰς τὸ τῆς διδασκαλίας δωμάτιον ἐμβὰς, ἤκȣον καθίσας τῶν λεγομένων. Παπαὶ τȣ̃ πόντȣ τῆς φλυρίας! οἷα τὰ ἀκȣόμενα! Ερωτες Διὸς καὶ συχναὶ ἀποκοιτίαι, καὶ ἀλλόκοτοι μεταμορφώσεις, καὶ Ηρας ζηλοτυπίαι, καὶ Αρεος κλεψιγαμίαι, καὶ Αφδοδίτης θρύψεις καὶ φιλαρέσκειαι καὶ φίλτρα! Επειτα περιμείνας τι πλεῖον ἵνα τάχα κρεῖσσόν τι καὶ σπȣδαιότερον ἀκȣ́σαιμι, βαβαί! θάλασσαν πάλιν φλυαρίας εἶχον ὁ ἄθλιος τὰ ἀκȣ́σματα, περιττὰς πάμπαν ἐξηγήσεις περιττῶν παντάπασι λέξεων, πραγματικὸν δὲ καὶ τρόφιμον ȣ̓δὲ ἕν! Αλλ' ἀντὶ τȣ́των ἁπάντων· ȣ̓ γὰρ ἀπὸ μύθων πάντως· καὶ γὰρ καὶ τὸ μῦθος αὐτὸ ἐνταῦθα ἀκȣόμενον, ἀγανάκτησιν ἢ γέλωτα

διεγείρει· ȣδ᾽ ἀπὸ ξηρῶν λέξεων καὶ παρομοίας φλυαρίας ἄρχεσθαι δεῖ πάντως πλάττειν καὶ δημιȣργεῖν τȣ̀ς παῖδας, τὴν ἐλπίδα καὶ βακτηρίαν τῆς πατρίδος. Ἀλλ᾽ ἀντὶ τȣ́των ἁπάντων, λέγω, ȣ̔ κάλλιον ἦν ἀπὸ τῶν περὶ ἡμᾶς αἰσθητῶν καὶ ἀπὸ τῆς ἀναγκαιότητος, ἀπὸ τῆς ὠφελείας, λέγω, καὶ βλάβης αὐτῶν τῆς διδασκαλίας ἄρχεσθαι, ἐν τῷ ὑπὸ τὰς ὄψεις πάντων ὑπὸ τȣ͂ δημιȣργȣ͂ τεθέντι ἠνεῳγμένῳ βιβλίῳ ἀναγινώσκοντας, καὶ μανθάνειν ȣ̔́τω τȣ̀ς παῖδας εἰσαγομένȣς εἰς τὸν βίον, τίνι τρόπῳ κάλλιςα καὶ χρησιμώτατα, ἑαυτοῖς τε καὶ τῇ πατρίδι, τοῖς περὶ σφᾶς χρήσονται, καὶ τίνι τρόπῳ, ἀνας̓ραφέντες εἰς ἑαυτȣ̀ς καὶ ἑτέρας ὑψηλοτέρας σχέσεις, τὸν κοινωνικὸν βίον ἀφορώσας, θεωρȣ͂ντες, ἄριςοι τῇ πατρίδι φανήσονται; Οὐ δεῖ ἕκαςον νέον, τῶν μέσων εὐπορȣ͂ντα, περὶ τέχνην τινὰ ἢ ἐπιςήμην ἰδιαίτερον σπȣδάσαντα, ἐγκρατῆ ταύτης, ὅσον οἷόν τε, γενέσθαι, ἵνα ȣ̔́τως χρήσιμος καὶ ἀναγκαῖος ᾖ τοῖς πολίταις αὐτȣ͂ καὶ τοῖς τρέφȣσιν αὐτὸν κωμή-

ταις καὶ θρέψεσιν, ἵνα μὴ ὡς κηφὴν ἐν κυψέλῃ ᾖ τῷ κοινωνικῷ συςήματι;

Οι παῖδες τῶν ἀρχόντων ἐν Αβαρίᾳ τοιὃτοι ὄντες, ὡς ἀνωτέρω εἴρηκα, λανθάνεσιν ἑαυτὲς οἱ ἄθλιοι, ὡς πίθοι κεχρυσωμένοι, μηδενὸς ἀλλ' ἢ ἀέρος ἐμπεπλησμένοι, ἐν τοῖς περὶ τῶν μεγάλων συμφερόντων τῇ πατρίδι βελευτηρίοις καθεδόμενοι. Οιηθήσονται ὃτοι οἱ ἄθλιοι, περιττῶς ὅτω καὶ κωμικῶς ἐςολισμένοι, καὶ καπνοσωλῆνας μακρὲς καὶ διαλίθες καὶ ἀκρηλέτρες πρὸ ἑαυτῶν τείνοντες, καὶ πώγωνα τετημελημένον καὶ μυρόβρεκτον καθειμένοι, περὶ ἃ ὡς περὶ μέγα τι ἐξ ἁπαλῶν ὀνύχων σπεδάζεσι, ἐρεῖν τι βαρὺ καὶ λόγε ἄξιον, καὶ μὴ καθεδεῖσθαι ἀνεμώλια βάζοντες; Αθλιος ὁ ἡγεμὼν ὁ τότοις ποτὲ εἰς ὑπηρεσίαν χρησόμενος· ἀθλία καὶ ἡ πατρὶς, καὶ φρὃδαι πᾶσαι αἱ ἐλπίδες καὶ μάταιαι· ἄθλιοι καὶ αὐτοί· ἢν γάρ τις ἐχθρὸς ἐπέλθῃ, αὐτοὶ πρῶτοι ὡς πρόβατα κατασφαγήσονται.

Σὺ, ὦ βασιλεῦ, τὰ τῶν κωνςαντινεπο·

λιτῶν πολυάριθμα ςρατεύματα, δεκαπλάσιά πυ τῶν σῶν ὄντα, ὁλοσχερῆ νικήσας νίκην, ἔτρεψας εἰς φυγὴν, ὡς εἰ ἐκ γυναικῶν ἢ ἐκ λαγῶν ἦσαν συγκείμενα, καὶ διώκων, δρακὶ, τὸ λεγόμενον, βυργάρων, πρὸ τῆς μητροπόλεως αὐτῶν παρεγένυ, τῆς περιφανεςάτης Κωνςαντινυπόλεως διὰ τὸν πλῦτον λεγομένης, ταπεινοτάτης δὲ τῷ ὄντι ὕσης, ὡς γύναια καὶ ὐκ ἄνδρας περικλειύσης. Τηνικαῦτα, ὦ βασιλεῦ, ἐν αὐτῇ τῇ πόλει ἐτύγχανον, ὐ κατὰ τύχην ἐκεῖσε ἀφικόμενος, ἀλλ᾽ εἰ ἀληθῆ εἶεν τὰ λεγόμενα περὶ αὐτῆς μαθεῖν ἐφιέμενος· πολλῶν γὰρ ἤκυον θαυμαζόντων αὐτὴν καὶ βασίλισσαν τῶν πόλεων πομπικῶς καλύντων. Εςι μὲν ὖν ἡ Κωνςαντινύπολις πλυσία καὶ πολυάνθρωπος, καὶ ἐν καλλίςῃ τοποθεσίᾳ κειμένη διὰ τὸ ἐμπόριον, διὰ τὰς τέχνας, διὰ τὴν εὐκολίαν τῶν πρὸς τὸ ζῆν, διὰ τὴν ἐν μέσῳ τῆς οἰκυμένης θέσιν, διὰ τὰς δύω θαλάσσας, δι᾽ ὧν εὐχερὴς ἡ ἐξαγωγὴ καὶ εἰσαγωγὴ, διὰ εὐγείυς χώρας τῶν πέριξ, διὰ τὴν κρᾶσιν τῦ κλίματος· ἐνταῦθα γὰρ

*καὶ τὸ ψύχος ἀνεκτὸν, καὶ τὸ θάλπος ὀδέποτε πνικτικόν· ἐκ γὰρ τȣ̃ Πόντȣ διὰ τȣ̃ Βοσπόρȣ, ὥςπερ διὰ πύλης ἠνεωγυίας, ἄυρα τις θέρȣς ῥέȣσα, κιρνᾷ θαυμασίως τὸν ἀέρα τῶν παραβοσπορίων.*

*Τοιαύτη ὀδεμία ἑτέρα πόλις ἐν τῇ Ευρώπη, ἧς τὰ πλείω μέρη περιεργείας χάριν ἑώρακα, νὴ Δία γε, μετὰ πολλῆς ἀηδίας, ῥυπαρῶς καὶ ληςρικῶς πως ὑπὸ τῶν ἀλαςόρων καὶ ἐπαράτων τελωνῶν ἐνοχλȣ́μενος. Οι κάτοικοι σπȣδάζȣσι περὶ τὰς ἐπιςήμας, ὡς λέγεται· ἀλλ' ὁ ἰατρὸς τȣ̃ βασιλέως ἑβραῖος ἀλλότριός ἐςι καὶ σύρος τὸ γένος, καὶ ἐντεῦθεν ἡ πρόοδος αὐτῶν εἰς τὰς ἐπιςήμας δήλη· ἐντεῦθεν καὶ ἐκ τȣ̃ βίȣ τῶν κατοίκων, ἁβρῶς μάλα καὶ θηλυπρεπῶς βιȣ́ντων· ἡ γὰρ πόλις αὐτῶν ὀδὲν ἕτερόν ἐςιν ἢ δευτέρα Σύβαρις, ὅπȣ σχεδὸν ἑκάςην ἡμέραν, ἑορταὶ καὶ συμπόσια, ὅπȣ πλῆθος ἀργῶν ἀνθρώπων καὶ μηθὲν ποιȣ́ντων, καὶ ἀλητῶν, ὅπȣ οἱ κοινοὶ περίπατοι καὶ αἱ ἀγυιαὶ καὶ αἱ ἀγοραὶ πλήθȣσιν ἑκά-*

ςην ὅλην ἡμέραν ἀνθρώπων, θηλυπρεπῶς μάλα καὶ λαμπροφόρως ἠμφιεσμένων, καὶ ἀπὸ κεφαλῆς μέχρι ποδῶν πολυτίμοις λίθοις, καὶ μαργάροις καὶ χρυσῷ καὶ ἀργύρῳ, ὥςπερ ὑποκριταὶ ἐν θεάτρῳ, πεφορτισμένων· καὶ γὰρ καὶ κνημίδες, καὶ κεφαλῆς καλύπτραι καὶ ζῶναι καὶ περισκελίδες καὶ ἱμάτια, ἔςιν ἰδεῖν παρ᾽ αὐτοῖς διάλιθα, διάχρυσα καὶ διαμάργαρα, ὡς ἐδαμȣ̃ ἄλλοθί πȣ ἐν τῇ Ευρώπῃ. Ουτω θηλυπρεπῶς μάλα καὶ ἀνειμένως ἐνδεδυμένοι, καὶ ὥσπερ ταὼ πολύχροοι, σοβȣ̃σι διὰ τῶν ἀγυιῶν ἀγερώχως, ὑπερορῶντες πάντων, εἶναί τι ὑπὲρ πᾶντας, διὰ ἃ αἰσχύνεσθαι δεῖ, εἰ ἄνδρες εἰσὶν, ἡγȣ́μενοι. Συμπόσια συχνὰ, χοροὶ συχνοὶ, κῶμοι συχνότεροι, παιδιαὶ ὁσημέραι, ȣ̓χ οἷαί τε αἱ τῶν πάλαι ἑλλήνων, ὧν τὰ τοιαῦτα εἰς σωμάτων ἄσκησιν τείνοντα, γυμνάσια ὠνομάζοντο· αὐτῶν δὲ χαλῶντα πάντῃ τὸ σῶμα καὶ ἐκθηλύνοντα, εἰκότως ἂν τις χαλατήρια καὶ ἐκθηλυντήρια ὀνομάσειε.

Τοιαῦτα τὰ ἐντὸς τῆς μητροπόλεως·

οἷα δὲ καὶ τὰ ἐκτὸς, αἱ κῶμαι, λέγω, αἱ βάσεις καὶ τροφοὶ τῶν πόλεων! Οὐδὲν τῶν κατοίκων τῶν ἀγρῶν ἐλεεινότερον· ῥακοφόροι, γυμνόποδες, ἡμίγυμνοι, ὅλην ἡμέραν ἐργαζόμενοι, καὶ μηδὲ τὰ πρῶτα ἀναγκαῖα εἰς ζωὴν ἱκανὰ ἔχοντες, ὑποκείμενοι συχναῖς ἐπιδρομαῖς, συχνὰ λεηλατέμενοι, συχνὰ πυρπολέμενοι, συχνὰ λαφυραγωγέμενοι, συχνὰ ὡς ὑποζύγια ἐν ταῖς ἀγοραῖς τῆς Ευρώπης πιπρασκόμενοι, διὰ τὴν ἀσθένειαν πάντως τῆς διοικήσεως· ὃ δὲ δὴ χείριςον τῶν πάντων καὶ ἀπανθρωπότητα πολλὴν τῶν διοικέντων ἐμφαῖνον, καὶ σπλάγχων διαῤῥηκτικὸν, ἐξ ἀσπλαγχνίας πολλῆς προερχόμενον, συχνὰ καὶ παντοίοις τρόποις οἱ ἄθλιοι φορολογέμενοι. Πιςεύεις; ὦ βασιλεῦ! ἐς τηλικῦτον ἀσεβείας καὶ βλασφημίας περίεςη τὰ πράγματα, ὥςε καὶ τὸ ὄνομα αὐτὸ τῶν κωμητῶν, τῶν τροφέων τῶν πόλεων, ὃ σέβεσθαι ἔδει, ὡς ὄνομα τροφέως, ὕβριν εἶναι οἷς ἐπιτίθεται. Ὢ τῆς ἀσεβείας, ὦ θεέ! διακόπτων τὸν λόγον ὁ Κρεμὸς, καὶ ἄνω πρὸς ὀρανὸν

βλέπων, καρδία παλλέση καὶ θριξὶ φρισσέσαις ἐξεφώνησεν:

Ουτως, ὦ βασιλεῦ, κέντρον ἐδὲν, ἢ χαλαρὸν πάντη καὶ ἄῤῥωςον, καὶ τὸ πολίτευμα, ὃ φέρεται, ἀλλὰ παραφέρεται, καὶ καταπεσεῖται τάχιςα. Οι διοικῦντες τὸ σήμερον μόνον φροντίζοντες, ἀργυρολογῦσιν ἐπιτόνως, τῆς σήμερον τρυφῆς ἕνεκα, καὶ τῦ μέλλοντος καὶ τῶν ἀπογόνων ἐδεμία πρόνοια. Φόρυς καὶ τέλη καὶ τὰ λεγόμενα προνόμια, ἃ καὶ δίκαια ἀναιδῶς ὀνομάζυσι, τὰ ἀναφανδὸν παρανομίαι καὶ ἀδικίαι, πολλαπλασιάζυσιν ἐπ᾽ ἄπειρον· καὶ οἱ ἐμπορευόμενοι ταῦτα, πολλὰ πλειςηριάζοντες καταβαλόντες, διπλάσια ἀπαιτῦσι· καὶ ὕτως ὡς καπηλικόν τι σύςημα θεωροίη ἂν τις σὺν λόγῳ καὶ δικαίως τὸ πολιτικὸν σύςημα. Πιςεύεις, ὦ βασιλεῦ, προῖκα ὐδ᾽ ἀναπνέειν ἐςὶν ἐνταῦθα· δεῖ γὰρ ἀφεύκτως ἐπὶ τύτῳ καταβάλλειν τι τοῖς τέλη ἢ προνόμια ἐωνημένοις· ὐδὲ διψῶντι ὕδωρ, ὅπερ ὁ δημιυργὸς ἀπανταχῦ δαψιλέςατα χορηγεῖ, χάριν πιεῖν ἐπιτέ-

τραπται· ἀκμὴν καὶ ἐωνημένον, ὁδῦ προμήθειαν θέρυς, μικρὸν προβάντα, δεῖ ἔτι καταβαλεῖν τέλος ἑτέροις, ὡς λῃςαῖς ἐνεδρεύυσι, καὶ χεῖρόν τι λῃςῶν τοῖς ὁδοιπόροις ἐπιπίπτυσιν, ὡς τάχα ζημία ἑτέρα τελωνία τῦ ἐδώδιμόν τι ἢ πότιμον ἐπιφέρεσθαι ὄντος. Ταῦτα, καὶ ἕτερα παραπλήσια πολλὰ πλείω, ῥυπαρὰ καὶ καπηλικὰ καὶ προσαιτικὰ, καὶ ἀναρμοςεῖ πάντη πάντως καὶ ἰδιώταις ἀποχειροβιώτοις, ὐχ ὅπως τοῖς τὰ κοινὰ ἐπιτετραμμένοις, ὓς ἐλευθεριότητος καὶ γενναιότητος καὶ μεγαλοφροσύνης δεῖ εἶναι τὸ ὑπόδειγμα.

Εςιν ὕτως ἔχειν ἐπιτηδείυς καὶ ἀνδρείυς ςρατηγὺς, καὶ ῥωμαλέυς ςρατιώτας τὺς ὑπὲρ πατρίδος ἀμυνυμένυς; ὐδὲ γὰρ ὐδὲ πατρὶς ὕτως ὐδεμία πρότερον· Αργύρια ἔχοντες, οἴονται οἱ ταλαίπωροι ἕξειν τὸ πᾶν· ἀλλὰ λανθάνυσι μηδὲ ςρατηγὺς, μηδὲ ςρατιώτας τῷ ὄντι ἔχοντες. Αυτοὶ μὲν γὰρ, τῦ διανοητικῦ αὐτῶν ὑπὸ τρυφῆς ἐξυλωθέντος, ὕτως εἰπεῖν, καὶ παχυλωθέντος, νοεῖν τι καὶ ἐπινοεῖν πάντη ἀνίκανοι· ὁ δὲ λαὸς

περιφρονούμενος, ἀδικούμενος, τοῦ ἱεροῦ ἤδη πυρὸς ἐν αὐτῷ σβεσθέντος, μάχεσθαι καὶ αὐτὸς ἀνίκανος· ὁρᾷ γὰρ ἤδη τὸ πολιτικὸν σύστημα, οὐ δὶ οὗ γενόμενον, ἀλλὰ διὰ τὴν ἀργὴν καὶ τρυφηλὴν τινων ὀλίγων ζωὴν, ἢ δουλεύειν παντοίοις τρόποις καταναγκάζεται.

Στρατολογοῦσι νῦν οἱ κωνσταντινουπολῖται παντοδαποὺς ξένους, καὶ ἔστιν ἰδεῖν παρ' αὐτοῖς οὔννους, βουργάρους, κουτουργούρους, οὐτουργούρους, ἀβάρους, σλάβους, γότθους, βαράγγους, γεπίδας, ἐρούλους καὶ πολλοὺς ἄλλους, οἳ πάντως τοὺς ὑπὲρ ὧν σήμερον μάχονται, ὑποδουλώσουσιν αὔριον, καὶ ἔχομεν τούτου μυρία τὰ παραδείγματα, ἀλλ' οὐδὲν ἀπὸ τούτων ὄφελος (1). Δεῖ πανταχοῦ νοῦ, ἀλλ' ἡ

(1) *Ἴσχυσαν δέποτε οἱ ταραντῖνοι, φησὶν ὁ Στράβων, καθ' ὑπερβολὴν, πολιτευόμενοι δημοκρατικῶς· καὶ γὰρ ναυτικὸν ἐκέκτηντο μέγιστον τῶν ταύτῃ, καὶ πεζοὺς ἔστελλον τρισμυρίους, ἱππάρχους δὲ χιλίους. Ἀπεδέξαντο δὲ καὶ τὴν πυθαγόρειον φιλοσοφίαν, διαφερόντως δὲ Ἀρχύταν, ὃς καὶ προέστη τῆς πόλεως πολὺν χρόνον. Ἐξίσχυσε δὲ ὕστερον διὰ τὴν εὐδαιμονίαν ἡ τρυφὴ, ὥστε τὰς πανδήμους ἑορτὰς*

τρυφὴ ἀπαμβλύνει τοῦτον παντάπασι καὶ ἐξορύττει τὰ τῆς ψυχῆς ὄμματα· καὶ οἱ τρυφηλοὶ, σταθμῷ, τὸ λεγόμενον, εἰς τὸ βάραθρον τρέχοντες, οὐδὲν αἰσθάνονται. Ἐστι τι ἀνοητότερον τοῦ τὴν ὑπὲρ πατρίδος ἀλλοδαποῖς ἐμπιστεύεσθαι ἄμυναν; ὅμως τὴν ἀνοησίαν ταύτην ἐν πολλοῖς ὁρῶμεν μέρεσιν. Ἐστι καὶ ἑτέρα τις ξένης στρατολογίας αἰτία, ὦ βασιλεῦ· ἀλλὰ καὶ αὕτη τρυφῆς ἀποτέλεσμα. Ἡ τρυφὴ, ἣν ὡς διαδοτὸν λοιμὸν τοῦ κοινωνικοῦ σώματος ἡγητέον, γεννᾷ πολυτέλειαν· ἡ πολυτέλεια ἄυξειν τὰς κοινὰς καὶ ἰδίας προσόδους βιάζεται, καὶ ὁρᾷ τὸν λαὸν ὡς ἐπὶ τούτῳ μόνον ὑπάρχοντα, ἐπὶ τῷ ζωοποιεῖν καὶ τρέ-

---

πλείους ἄγεσθαι κατ᾽ ἔτος παρ᾽ αὐτοῖς ἢ τὰς ἡμέρας· ἐκ δὲ τούτου καὶ χεῖρον ἐπολιτεύοντο. Ἐν δὲ τῶν φαύλων πολιτευμάτων τεκμήριόν ἐστι, τὸ ξενικοῖς στρατηγοῖς χρῆσθαι. καὶ γὰρ τὸν μολοττὸν Ἀλέξανδρον μετεπέμψαντο ἐπὶ μασσεπίους καὶ λευκανούς· καὶ ἔτι πρότερον, Ἀρχίδαμον τὸν Ἀγησιλάου, καὶ ὕστερον Κλεώνυμον καὶ Ἀγαθοκλέα, εἶτα Πύρον, ἡνίκα συνέστησαν πρὸς ῥωμαίους. Οὐδ᾽ ἐκείνοις δὲ εὐπειθεῖν ἠδύναντο, οὓς ἐπεκαλοῦντο, ἀλλ᾽ ἐς ἔχθραν αὐτοὺς καθίστασαν.

φειν καὶ ἄυξειν καὶ ἀκμάζειν ποιεῖν ταύτην, χορηγȣ̃ντα τὰ μέσα πάντοτε. Τί ἤκȣσον διατρίβων ἐν Κωνςαντινȣπόλει; Ἄκȣσον καὶ φρῖξον, ὦ βασιλεῦ. Ἤδη μοι, χάρις τῷ Θεῷ, ἡ πρόσοδος διπλασία, ἔλεγέ τις· ἕτερος πάλιν, κἀγὼ, σὺν Θεῷ, τάχιςα τριπλασιάσειν ταύτην ἐλπίζω· ἐργάζεσθαι γάρ μοι τȣ̀ς κωμήτας ὁ φιλανθρωπότατος βασιλεὺς τριπλασίας τῶν πρότερον ἡμέρας τὸν ἐνιαυτὸν ἐπέταξε· τρίτος τις αὖθις, τῆτες μοι σὺν Θεῷ ἡ πρόσοδος τȣ̃ ἀγρȣ̃ μȣ διπλασιασθήσεται· ἡ γὰρ τιμὴ τȣ̃ σίτȣ ηὔξησε, καὶ, χάρις τῷ Θεῷ, αὐξάνει ἔτι· Τέταρτός τις, τριπλάσια κερδήσω, τὸν ἐνεςῶτα ἐνιαυτόν· ἤδη γὰρ σὺν Θεῷ οἱ πυρεττοὶ πολλοὶ καὶ βαρεῖς καὶ κακοήθεις ἐν σκήπτειν τῇ πόλει ἄρχονται· καὶ τȣ́τοις πολλοὶ καὶ ἄλλοι παραπλήσια διελέγοντο· καὶ ȣ̓δὲν ἕτερον ἦν ἀκȣ́ειν ἢ διπλασιασμȣ̀ς καὶ τριπλασιαμȣ̀ς, καὶ, ὅλως εἰπεῖν, αὐξήσεις ἐτησίων προσόδων κτηματικοῖς, καὶ κεφαλαίων ἐμπόροις· ἀκμὴν καὶ οἱ ἀκτημοσύνην καὶ πτωχείαν πρὸς Θεȣ̃ καὶ πρὸς

ἀνθρώπων ἐπαγγειλάμενοι, παραπλῆσί ἄττα λέγειν ἀναιδέςατα, οἰόμενοι ἠλιθίως λέγειν τι, ὀκ ἔπαυον. Ἐντεῦθεν ὕβρις, ἐντεῦθεν μυρίοι τρόποι τȣ̃ ἐκμυζᾶν τὸν λαὸν, ἐντεῦθεν τυραννία. Τί τὸ ἑπόμενον; Μῖσος καὶ ἀποςροφὴ τῶν ἀρχομένων πρὸς τȣ̀ς ἄρχοντας, καὶ ὑποψία καὶ ἀπιςία καὶ φόβος τȣ́των παρ' ἐκείνων, κἀντεῦθεν καταφυγὴ πρὸς ἀλλοδαπȣ̀ς ςρατιώτας καὶ φύλακας, ȣ̀ς ȣ̓κ ἔτι ςρατιώτας. ὀνομαςέον, ἀλλὰ δορυφόρȣς.

Διατρίβων ȣ̃ν ἐν Κωνςαντινȣπόλει, τὸν κατὰ σȣ̃ κινȣ́μενον καὶ ἀπαίροντα ςρατὸν ἑώρων, εἰ ςρατὸν δεῖ ὀνομάζειν, καὶ ȣ̓κ ὄχλον μᾶλλον, τὸν ἐκ συγκλύδων ἀνθρώπων συγκείμενον, καί σῶμά τι ἐξ ἑτερογενῶν πάντη ὑλῶν συνιςάμενον, καὶ τύρβη τυγχάνον αὐτόχρημα. Ἑώρων δὲ καὶ τȣ̀ς ἄγοντας ταύτην τὴν τύρβην, ὡς εἰς πανήγυριν καὶ θοίνην τῆς πόλεως ἐξιόντας, ἐφ' ἵππων χρυσῷ καὶ μαργάροις καταφράκτων, ἐςολισμένȣς θηλυπρεπῶς, καὶ χρυσοδιάλιθα ὅπλα φέροντας, θρασυδειλίας δὲ ȣ̓δὲν

ἕτερον ἀναπνέοντας. Εώρων καὶ τὰς θεαμένας τὸν ἀξιοθαύμαςον τῦτον ςρατὸν ἐκ τῶν τῶν οἰκιῶν θυρίδων, αἵπερ ἐθαύμαζον τὴν λαμπροφορίαν τῦ ςρατεύματος, καὶ ἤδη περὶ βυργάρων δεδεμένων καὶ ἀγομένων πρὸς ἀλλήλας διελέγοντο· καὶ ἐδέοντο τῶν ταξιαρχῶν, ἡ μὲν, κηπυρὸν καὶ γεωργὸν καὶ ἱπποκόμον οἱ κομίσαι· ἡδὲ, θεραπαινίδας ὡραίας· ἕτεραι πάλιν, εὐειδεῖς θεράποντας νέυς ἐζήτυν· καὶ ἄλλαι ἄλλα. Εμοὶ δὲ τὰς ἀηδίας ταύτας ὁρῶντι καὶ ἀκύοντι, ποτὲ μὲν ναυτιᾷν ἐπήρχετο, ποτὲ δὲ, ἐκραγῆναι ἐς ἄσβεςον τῷ ὄντι γέλωτα· σιωπᾷν δὲ ἔδει, δέει ἐπ' ἐμαυτὸν ἐπισύραι ὄχλον ἀφηνιάζοντα. Εταλάνιζον ἅπαντας καὶ θεωρῦντας καὶ θεωρυμένυς, καὶ τὴν παντελῆ ἧτταν αὐτῶν ὡς ἤδη γενομένην προέβλεπον.

Ειδον ἔπειτα αὐτὺς ἀναισχύντως ἐπιςρέφαντας, πνευςιῶντας μάλα καὶ ὠθῦντας ἀλλήλυς πρὸ τῶν πυλῶν καὶ καταγκωνιζομένυς καὶ βιαζομένυς τὴν εἴσοδον, καὶ προτροπάδην καὶ σωρηδὸν εἰσερχομένυς, καὶ

μεγαλοφώνως ἐπικλείειν τὰς πύλας κελεύοντας. Επικλείσαντες γȣ̃ν τὰς πύλας, παρεσκευάζοντο εἰς πολιορκίαν, ἀλλ' ὑπὸ φόβȣ κρατȣ́μενοι, ȣ̓δὲ ποιεῖν τι τῶν δεόντων ἠπίςαντο, καὶ τύρβης καὶ συγχύσεως πλέον ȣ̓δέν. Αδυνατȣ̃ντες ȣ̓̃ν πράξαί τι ἀνδρεῖον, εἰς συμβιβασμȣ̀ς καὶ διαλλαγὰς ἐτράποντο· καὶ ἃ βίᾳ καὶ ἀνδρίᾳ ἐκτελέσαι αὐτοῖς ὑπῆρχεν ἀμήχανον, τρόποις πολιτικοῖς καὶ δόλῳ διαπράξεσθαι ἤλπιζον καὶ τὴν ἐπιβȣλὴν ἐτύρευον, καὶ τὸ δολοφονικὸν ἐγχειρίδιον ἐν παραβύςῳ καὶ ἐν γωνίᾳ πȣ ἔθηγον· Δόλος γὰρ καὶ δηλητήρια φάρμακα καὶ δολικὰ ξιφίδια, παρ' οἷς ἡ τρυφὴ ἐπικρατεῖ, πολύχρηςα, καὶ συνήθη τῶν διεφθαρμένων ἐπιτηδεύματα. Αλλ' ȣ̓δὲν πλέον αἰσχύνης αὐτοῖς διαπέπρακτο.

Βȣ́λει προσθῶ τι, ὦ βασιλεῦ ἀπὸ ἀποκρίσεως εἰς συμβȣλὴν μετερχόμενος; Μικρὰ ναὶ ἡ χώρα, ἧς ἄρχεις, ἀλλὰ μεγάλαις ἀρχαῖς, τῇ τε πρὸς μεσημβρίαν τῆς Βȣργαρίας κειμένῃ καὶ τῇ πρὸς ἄρκτον, σεβα-

ςὸς καὶ ἐπίφοβος αὐταῖς ἐγένε, νικήσας τὰ πολυάρθμια αὐτῶν ςρατεύματα, καὶ ἤδη φορολογεῖς ἑκατέραν. Ορᾶς ἔν, ὦ βασιλεῦ, ὅτι ἑτεροῖόν τί ἐςι πάντη τὸ ποιἔν ἀρχήν τινα σεβαςὴν καὶ ἐπίφοβον τοῖς γείτοσι, καὶ ἐ μεγάλη ἔκτασις καὶ πολλὰ ςρατεύματα; Φύλαξαι γἔν μήποτε ἐκτείνεσθαι καὶ πλετεῖν θέλων, λάθῃς σαυτὸν ὀλέθρια κατὰ τῆς σαυτἔ ἀρχῆς μηχανώμενος. Επεὶ δὲ μικρὰ ἐπικράτεια, ὡς ἡ τῆς Βεργαρίας, καὶ εὖ μάλα ὠργανισμένη καὶ μέγα δυναμένη, ἐκ ἀεὶ ἔξω κινδύνε καθέςηκεν, ὡς ἔφην ἀνωτέρω, καὶ δεῖ πάντως λαόν τινα, ἀναφαιρέτε ἀνεξαρτησίας φροντίζοντα, ἐκ χιλίων πεντακοσίων μυριάδων κατοίκων ἁπλῶς, τἐλάχιςον, συντεθεῖσθαι, καὶ ὑπερβαίνειν σοι τὰ ἐκ μεσημβρίας ὅρια ἐ καλὸν, ἔχεις τὴν πέραν τἔ Ιςρε χώραν, εὖ διωρισμένην ὑπό τε τἔ Ιςρε καὶ τἔ Τισσἔ, καὶ τἔ Τύρα καὶ τἔ Πόντε· ἤ, μᾶλλον εἰπεῖν, ὑπὸ τἔ θεἔ αὐτἔ, τοῖς ὕδασι τἔτοις. Ταύτην θεώρει ἐφεξῆς ἰδίαν χώραν, ἱκανὴν ἔσαν, διὰ τὸ εὔγειον καὶ τὴν

ἔκτασιν, τροφὴν παρέχειν τόσῳ λαῷ, ὅσος ἱκανὸς εἰς σύςασιν μοναρχίας, ἥπερ εὖ διῳκημένη καὶ διωργανισμένη, καὶ ἐπ᾽ αὐςηροτάτης δικαιοδοσίας βεβηκυῖα, καὶ ἐῤῥωμένη ὅτως, ταῖς ἔξωθεν ἐπιδρομαῖς καὶ ἐπιθέσεσιν, εἴτε εἰς λεηλασίαν, εἴτε εἰς κατάκτησιν, ἀκαταμάχητος ἔσεται. Ταύτην θεώρει ὡς πρωτεύοσάν σοι καὶ ἰδίαν ἐπικράτειαν, καὶ ῥαδίως φυλάξεις καὶ τὴν Βογαρίαν ἐκεῖθεν ὁρμώμενος. Ταῦτα τὰ ὅρια ὡς ἱερὰ ἡγῦ ὑπὸ τῦ δημιεργῦ αὐτῦ τεθέντα, καὶ μηδέποτε παραβῆναι θελήσῃς, μηδὲ τολμήσῃς, τῆς παραβάσεως αὐτῶν ὀλεθριωτέρας τοῖς ἐντὸς αὐτῶν ἢ τοῖς ἐκτὸς, ἐφ᾽ ὅς ἡ ὑπέρβασις, ἐσομένης.

Τί δὲ καὶ ἐκ τῦ λεγομένυ κοινῶς πλύτυ σοὶ τῇ ἀρχῇ προσγενήσεται; Ξενολογήσεις; Ἀλλὰ τὰ κωνςαντινυπολιτῶν καὶ ἀβάρων ἔςωσαι φρικοποιὸν μάθημα. Οὐαὶ τῷ ἄρχοντι τῷ τὴν ὑπὲρ πατρίδος ἄμυναν ξένοις ἐμπιςεύοντι. Διαφθερεῖς τὺς γείτονας; Ἀλλ᾽ ἴσθι διαφθείρων ἅμα καὶ τὸ ὑπήκοον, καὶ ἄδικα πράττων· καὶ ἕξεις,

ἔτω πολιτευόμενος, τό, τε ὑπήκοον καὶ τὴν καθόλε δικαιοσύνην, ἣν ϐλήσεις ἄδικα πράττων, ἐναντία τῷ σῷ πολιτεύματι. Αὐξήσεις τὴν ευτυχίαν τῆς ἀρχῆς; Ε, ὅσον οἱ ἄνθρωποι τῆς ἐς ευτυχίαν ὁδϐ ἐκτετράφαται! Ο πραγματικὸς πλϐτος, δι' ὃν σοὶ περιττὸς ὁ χρυσὸς, αὔξει τὴν ευτυχίαν κοινῶς τῶν κατοίκων· καὶ ἡ ἐντὸς καὶ πέραν τϐ Ιςρϐ χώρα, πλϐσιωτάτη. Ο δὲ κοινῶς καὶ χυδαίως λεγόμενος πλϐτος, ὁ προληπτικὸς, δυςυχίας πολλῆς τῇ χώρᾳ γενήσεταί σοι παραίτιος. Ηδη παρατετήρηταί μοι τϐτο, ὦ βασιλεῦ, ἐν πολλαῖς πόλεσι τῆς Ευρώπης, πλϐσίαις κοινῶς νομιζομέναις, τῷ ὄντι δὲ πτωχευϐσαις· καθόλϐ γὰρ ὅπϐ ὁ προληπτικὸς πλϐτος πολὺς, ἐκεῖ καὶ φρικοποιὰ κατοικεῖ πτωχεία· πολλοςημόριον οἱ πλϐσιοι, ὑπὸ τρυφῆς διεῤῥωγότες καὶ ἀποπεπνευκότες· ὁ πολὺς λαὸς πένεται καὶ κατατρύχεται· ὅπϐ ὁ προληπτικὸς πλϐτος πολὺς, ἐκεῖ καὶ τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα δυσπόριςα, καὶ τὸ πᾶν πενίᾳ καὶ τρυφῇ, ςερήσει καὶ περισσείᾳ ἐκλέλυται,

καὶ ψυχρὸν περὶ πατρίδα παντάπασι· καὶ ἤν τι συμβῇ, συμβήσεται δὲ πάντως, τῶν πραγμάτων ὅτως ἐχόντων, ὀδεὶς ἐνθεσιασμὸς ὁ μόνος τῇ πατρίδι σωτήριος. Ουτος ὁ προληπτικὸς πλῦτος ὦ βασιλεῦ, ὡς τὴν ἰσοςαθμίαν, ἐξ ἧς ἡ συμφωνία καὶ ἡ ἁρμονία τῦ πολιτικῦ σώματος κρέμανται, ἀνατρέπων, τὺς θρεπτικὺς χυμὺς, ἵν᾽ ὅτως εἴπω, ὃς ἀνάγκη ἐς εὐρωςίαν ἐξ ἴσυ τοῖς μέλεσιν ἀποχεῖσθαι, διαταράττων, καὶ πλήθυς μὲν καὶ ἐξογκώσεως καὶ οἰδημάτων τισὶ μέλεσι, ἀτροφίας δὲ ἑτέροις ὑπάρχων παραίτιος καὶ νεκρώσεως, ὡς πατὴρ τῆς τρυφῆς τῆς ἐκθηλυνύσης τὺς κατοίκυς, καὶ διαφθειρύσης αὐτῶν τὰ ἤθη, κλέπτας, ἅρπαγας, ῥυπαρὺς, χαμερπεῖς, μικρόφρονας, ὑπέλυς, δολίυς, κακοτέχνυς, ἐπιβύλυς ἀλλήλων καὶ τῦ κοινωνικῦ συςήματος ποιύσης, ὑπερορίσθω σοὶ νόμοις αὐςηροτάτοις. Εςι θεός· ἔςιν ἀλήθεια· ἔςι δικαιοσύνη· ἔςιν ὀρθὸς λόγος. Ουδὲν σύςημα κοινωνίας ἔῤῥωται ἄλλως ἀγόμενον καὶ πολιτευόμενον. Ουδὲν ἀντίθεον μύ-

νιμον· ὀδὲν ἀντίθεον ὑγιεινόν. Ουαὶ τοῖς περιφρονῦσι τὴν αὐτοαλήθειαν, τὴν αὐτοδικαιοσύνην, τὸν θεῖον λόγον. Επιςραφήτω τις, καὶ ὄψεται, φρίττων πάντως, τὴν μεγάλην τῶν λεγομένων ἀλήθειαν.

Ταῦτα τῦ σοφῦ καὶ σκεπτικῦ ἀβάρυ ἐξαπτομένυ ἤδη ἐν τῷ τέλει τῦ λόγυ καὶ δεινοπαθῦντος καὶ σχετλιάζοντος, πυθόμενος ὁ Κρυμὸς, διεταράχθη ὅλως καὶ ἐξέςη, τῇ ἀληθείᾳ καὶ τῷ βάρει τῶν λόγων κινύμενος· καὶ αὐτίκα νόμυς κατὰ τῦ πλύτυ καὶ τῆς τρυφῆς καὶ τῆς ἀκολυθύσης ἀδικίας ἔθετο· ἔτιδὲ καὶ τέχνας καὶ ἐμπορίαν, ὅσαι ὑπηρέτιδες τῆς τρυφῆς, ὑπερορίυς ἐποίησε, καὶ αὐςηρῶς τὺς παραβαίνοντας τὺς σωτηρίυς νόμυς ἐπαίδευε, καὶ τὰς προσόδυς τὰς μεγάλας τὰς ἐκχαυνύσας καὶ χαλῶσας τὺς κατοίκυς, καὶ ὕτως ὑπορυττύσσας τὸν πολιτικὸν οἶκον, κωλύειν ἤρξατο. Ορᾷς ἀναγνῶςα ὅτι καὶ ἐν ἔθνεσιν, ἅπερ ἡμεῖς ἠλιθίῳ τύφῳ κινύμενοι καὶ φιλαυτίᾳ, ὀνομάζομεν βάρβαρα, εἰσὶν ἄνδρες δἰ ἀρετὴν καὶ σοφίαν ἀξιοθαύμαςοι, καὶ ὐδαμῦ

καὶ ὀδέποτε ἐπιλείψοσι τῇ ἀρετῇ οἱ τοιοῦτοι ὑπηρέται καὶ κήρυκες; Ορᾷς ὅτι συνῳδὰ τοῖς πυθαγορικοῖς φιλοσόφοις καὶ ὁ ἄβαρος ἐχρημάτιζεν; Εκεῖνοι πρὸ πολλῶν ἤδη ἑκατονταετηρίδων ἐφθέγγοντο, ἁ τρυφὰ γεννᾷ πολυτέλειαν· ἅδε, πλεονεξίαν· πλεονεξίη, ἀδικίαν, ἅδε, ὄλεθρον· καὶ ἀλλαχȣ̃, ἁ τρυφὰ γεννᾷ κόρον, ὅδε, ὕβριν· ἅδε, ὄλεθρον.

Αποθνήσκων δὲ ὁ Κρȣμὸς, διαμοιρᾷ τοῖς ἑαυτȣ̃ υἱεῦσι τὴν ἐπικράτειαν, καὶ ἡ δύναμις τῶν βȣργάρων ἐξασθενεῖ ὅτω καὶ τοῖς ἐξ ἔω ἐρχομένοις λεία γίνεται. Ησαν δὲ τὰ ἑῷα ταῦτα ἔθνη, χαζάροι πάλιν, οἳ καὶ πρότερον τὰ πρὸ ποδῶν μέχρι Τισσȣ̃ κατεκτήσαντο ἐπερχόμενοι. Αλλ᾽ ὡς ἔοικε περιεφέροντο ἐν τῷ δυτικῷ τῆς Ρȣμȣνίας καὶ φύλαρχοι ἀβάρων, περιεφέροντο δὲ καὶ φύλαρχοι χαζάρων, μηδέτεροι μηδετέροις ὑποταττόμενοι, καὶ ἑκάτεροι ὑπηκόȣς ῥȣμένȣς ἔχοντες, τȣ̀ς γε ὅπλων καὶ ἐρυμνῶν χωρίων ἀφροντιςȣ̃ντας, καὶ τοῖς καρποῖς μόνον τῆς Δήμητρος καὶ τῇ κτηνοτροφίᾳ

ἐνασχολȣμένȣς καὶ ἀρκȣμένȣς· ἦσαν γὰρ ἤδη καὶ ῥȣμȣ̃νοι ἐπικρατείας ἀνεξαρτήτȣς ἔχοντες, καὶ ὅπλοις ὑπὲρ τῆς ἑαυτῶν ἐλευθερίας ἀμυνόμενοι, ἢ φόρῳ μικρῷ αὐτόνομοι πολιτεύεσθαι ἐώμενοι. Τȣ́τȣς γȣ̃ν τȣ̀ς ἀβάρȣς καὶ χαζάρȣς ὁ Κρȣμὸς ὑπέταξε ῥάδιον· τȣ̃το μὲν διὰ τὴν ἐν πολέμῳ σύνεσιν καὶ ἀνδρίαν, τȣ̃το δὲ καὶ διὰ τὴν τῶν δυτικωτέρων ἴσως χαζάρων ἀπὸ τȣ̃ ἐντοῖς ἑῴοις ἀρχιβασιλέως αὐτῶν ἀπόςασιν καὶ ἀνεξαρτησίαν ἀφρονέςερον ἐπιθυμȣμένην. Στασιώδεις ἐκτόπως καὶ ἄγαν φιλελεύθεραι, αἱ χαζαρικαὶ φυλαί. Ειτα ȣ̓δὲν δυσεξελικτώτερον ȣ̓δὲ δυσδιεξιτητότερον τῆς ἱςορίας τȣ́των τῶν ἐθνῶν. Αυτοῖς μὲν γὰρ τὰς ἑαυτῶν πράξεις τοῖς ἀπογόνοις καταλιπεῖν, ὡς ἐπὶ τὸ κρεῖττον μαθήματα, ȣ̓δ' ὅλως ἔμελεν· ȣ̓δὲ γὰρ ȣ̓δὲ τȣ̃ μέλλοντος αὐτȣ̃, ὥς φασιν, ȣ̓δεμία φροντὶς αὐτοῖς ἐτύγχανε, πλὴν εἴτι πάρεργον παρ' αὐτῶν καταλειφθὲν τοῖς μετέπειτα, ᾄσματα λέγω ἐξημμένης καὶ μεγαλυνȣ́σης φαντασίας, τέρψεως χάριν, ἢ παραδόσεις ἀμυδραὶ ψυ-

χῆς ἀπὸ σχολῆς ἀλυέσης εἰς διατριβὴν θεραπευτήρια· ἕλλησι δὲ καὶ λατίνοις ἐς ἀληθινὴν καὶ πραγματικὴν παιδείαν παρακμάζεσι, περιφρονεμένων καὶ μισεμένων βαρβάρων ὀλίγα ἔμελεν· ἄραψί τε ἐπὶ παιδείᾳ ἀκμάζεσι μὲν, θρησκομανεσι δὲ ἐκτόπως, τὰ ἑτεροθρήσκων πεφρονηματισμένως περιπεφρόνηται, καὶ μικρῦ λόγε ἠξίωται. Επεὶ δὲ κατιόντες τῷ λόγῳ καὶ τῷ χρόνῳ τύρκων, χαζάρων, ὕγγρων ἐμνήσθημεν, παρεκβαίνοντες οἱονεὶ τῦ λόγε, διατρίψωμεν τοῖς τὰ ἤδη εἰρημένα καὶ ὅσον ὕπω εἰρησόμενα ἀφορῶσιν, ἐπιτροχάδην αὐτὰ διηγέμενοι.

Εν τῇ ἐννάτῃ τῦ ἔτες ἡμῶν ἑκατονταετηρίδι, ἀναμεταξὺ τῶν ποταμῶν Βόλγα καὶ Ιαΐκ, νομαδικός τις μέγας καὶ ἀρεομανὴς καὶ λῃςρικὸς περιεφέρετο λαὸς, τῇ τῶν τύρκων χρώμενος γλώττῃ, καὶ κλὼν ἄντικρυς τῦ μεγάλε ἐκείνε ἔθνες τυγχάνων καὶ αὐτὸς μὲν ἑαυτὸν καγγάρον ὠνόμαζεν, ὑφ᾽ ἑτέρων δὲ, πατζινάκης ἢ πατζινακίτης ἐκαλεῖτο. Περαιῦται ἔπειτα τὸν Βόλγαν καὶ

Τάναϊν, πρὸς δυσμὰς τρεπόμενος, καὶ περὶ τὰς πηγὰς κλονᾶται τῦ Ταναΐσκω, περὶ τὸν τριακοςὸν ἔννατον ἐνιαυτὸν τῆς ἐννάτης ἑκατονταετηρίδος, καὶ χρόνῳ ὕςερον ὁ πόῤῥω τῆς πόλεως Κιοβία, ἀεὶ πάντα λῃςρομανῶν. Τότε δὴ τηνικαῦτα, χαζάροι μὲν πρὸς δυσμὰς, κομάνοι δὲ πρὸς μέσην ἡμέραν ἐτύγχανον γείτονες, καὶ συγγενεῖς ἀλλήλοις τε καὶ ἐκείνῳ λαῷ· ἀλλ' ὅμως οὐ διὰ τῦτο ἀσφαλέςεροι, καὶ τῶν ἐπιδρομῶν αὐτῦ καὶ τῆς λῃςείας ἐλεύθεροι· ἐπέτρεχον γὰρ αὐτὸς συχνάκις οἱ καγχάροι, καὶ ἐπηρέαζον, τῆς ἐθνοσυγγενείας ὀλίγον φροντίζοντες. Ταῦτ' ἄρα κἀκεῖνοι ἀγανακτῦντες καὶ τὴν καγγαρικὴν μὴ φέροντες αὐθάδειαν, συναλισθέντες κοινῶς, ἐπιτίθενται ὁμοθυμαδὸν τοῖς καγγάροις, καὶ μετὰ αἱματώδη μάχην, νικῶσιν αὐτὰς καὶ τῆς χώρας αὐτῶν ἐγκρατεῖς γίνονται. Τῶν δὲ ἡττηθέντων καγγάρων, μέρος μὲν αὐτῶν τρέπεται πρὸς ἕω, καὶ περαιωθὲν τὸν Τάναϊν καὶ Βόλγαν καὶ Ιαΐκ, ἐς τὸ βόρειον τῆς Μπουχαρίας, τῆς πάλαι Σογδιανῆς

ἀφίκετο, οἱ δ' ἕτεροι κλίνεσι πρὸς τὸ δυτικὸν Κιοβία καὶ τοῖς μοαγγυόροις ἐπιπίπτεσιν.

Ἐν ταύτῃ τῇ ἐπιπτώσει καὶ συμπλοκῇ ἡττῶνται ὑπὸ τῶν καγγάρων οἱ μοαγγύαροι, καὶ τῆς σφετέρας χώρας αὐτοῖς ἐξίςανται. Τέτων δ' αὖθις τῶν μοαγγυόρων ἡττηθέντων, οἱ μὲν ἐς τὸ δυτικὸν ἀποβλέπεσιν, καὶ ἐν τῷ Ατελ κεζε, ὅ ἐςιν, ἐν τῇ Βασσαραβίᾳ παρὰ τὸν ποταμὸν Τύραν ἐνίδρυνται, καὶ μετέπειτα μετ' ὀ πολὺν χρόνον, ἐς τὰς ευρυχώρες πεδιάδας, τὴν εὐρύχωρον ἅλων, ὥτως εἰπεῖν, τῆς Εὐρώπης, κακῇ τύχῃ τῆς Ευρώπης αὐτῆς, ἀφίκοντο· ὁ φθάνεσι γὰρ ἀφιγμένοι, καὶ φόβε καὶ φόνε καὶ ἀναςατώσεως τὸ πᾶν ἐμπίπλαται· βόρειάτε γὰρ καὶ δυτικὰ καὶ μεσημβρινὰ ταῖς ἀλλεπαλλήλαις καὶ λυσσομανέσιν ἐπιδρομαῖς ὑπέκειτο· ὅπε καὶ νῦν ἔτι οἱ δι ἀνδρίαν καὶ ῥώμην κλεινοὶ ἀπόγονοι αὐτῶν μοαγγύοροι σώζονται· οἱ δὲ ἕτεροι μέσην ἄρνυνται ἡμέραν, καὶ διαβάντες τὸν Τάναϊν, ἐν τοῖς μεταξὺ αὐ-

τοῦ τε καὶ τῆς Κασπίας καὶ τοῦ Καυκάσου ἵδρυνται, ὅπου καὶ νῦν ἐστιν ἰδεῖν τῆς μητροπόλεως αὐτῶν Μοαγγνὸρ τὰ ἐρείπια.

Οἱ μὲν ἐν Παιονίᾳ κατασκηνώσαντες μοαγγοῦροι, τραγικῶν θεαμάτων, ἀνδρῶν οἰμωγῶν, γυναικῶν ὀλολυγῶν, παίδων ὀλοφυρμῶν, τὴν διεφθαρμένην Εὐρώπην ἐνεπίμπλασαν· αἱ δὲ ἀδελφαὶ αὐτῶν φυλαί, οὗτε καγγάροι ἐν τοῖς πέραν τῆς Κασπίας, καὶ οἱ ἔσω μοαγγοῦροι ἐν τοῖς ἐντός, πάντως καὶ ἔτι τὰ μεσημβρινὰ τῆς δυτικῆς Ἀσίας παραπλησίων κακῶν ἐμπλήσειν ἔμελλον· οἱ μὲν τῶν σιδηρῶν πυλῶν διεξιόντες, οἱ δὲ τὸν Ιαξάρτην καὶ Αράξην περαιούμενοι, καὶ ὥσπερ παντοκλύστης χείμαῤῥος βοῤῥῆθεν καταρασσόμενοι· ἀλλὰ τὰ ἄμαχα ὅπλα τῶν θεολήπτων ἀράβων τὰς λυσσεπιδρομὰς αὐτῶν ἀπεῖργόν τε καὶ ἀπέκρουον, καὶ τὴν Ἀσίαν ἀνηκέστων κακῶν μέχρι τινὸς ἀπήλλαττον. Ἀλλὰ γὰρ τοῦ πλούτου, τοῦ πατρὸς τῆς τρυφῆς, τῆς τῶν ἠθῶν διαφθορᾶς μητρός, τοῦ ἀνατρεπτικοῦ καὶ τῶν μεγάλων ἀρχῶν μοχλοῦ, ἐκθηλύ-

ναντος τὰς ἄραβας, καὶ τὰ ἐκθηλυσμὰ ἀποβαλεῖν τὰ μεγάλα καὶ ὑψηλὰ φρονήματα ποιήσαντος, συνέβη καὶ τοῖς ἄραψιν ἀνειμένοις ὄτω καὶ ἀκηδιῶσι, καὶ ὅλως παρειμένοις, ὅπερ καὶ πολλοῖς ἄλλοις, τὴν ὀχλεφετὴν, λέγω, ἀπώλεσαν εὐδαιμονίαν· μικρὸν τᾶτο, ἀλλὰ σὺν ταύτῃ καὶ τὴν πραγματικὴν εὐδαιμονίαν, καὶ δᾶλοι τῶν βαρβάρων, τῶν ποτὲ ἀργυρωνήτων γεγόνασι, μάθημα τοῖς μεταγενεςέροις, φοβερὸν μὲν, φροντίδος δὲ ἀδ᾽ ὀλίγης ἀξιέμενον, μὴ αλεγόμενον. Τοιᾶτον ἡ τρυφὴ περὶ ἣν καθόλα ἀνοήτως σπεδάζομεν. Οἱ τῦρκοι, πρῶτον αἰχμάλωτοι, ἢ ἀνδράποδα ἀργυρώνητα δᾶλοι, εἶτα οἰκέται καὶ ὑπηρέται οἰκίας, εἶτα σωματοφύλακες, ἀνοησίᾳ τῶν ἀράβων, τὴν ὑπὲρ ἑαυτῶν ἄμυναν ξένοις ἐμπιςευομένων, εἶτα ὑποταξίαρχοι, εἶτα ταξίαρχοι, διεπράξαντο τέλος βαθμηδὸν καὶ τὰ ἀνώτατα ἀξιώματα, καὶ τὸν κολοσσὸν τῆς ἀρχῆς τῶν ἀράβων ἀνέτρεψαν, περὶ τὴν ἑνδεκάτην ἑκατονταετηρίδα· καὶ οἱ καλίφαι, οἱ βασιλεῖς ἅμα καὶ μεγάλοι ἀρ-

χιερεῖς, σκιάν τινα ἀρχῆς ἐκέκτηντο, ἐπιτρεπόντων καὶ ταύτην αὐτοῖς τῶν ἡγεμόνων τύρκων, πολιτευομένων τὰ πλήθη αὐτῶν, δεδεγμένα ἤδη τὸ μωαμεθανικὸν δόγμα, ὅπερ οἱ καλίφαι πρῶτοι κήρυκες καὶ διδάσκαλοι ἐτύγχανον. Ἕτεροι ἐτοι, φίλε, τῦρκοι τῶν ἐκ τῆς ὑπερκασπίε διὰ τὸν φόβον τῶν μογγόλων, ἐς τὰ δύσβατα τῆς ἐλάσσονὸς Ἀσίας καταφυγόντων, καὶ χρόνῳ ὁ πολλῷ ἔπειτα τὴν κωνςαντινοπολιτῶν ἀρχὴν καταςρεψαμένων.

## Καβάροι.

Ἡττηθεῖσι δὲ καὶ ἐξελαθεῖσι τοῖς ὑπὸ χαζάρες μοαγγύροις, περὶ τὸν ὀγδοηκοςὸν ἔνατον τῆς ἐννάτης ἑκατονταετηρίδος ἐνιαυτὸν κατὰ τὸν Κωνςαντῖνον τὸν Πορφυρογέννητον, τὸν τὰ ὑπὲρ Πόντον καὶ Μαιῶτιν κάλλιον εἰδότα, ὡς παρ᾽ ὀλίγον σύγχρονον τυγχάνοντα, οἱ κύριοι καὶ προςάται αὐτῶν ἀρήγειν ἐκ ἠδύναντο· περὶ γὰρ τᾶτον τὸν χρόνον τὰ τὴν χαζαρικὴν ἀρχὴν συνιςῶντα φῦλα ἀναβρασμῷ καὶ ςά-

σει ἰδίᾳ κατεθορυβεῖτο καὶ διεταράττετο καὶ διεσχίζετο. Τρεῖς φυλαὶ τῶν δυνατωτέρων, ἃς καβάρας ἐκάλυν, τῷ μοναρχικῷ εἴδει τῆς ἀρχῆς ἐπαχθόμεναι, ἐπιβυλὰς ἐπὶ καταλύσει τέτυ τυρέυυσι, καὶ ὅπλοις ἐκτελέσαι τὰ τυρευόμενα βυλόμεναι, ἐπανίςανται, καὶ πόλεμος ἐντεῦθεν ἐμφύλιος, ὃς πάντων πολέμων τυγχάνει μανιωδέςερος, καὶ μάχαι ποταμῶν αἱμάτων πρόξενοι. Περιγίνονται τέλος οἱ μοναρχικοὶ, καὶ οἱ ἡττημένοι πρὸς δυσμὰς τρέπονται, καὶ τοῖς πρὸ ὀλίγυ τῆς αὐτῆς ὁδῦ δὶ ὅμοιον ἀτύχημα ἁψαμένοις, ἕπονται, καὶ ἐν Ρυμυνίᾳ γενόμενοι ἐκείνοις προςίθενται, καὶ τὴν ὀγδόην μοαγγυορικὴν φυλὴν ποιῦσι τὴν ἐν μάχαις πανταχῦ τὰ πρωτεῖα φέρυσαν.

## Λ ε β ε δ ί α ς.

Ο δὲ τῶν χαζάρων βασιλεὺς ὑπονοῶν καὶ δεδίττων μὴ τῶν καβάρων ὡς ζύμης τοῖς μοαγγυόροις ἐμβληθέντων, καὶ ἀναζυμώσεως αὐτοῖς γενομένων αἰτίων, ἐξαφθείη

ἅπαν τὸ ἔθνος ἐς ἐπανάςασιν, καὶ πράγματά οἱ παράσχοι, Λεβεδίᾳ τῷ ἐθνάρχῃ τὴν ἡγεμονίαν τῦ ὑπηκόυ ἔθνυς ἢ ἀρχεθναρχίαν προβάλλεται. Ησαν δὲ τότε καὶ πρότερον καὶ ὕςερον τῶν τε μοαγγυόρων καὶ τῶν ἄλλων ἐθνῶν οἱ ἐθνάρχαι, ἑκάςης φυλῆς ὡς θεὸν κατὰ κληρονόμίαν τὸν ἑαυτῆς θεωρύσης ἄρχοντα, ὐδὲν ἄλλο ἢ ἐπὶ ἄμυναν, ἢ ἐπὶ κατάκτησιν χώρας τὸ ἔθνος ἄγοντες. Λεβεδίας δὲ ὑπακοῶν καὶ δεδιὼς ἐπανάςασιν, ὡς ἀντὶ δημοκρατίας ἢ φυλαρχοκρατίας βασιλείαν εἰσάγων, Αλμέσην ὡς ἑαυτῦ τάχα ἀξιώτερον, ἀντιπροβάλλεται. Ψηφίζονται τοίνυν καὶ ἀναγορεύυσιν, ἐν Ρυμυνίᾳ ἔτι ὄντες, ἐν τῷ Ατελκυζῦ, διὰ τὸν Τύραν μικρὸν ποταμὸν ὡς πρὸς τὸν βόλγαν, ὀνομαζομένῳ, ὐ τὸν Αλμέσην, ἀλλὰ τὸν υἱὸν τῦ Αλμέση Αρπαδ, ἐπὶ φρονήσει καὶ ῥώμῃ καὶ ἀνδρίᾳ περιώνυμον, ἐπὶ ἀσπίδος καθήμενον καὶ ἐς ὕψος αἴροντες, παρεςώτων καὶ τῶν τῦ βασιλέως χαζάρων πρέσβεων. Εμμένει δ' ἔτι παρὰ τοῖς ἐν Ρυμυνίᾳ αἰγυπτίοις ἡ

ἀναγορευτικὴ τελετὴ αὕτη, τὸν ἑαυτῶν ψηφιζομένοις ἔφορον ἢ ἐπιϛάτην· τρὶς γὰρ αὐτὸν χερσὶν ἐς ὕψος αἴροντες, ὅτως αὐτὸν ὑπερ ἑαυτῶν γνωρίζȣσιν.

## Ἀ ρ π ά δ.

Ὁ τοίνυν Ἀρπὰδ τὴν ἀνωτάτω, ἀρθεὶς ὅτως, ἀρχὴν ἀράμενος καὶ ἐνδυσάμενος, τὰ πέραν τȣ̃ Ἴϛρȣ, τὴν Βȣργαρίαν, ὑποχείριαι ποιῆσαι προτίθεται. Ἦρχε δὲ τηνικαῦτα τῶν βȣργάρων ὁ δἰ ἀρετὴν πολεμικὴν καὶ σύνεσιν πολιτικὴν περίφημος Συμεὼν, ὁ ἐν Κωνϛαντινȣπόλει τὴν τότε ἐκπαιδευθεὶς παιδείαν, καὶ τὸ μοναχικὸν μὲν ἑλόμενος σχῆμα, ἔπειτα δὲ κακȣμένȣς τȣ̀ς βȣργάρȣς δἰ ἀναξιότητα ἀρχόντων ὁρῶν, τȣ̃ καιρȣ̃ δεξιῶς καὶ κατὰ γνώμην οἱ χωρȣ̃ντος, ἀποῤῥίψας τὸ ῥάσσον, ἀνθαιρεῖται καὶ ἀντενδύεται τὴν ἁλȣργίδα, καὶ μυρία δεινὰ ποιεῖν τȣ̀ς διδασκάλȣς ȣ̓ παύεται, κάκιϛα ἀποδιδȣ̀ς αὐτοῖς διδασκάλια. Ἀρπὰδ τοίνυν, συμμαχȣ̃ντος αὐτῷ τȣ̃ αὐτοκράτορος Λέοντος, περαιȣ̃ται, κατὰ τον

ὀγδοηκοστὸν ὄγδοον ἐνιαυτὸν τῆς ἐννάτης ἑκατονταετηρίδος, τὸν Ἴσρον ἐπὶ βȣργάρȣς συγγενὲς ἔθνος· καὶ γὰρ καὶ οἱ μοαγγȣ́ροι ἀπόγονοί εἰσι τῶν μετὰ τȣ̃ πρεσβυτέρȣ υἱȣ̃ τȣ̃ Κεβρὰτ καταμεινάντων ἐν τῇ νέᾳ Βȣργαρίᾳ· καὶ ἀποτυγχάνει μὲν τȣ̃ σκοπȣ̃, λεηλατήσας δὲ τὴν χώραν, καὶ τȣ̀ς αἰχμαλώτȣς τῷ συμμάχῳ πωλήσας, ὑπέστρεψεν ἐς τὸ Ἀτελκȣζȣ̃, τὴν Βασσαραβίαν. Συμεὼν δὲ μετ' ȣ̓ πολὺ, καιρȣ̃ δραξάμενος, τίσασθαι βȣλόμενος, περαιωθεὶς ἐς τὴν Ῥωμανίαν πολλὴν αἱματοχυσίαν ἐποίησεν.

Ἀρπὰδ δὲ ἀποτυχὼν ἐν μεσημβρίᾳ, πρὸς τὸ δυτικοβόρειον τρέπεται, Ἀρνὸλδ τῷ βασιλεῖ τῆς Γερμανίας κατὰ τῶν ἀρχόντων τῆς Μοραβίας τυγχάνων σύμμαχος. Τηνικαῦτα Συμεὼν τιμωρήσασθαι βȣλόμενος τὸν Ἀρπὰδ, καγγάρȣς ἔχων συμμάχȣς, μοαγγȣ́ροις ἐχθροτάτȣς, ἐπιτίθεται τοῖς ὑπολοίποις μοαγγȣ́ροις, ἐκπορθεῖ τὸ Ἀτελκȣζȣ̃, καὶ πᾶν τὸ ἀπαιτȣ́μενον ἄνδρας καὶ γυναῖκας καὶ παιδία κα-

τασφάζει ἀνηλεέςατα· καὶ ἵνα ταῖς Κωνςαντίνε τε̃ Πορφυρογεννήτε χρήσωμαι λέξεσι, τὰς φαμιλίας αὐτῶν παντελῶς ἐξηφάνισε, καὶ τοὺς φύλακας τῆς χώρας κακὴν κακῶς ἀπεδίωξε. Μοραβίαν δὲ ἀκέων, ὦ φίλε, μή μοι τὴν νῦν Μοραβίαν ἐννόει, ἀλλὰ τὴν πέραν τε̃ Τισσε̃ χώραν· τὸ γὰρ πάλαι καθῆκεν ἡ Μοραβία ἐπὶ πολὺ μεσημβρινώτερον, μέχρις Ἴςρε. Κατοικε̃σι γὰρ οἱ τε̃ρκοι, φησὶν ὁ Πορφυρογέννητος, πέραν τε̃ Δανεβίε ἐν τῇ Μοραβίᾳ, ἐκβαλόντες τὲς κυρίες (ἀσθενε̃ντας), ἔριδος αὐτοῖς (ἀδελφοῖς) καὶ ςάσεως ἐμπεσέσης, καὶ πολέμε ἐκραγέντος ἐμφυλίε μετὰ τὸν τε̃ πατρὸς θάνατον.

Επαναχάμψας δὲ ὁ Αρπὰδ ἐς τὸ Ατελκεζε, καὶ ἔρημον τῶν ὑπολειφθέντων οἰκείων εὑρὼν, καταλιμπάνει τε̃το καὶ πρὸς τὰ δυτικοβόρειον τῆς Ρεμενίας περὶ τὸν ποταμὸν Τισσὸν, καὶ περαιτέρω μετέπειτα; ἐς τὴν Παιονίαν τραπεὶς οἴχεται· ληςρορμητήριον γὰρ πολὺ κάλλιον καὶ ἐπιτηδειότερον τε̃ Ατελκεζε ἡ Παιονία ἐτύγχανεν, ἐν μέσῳ πως τῆς Ευρώπης κειμένη,

καὶ πεδιάδας εὐρυτάτας καὶ εὐφορωτάτας ἔχεσα, τοῖς πολυαρίθμοις ἵπποις τῶν ἱπποφάγων μοαγγυόρων νομὰς ἀρίςας. Ουτω μὲν ἓν οἱ μοαγγύοροι ταῖς καλλίςαις καὶ εὐρυτάταις πεδιάσι τῆς Ευρώπης ἐνίδρυνται. Ουτω, φίλε, ἔχει τἀνθρώπινα, καὶ κλιμακὸποιὸς ὁ θεὸς κατὰ τὸν κοινὸν λόγον, καὶ μὴ ἐπαιρέσθωσαν οἱ μέγα δυνάμενοι· ὕννων γὰρ καὶ ἀβάρων καὶ αὐτῶν τῶν κυρίων τῦ ἔθνες τῶν μοαγγυόρων, τῶν χαζάρων, καὶ τῶν καγγάρων ἔτι τῶν τὲς μοαγγυόρες νικησάντων ἐ δὲ τὸ ὄνομά πε αὐτῶν ἐν τῷ τῆς οἰκεμένης θεάτρῳ σώζεται· μοαγγυόρων δὲ μέγα ἔτι καὶ νῦν τὸ ὄνομα καὶ τὸ κλέος, καὶ τῆς Ευρώπης τὸ μεσαίτατον καὶ κάλλιςον ἐςὶν αὐτοῖς ἐμβιωτήριον.

## Κ α γ γ ά ρ ο ι.

Καταλιπόντας δὲ τὲς μοαγγυόρες τὰ ἀνατολικὰ μεσημβρινὰ τῆς Ρεμενίας, διαδέχονται οἱ καγγάροι καὶ μέχρις Ολτε καὶ Τισσε ἐκτείνονται, καὶ ἐς ὀκτὼ νομὰς, θέ-

ματα παρὰ τῷ Πορφυρογεννήτῳ ὀνομαζομένας, ἡ ὑπ' αὐτῶν κατακτηθεῖσα χώρα διῄρηται· ἐπειδὴ καὶ ὀκτὼ φυλαρχίαι ἦσαν αἱ πρωτεύουσαι, ὑποφυλαρχίαι δὲ πολλῷ πλείους. Ησαν δὲ οἱ νομοὶ οὗτοι, Χοπὸν, ἡ νῦν Μολδόβα καὶ ὁ Ρωμουνικὸς ἀγρός· Γύλα, ἡ ἀναμεταξὺ Τιασῦ καὶ Αρδὲλ Μοαγγυορία· Ηρτημ, τὸ νῦν Αρδὲλ· Χοραβόη, τὰ ἀναμεταξὺ Τύρα καὶ Βορυσθένες· Ταλματ, Τζοσον, Καλπε, Τζορ, ἀναμεταξὺ Βορυσθένες καὶ Ταναΐδος. Ην δὲ ἕκαςος νομὸς περιελάμβανε χώραν, ὁ δεῖ τὴν αὐτὴν ἔκτασιν καὶ τὰ αὐτὰ ὅρια ἔχειν οἴεσθαι. Ωκεν δὲ τὰ ἄκρα τῆς ἀρχῆς, τὸ Γυλα, τὸ Ηρτημ καὶ τὸ Τζὸρ αἱ φυλαὶ Καγγὰρ ἢ Καγγλὶ, αἱ παρὰ τοῖς Καγγάροις εὐγενέςαται καὶ ἀνδρειόταται.

Πλησιάζεσι δὲ τοῖς τούρκοις φησὶν ὁ Πορφυρογέννητος, πρὸς μὲν τὸ μεσημβρινὸν μέρος, οἱ βούλγαροι, ἐν ᾧ καὶ διαχωρίζει αὐτὲς ὁ Ιςρος ποταμός· πρὸς δὲ τὸ βόρειον, οἱ πατζινάκαι. Εςι δὲ ἡ τε Τραϊανε γέφυρα κατὰ τὴν τῶν τούρκων ἀρ-

χὴν, καὶ ἀναπλέοντι τὸν ποταμὸν ἔπειτα, ὁ πύργος τοῦ ἁγίου Κωνσταντίνου. Βόρειον ἐννοεῖ ἐνταῦθα ὁ Πορφυρογέννητος τὸ Ἀρδέλ. Ἔοικε δὲ ὅτι οἱ Οὔγγαροι προὐχώρησαν μὲν μέχρι Τισσοῦ, μέρος δὲ μόνον τῆς ἐντὸς Τισσοῦ Μοαγγυορίας ἐφύλαξαν. Τὰ δὲ δύο Μπανᾶτ ὑποχείρια ἐποίησαν οἱ μοαγγύοροι, κἂν τοῖς χρόνοις τοῦ Πορφυρογεννήτου αὐτοῖς ἀνῆκον· καὶ τὸ Γύλα μέρος τοῦ Ἀρδὲλ τινὲς φασὶν εἶναι· τινὲς δὲ, τὴν ἐντὸς Τισσοῦ Μοαγγυορίαν ἐθέλουσιν εἶναι. Οὐ δεῖ δὲ ἀπορεῖν δι' ὑπαντωμένας πολλὰς παραπλησίας ἀσυμφωνίας καὶ φαινομένας ἀντιφάσεις ἐν ἱστορίᾳ, μάλιστα δὲ ἐν τῇ τῶν ἐθνῶν τούτων· οὐδὲ δεῖ περιορίζειν τοῖς χθὲς καὶ πέρυσιν γενομένοις, τὰ αὔριον καὶ μεθαύριον γενησόμενα· οὐδ' ἀναγινώσκοντας ἵστασθαι ἐν τοῖς ἅπαξ ποτὲ γενομένοις, καὶ τούτοις ἐθέλειν ἐξηγεῖσθαι ἅπαντα· οὕτω σοι πολλαὶ ἀντιφάσεις ὑπαντήσονται, τὰ ἀναμεταξὺ γενόμενα ἀγνοοῦντι. Οὐδὲν ἀστατώτερον, ἐν ἐκείνοις μάλιστα τοῖς χρόνοις, καὶ ἐντὸς τοῦ Ἴστρου, τῶν

ὁρίων καὶ τῆς τῶν ἀρχῶν καὶ νομῶν ἐκτάσεως. Τοῖς δὲ ὑπὲρ τὸν Βορυσθένη νομοῖς γείτονες ἦσαν, πρὸς βοῤῥᾶν, οἱ ῥῶσσοι· πρὸς δὲ τὰ ἕτερα μέρη, χαζάροι, οὖζοι, ἀλανοὶ καὶ χερσωνῖται. Ἀλλὰ καὶ οἱ ἐν Γαλίτζῃ σλάβοι τηνικαῦτα ἤρχοντο ἐς τὴν Καγγαρίαν ἵππων ἐς ὤνησιν, ἢ οἱ καγγάροι ἐπορεύοντο ἐς Γάλιτζαν ἐς ἵππων πρᾶσιν· καὶ μὴ οὖν τοὺς καγγάρους ἀνεπιμίκτους τοῖς γείτοσιν ἄλλως, ἐκτὸς ἐπιδρομῶν καὶ λεηλασιῶν· ἐνεπορεύοντο γὰρ μετὰ τῶν γειτόνων, οὗτοι τε καὶ τὰ ἀδελφὰ τούτοις ἔθνη, εἰρήνης οὔσης, καὶ τὰς συνθήκας πολλῶν ἄλλων μᾶλλον ἐσέβοντο. Ἡ Καγγαρία, ἐπὶ Πορφυρογεννήτου, ἀρχαμένη ἐξ Ἴστρου μέχρι τοῦ Σάρκελ καθῆκε φρουρίου, κειμένου παρὰ τὰς πηγὰς τοῦ Ταναΐσκου, ὅπερ ἐκτίσθη παρά τινος ἀρχιτέκτονος ἕλληνος, ὃν ὁ αὐτοκράτωρ τῶν κωνσταντινουπολιτῶν τῷ βασιλεῖ τῶν χαζάρων ἐπεπόμφει. Οἱ δὲ δὴ ἐκ τῆς δι' ὕδατος ἐκστρατείας ἐπὶ τὴν Βουλγαρίαν, ἣν ὁ Σβετοσλὰβ βασιλεὺς τῶν ῥώσσων ἐπεποιήκει, ὁρμῶν ἐκ Κιὸβ καὶ συμ-

μαχῶν τῷ αὐτοκράτορι τῶν κωνςαντινοπολιτῶν, συμπεραίνοντες ὅτι ἡ Καγγαρία μέχρι Βορυσθένους καθῆκε, συμπεραίνουσι τὰ ἀσυμπέραςα, τὰ πάλαι τοῖς νῦν τεκμαιρόμενοι. Μετὰ δὲ ταῦτα καὶ ἕτεραι πέντε φυλαὶ ἐξ ἕω ἰκόμεναι, προσετέθησαν τοῖς καγγάροις, καὶ αἱ τρισκαίδεκα ἤδη φυλαὶ ὀκτὼ νομὰς ἐνέμοντο.

Κωνςαντῖνος ὁ Πορφυρογέννητος, ᾧ ἕπεσθαι δεῖ μᾶλλον, ἡνίκα ἂν περὶ καγγάρων καὶ μοαγγυόρων λόγος ᾖ, ὡς συγχρόνῳ σχεδὸν ὄντι καὶ τὰ ἐντὸς Ἴςρου κάλλιον εἰδότι, ἢ ἑτέροις πολλῷ ὕςερον συγγράψασιν, ἑκατονταετηρίσιν ὅλαις, καὶ παραδόσεις βαρβαρικὰς, καὶ ἄσματα ποιητικῆς φαντασίας ὄζοντα, βάσιν τἀληθοῦς ἐν ἱςορίᾳ λαμβάνουσι, τὴν τῶν καγγάρων δύναμιν ἐν πολλῷ ἐτίθετο, καὶ τὴν συμμαχίαν αὐτῶν πολλῷ κρείττω καὶ ὠφελιμωτέραν τῆς ἑτέρων ὁποιωνοῦν ᾤετο, καὶ φοβεροὺς εἶναι καὶ οὕτω μόνον τοῖς πολεμίοις ἡγεῖτο. Ταύτητοι καὶ τὸν υἱὸν τὰ καθήκοντα διδάσκων, τὴν αὐτῶν φιλίαν περὶ πολλοῦ

ποιεῖσθαι συνεβόλευε. Τρυφῆς ὄζεσιν οἱ λόγοι τῦ Κωνσαντίνυ, καὶ αἱ συμβολαὶ ἐ- πάνυ τοι σωτήριαι. Οὐαὶ τοῖς βασιλεῦσι τοῖς ἐς ἀλλογενεῖς καὶ ξένυς τὰ σφέτερα ἀνακρεμῶσι πράγματα, καὶ ἐκ τέτων μό- νον καὶ ἐκ ἀφ' ἑαυτῶν, πρωτευόντως γε, τὴν ἀσφάλειαν καὶ τὸ ἐπιφόβυς καὶ σεβασὺς εἶ- ναι περιμένυσι.

Τὰ μὲν δὴ μέχρι τῦ Ολτυ τῆς μεσημ- βρινῆς Ῥωμανίας ὑποχείρια ἦσαν τοῖς καγ- γάροις· τὰ δὲ πέραν τῦ Ολτυ καὶ τὸ τεμε- σβαρικὸν Μπανᾶτ μέχρι τῦ Κέρες ποταμῦ, τῷ ἡγεμόνι Γκλαὺδ τῷ Βιδύνιε ἀφῆκεν· ὑπὲρ δὲ τὸν Κέρες ποταμὸν Μενομερῦ ἡγεμὼν χαζάρος ἡγεμόνευεν, ὃν οἱ βέργαροι ἐξῶ- σαι καὶ ἀφελεῖν τὴν χώραν ἢ ὑποτάξαι ὀκ ἠδυνήθησαν, ἀνδρείως ὑπὲρ τῆς ἀρχῆς αὐ- τῦ ἀμυνόμενον· τῶν δὲ παρὰ τὸν Τισσὸν ἀπὸ τῆς ἐκβολῆς αὐτῦ ἐς τὸν Ισρον, ἕτερος ἡγεμὼν βέργαρος ἦρχε, μητρόπολιν τῆς αὐτῦ ἀρχῆς ἔχων τὸ Μυνκὰς ἐν τῷ βορείῳ τῦ Γύλα κείμενον. Οἱ δὲ ἡμέτεροι ῥωμῦ- νοι ἐν τισι μέρεσι τοῖς σλάβοις μεμιγμέ-

τοι; ὃ μὲν ὑπήκοοι, ὃ δὲ ὑπερασπιζόμενοι, ὃ δὲ καὶ πάντη ἀνεξάρτητοι, καὶ διὰ ἐρυμνότητα καὶ διὰ γειτονίαν ἴσως καὶ φιλίαν οἰκονομούμενοι, καὶ τῇ γεωργίᾳ καὶ κτηνοτροφίᾳ προσεδρεύοντες, ἐν ἠρεμίᾳ πάντως ἐτύγχανον· ὃ γὰρ ἂν ἄλλως ηὐξήθησαν ἐπὶ τοσοῦτον, ὥςε καὶ ἐςρατολογημένα ῥωμαϊκὰ ςρατεύματα ἐν πολλοῖς μέρεσι τῆς Ευρώπης ὁρᾷν. Οι μὲν οὖν περὶ τὸ Κλοῦζ ὑπὸ ἴδιον ἐθνάρχην ἢ βοεβόδαν ἐτύγχανον, ἀνεξαρτήτως καὶ ἐλευθέρως πολιτευόμενοι, μέχρις ὃ ἀφικόμενοι οἱ μοαγγύοροι, τὴν ἀνεξαρτησίαν αὐτοὺς ἀφείλοντο· ἕτεροι πάλιν συνηρεφεῖς μὲν ὕλας καὶ ὄρη φυλακτήρια, τόξα δὲ καὶ ἀκόντια καὶ ξίφη ἀμυντήρια, καὶ πολλὴν ἐν τούτοις ἐπιτηδειότητα ἔχοντες, ἠμύνοντο οὕτω τοὺς κατὰ τῆς σφετέρας ἐπιβολὰς ποιοῦντας ἐλευθερίας, καὶ ἐς τὴν σφῶν χώραν ἐσβαλεῖν βίᾳ ἐπιχειροῦντας. Τινὲς πάλιν ῥωμοῦνοι τῶν ἀνωτέρω πλεονεκτημάτων ςερούμενοι, διεσπαρμένοι τε καὶ κωμηδὸν οἰκοῦντες ἐν ἡμιυπογείαις καλύβαις, ἔν τε τῷ Φόλα καὶ τῷ Αρδὲλ καὶ

τῇ λοιπῇ Ρεμενίᾳ, καὶ ὑπόφοροι τοῖς βαρ-βάροις ὄντες, ἐβίων ἀναμεξὺ αὐτῶν ἐν ἀσφαλείᾳ καὶ ἐν ἰδίοις αὐτῶν ἐθίμοις, τῶν βαρβάρων διὰ τὸ μεταναςατικὸν δῆλων μὴ χρῄζόντων. Ἄλλοι πάλιν ἐν ταῖς παλαιαῖς αὐτῶν ἐπικρατείαις Μαραμὸς, Ἀλμὲνς καὶ Φεγαρὰς, καὶ ταῖς ἐν ἄλλοις μέρεσι μικροτέραις, τῆς ἐλευθερίας αὐτῶν ἀπή-λαυον· ςρατολογίαι τε παρ᾽ αὐτοῖς τε καὶ τοῖς ὑπὸ τὲς ἐπήλυδας ἐγίνοντο· ὁρῶμεν γὰρ, ἐν τῷ εἰκοςῷ τετάρτῳ ἐνιαυτῷ τῆς ἐν-δεκάτης ἑκατονταετηρίδος, ὑπὸ κωνςαντι-νεπολίτας ἐς Ιταλίαν ςρατεύοντας, ἄλλοτε πάλιν ἐπὶ Μοαγγυορίαν· καὶ ἐν τῷ ἐννενη-κοςῷ ἕκτῳ, ὑπόμισθοι ςρατιῶται τῷ βα-σιλεῖ τῆς Τζεχίας ἐτύγχανον ῥεμῆνοι, τζιο-μπάνοι ὀνομαζόμενοι. Εν δὲ τῷ τεσσα-ρακοςῷ καὶ ὀγδοηκοςῷ ἕκτῳ τῆς δωδεκάτης ἑκατονταετηρίδος λεηλασίας ποιῆσιν ἐν Πόλσκῃ, ἐκμαθόντες τὸν τῶν παρὰ σφίσιν ἐπηλύδων βίον· καὶ ἐν τῷ ἑξηκοςῷ ἕκτῳ τῆς αὐτῆς ἑκατονταετηρίδος Εμμανεὴλ ὁ αὐ-τοκράτωρ τῶν κωνςαντινεπολιτῶν ςρατῷ

ξεμένων τῶν παρὰ τὸν Πόντον κατὰ μοαγγυόρων ἐχρήσατο, ὡς κατωτέρω ὀψόμεθα. Ἐν δὲ τῷ ἐννενηκοςῷ τῆς αὐτῆς, καὶ ἐν τῷ εἰκοςῷ ὀγδόῳ τῆς ἐφεξῆς ἑκατονταετηρίδος, καὶ κατὰ τῶν μισθέντων σφας πολλάκις οἱ βέλτιςοι ῥεμένοι τοῖς ὅπλοις ἐχρήσαντο, ὁμοθρησκείας ὀλίγον πάντη φροντίζοντες.

## Θ ε ε τ ο ς.

Ὁ ἡγεμὼν βέργαρος ὁ τῶν ἐντὸς Ἴςρε ἄρχων ἀπὸ τε Ὄλτε μέχρι τε Κέρες, ἀντιςῆναι τοῖς ἐπελευσομένοις οἱ μοαγγυόροις βελόμενος, μεγάλην ἐπὶ τέτῳ συναγείρας ςρατιὰν ἐκ βεργάρων, καγγάρων καὶ ῥεμένων, μάχῃ τοῖς μοαγγυόροις συμπλέκεται παρὰ τὸν ἐν Μπανὰτ ποταμὸν Τέμεσιν, καὶ ἡττᾶται ὑπὸ Θεέτε, ςρατηγε μοαγγυόρε καὶ ἥρωος ἐν τοῖς τότε χρόνοις· καὶ σπεύδει μὲν περαιεσθαι τὸν Ἴςρον, μὴ φθὰς δὲ, παραδίδοται τῷ νικήσαντι. Οἱ δὲ κάτοικοι τῆς Ὀρσόβης ἰδόντες τὸ γεγονὸς, ἀνοίγεσι τὰς πύλας τῷ νι-

κήσαντι, καὶ ὁ Θέετος ἐντεῦθεν ἀμφοτέρων τῶν Μπανὰτ ἐγκρατὴς γίνεται. Μονομερῦ δὲ ὁ χαζάρος βυληθεὶς καὶ αὐτὸς ἀντιςῆναι Θεέτῳ, πίπτει ἀμυνόμενος, καὶ μαχόμενος, καὶ τὴν ζωὴν καὶ τὴν χώραν τῷ Θεέτῳ ἀπόλλυσι.

Πυθόμενος ἔπειτα ὁ Θέετος ὅτι ἐν τῷ βορείῳ τῦ Ἀρδὲλ ἡ πολύχρυσος ῥυμυνικὴ ἐπικράτεια κεῖται, ἡ δευτέρα ἴσως μετὰ τὴν ὑπὸ τῶν ἀβάρων καταλυθεῖσαν, ἄγει τὴν ταχίςην τὴν ςρατιὰν ἐκεῖσε, καὶ δυσὶ μάχαις τὺς ῥυμύνυς νικήσας, καὶ πεσόντος τῦ βοεβόδα ἐν τῇ δευτέρᾳ, καὶ πρὸς τρίτην τῶν ῥυμύνων ἀπειρηκότων, ἀναγορεύεται ἡγεμὼν αὐτῶν ὑπ᾽ αὐτῶν τῶν ἰδίων ἡττημένων, καὶ ὁ βασιλεὺς τῶν μοαγγυόρων ἐπικυροῖ τὴν ἀναγόρευσιν, καὶ τῆς κατακτηθείσης χώρας ἀναδείκνυσιν ἡγεμόνα τὸν Θέετον. Ἀλλὰ τὸ πρᾶγμα ἑτεροίως πως δοκεῖ ἔχειν· οἱ γὰρ ῥυμῦνοι καὶ μετὰ ταῦτα ἀνεξάρτητοι ἦσαν· καὶ ὁ Θέετος ὁ τῶν βορείων τῦ Γύλα, ἀλλ᾽ ὧν βύργαροι καὶ χαζάροι εἶχον τόπων ἀναδείκνυται καὶ

γνωρίζεται ἡγεμών· καὶ πλάσματα πάντως χαμερπῶν καὶ ῥυπαρῶν καὶ ἀναιδῶν κολάκων τὰ λεγόμενα.

Ἀποθνήσκων δὲ ὁ Θέετος τῷ υἱῷ Σάρκᾳ τὴν ἀρχὴν καταλείπει, καὶ ἔτος αὖθις Γεϋλᾷ καὶ Σεβὸδ τοῖς παισὶν αὐτȣ̃ ταύτην διαμερίζει, Ὁ μὲν ἐν Γεϋλᾶς τῷ ἁγίῳ Στεφάνῳ βασιλεῖ τῆς Μοαγγυορίας ὡς θυγατριδῷ καταλείπει τὴν αὐτȣ̃ χώραν· ὁ δ' ἀδελφὸς αὐτȣ̃ τὴν ἀρχηγεμονίαν τȣ̃ βασιλέως Στεφάνȣ ἀπαναινόμενος, ὑπ' αὐτȣ̃ τὴν χώραν, κατὰ τὸν τρίτον ἐνιαυτὸν τῆς ἑνδεκάτης ἑκατονταετηρίδος ἐξέρηται, καὶ ἐν δεσμωτηρίῳ ἀπέθανεν. Οὕτω τοίνυν ἀμφότερα τὰ Μπανὰτ τῇ Μοαγγυορίᾳ προστίθενται, καὶ τὸ Γύλα, ἐκτὸς τȣ̃ περὶ τὸν Τισσὸν ἀρχόμενον μέρȣς, τȣ̃ Μαραμὸς, ὅπȣ ἡ ῥȣμȣνικὴ ἐπικράτεια ἐλευθέρα καὶ ἀνεξάρτητος ἐτύγχανε.

Συνέβη ἡ τȣ̃ Θεȣ̃τȣ κατάκτησις καὶ ἡγεμονία, ἑνὸς τῶν ὀκτὼ φυλάρχων ἢ βοεβόδων πιθανῶς ὄντος, πρὸ τȣ̃ τεσσαρακοςȣ̃ ἐν-

νάτȣ ἐνιαυτȣ̃ τῆς δεκάτης ἑκατονταετηρίτος· ὁ γὰρ Πορφυρογέννητος ὁ ἐν τȣ́τῳ τῷ χρόνῳ γράφων, φησὶν, ὅτι τὰ περὶ τὴν γέφυραν τȣ̃ Τραϊανȣ̃, καὶ τὰ περὶ τὸν πύργον τȣ̃ ἁγίȣ Κωνςαντίνȣ, τοῖς τȣ́ρκοις εἰσὶν ὑπήκοα. Ἐνταῦθα ὁ συγγραφεὺς αὐτοκράτωρ τὸ σεβηρικὸν ἐννοεῖ Μπανάτ, ὅπȣ καὶ ῥȣμȣνικαὶ ἐπικράτειαι ἐτύγχανον, ἀμφισβητȣ̃σαι καὶ μοαγγυόροις καὶ καγγάροις καὶ κȣμάνοις ἔπειτα τὴν σφετέραν ἀνεξαρτησίαν· ὁτὲ μὲν πάντως ὁμολογȣ̃σαι φόρον, ὁτὲ δὲ ἀπαναινόμεναι, καὶ ἀεὶ τὸν καιρὸν πολιτευόμεναι.

## Γ ε ȣ λ ᾶ ς.

Θȣȣ́τȣ τȣ̃ τὰ δυτικὰ τῆς Ῥȣμȣνίας κατακτησαμένȣ, καὶ τὴν ἀρχὴν τῶν χαζάρων καὶ βȣργάρων ἐκεῖ καταλύσαντος, ἔγγονος ἢ υἱιδȣ̃ς ἐςιν ὁ Γεȣλᾶς, ὁ ἐς Κωνςαντινȣ́πολιν ἱκόμενος, καὶ τὴν χριςιανικὴν θρησκείαν ἐναγκαλισάμενος, καὶ ἐπιςρέφων οἴκαδε, Ἱερόθεον ἐπίσκοπον πρῶτον τῶν

τέρκων παρὰ τῦ πατριάρχυ Θεοφυλάκτυ παραλαβὼν ἐπηγάγετο. Συνέβη δὲ τῦτο ἀναμεταξὺ τῦ τεσσαρακοςῦ ἐννάτυ ἐνιαυτῦ, καθ᾽ ὃν ὁ Πορφυρογέννητος ξυγγράφων, ὐδεμίαν μνείαν ποιεῖται τύτε, καὶ τῦ πεντηκοςῦ ἔκτυ, ὅτε Θεοφύλακτος ἐτελεύτησεν. Ἀλλ᾽ ὡς ἔοικεν ὁ ἡγεμονικὸς σχεδὸν μόνον οἶκος τῦ Γευλᾶ ἐς τὴν τῦ Χριςῦ ἦλθε πίςιν, καὶ ἡ μονογενὴς αὐτῦ θυγάτηρ Σαρόλτα Γεΐζᾳ τῷ βασιλεῖ τῶν μοαγγυόρων ἁρμοσθεῖσα, τόν τε ἄνδρα καὶ τὸν υἱὸν Στέφανον χριςιανὺς γενέσθαι αἰτία ἐγένετο.. Τίνος δὲ χάριν Γευλᾶς ῥυμύνων ἤδη καὶ σλάβων τῦ ἀρχαίυ δόγματος ὄντων ἐν τῷ τόπῳ, ἦκεν ἐπὶ τύτῳ ἐς Κωνςαντινύπολιν; Τῦτο πασίδηλον, καὶ τύτῳ ἐθνικὴν εἶναι τὴν Ῥυμυνίαν τεκμαίρεσθαι, ἄτοπον. Οια δὲ ἐνταῦθα καὶ πολλαχῦ ἄλλοθι καταψεύδονται καὶ καταφλυαρῦσιν ἡμῶν οἱ τὴν Ῥυμυνίαν πᾶσαν φάσκοντες, ὁτὲ μὲν τῷ ἀρχαίῳ δόγματι προσκειμένην, ὁτὲ δὲ τῷ νέῳ τῶν ἀρχομανῶν, τῶν ἀντευαγγελικῶς ὐδεμίαν ἐν πίςει γνωριζόντων ἀνοχὴν, καὶ

καθολικὴν ἐχ ὁμόνοιαν χριςιανικὴν, ἀλλὰ μοναρχίαν φαντάςικὴν, πρᾶγμ᾽ ἀδύνατον, συςήσασθαι βελομένων!

## Κ ε ν ε γ έ ν η ς.

Οι δὲ ἱδρυμένοι, μᾶλλον δὲ περιφερόμενοι ἐν τῷ Ατελκεζε καγγάροι, τόπες ἐκ τόπων ἀμείβοντες, καὶ σκηνοπήγια συχνὰ ἀλλάσσοντις, καὶ τὸν ἑδραῖον βίον ἀποςρεφόμενοι, καὶ πόλεως ἐμπορικῆς τηνικαῦτα μὴ ἔσης· ἤδη γὰρ τὰ ἐμπορεῖα τῶν ἑλλήνων ἐκλελοίπεσαν· ἐς τὴν ἐν τῇ ταυρικῇ χερσονήσῳ, Κριμ νῦν καλεμένῃ, Χερσῶνα ἑλληνικὴν πόλιν ὑπὸ τὲς κωνςαντινεπολίτας τελἕσαν, ἐμπορευόμενοι ἐπορεύοντο, τόν τε μισθὸν, ὃν ὁ αὐτοκράτωρ αὐτοῖς ἐδίδω, κατὰ ῥέσσων, χαζάρων, βεργάρων καὶ μοαγγυόρων, προπύργιον καὶ πρόφραγμα ἔχειν αὐτὲς φανταζόμενος, ληψόμενοι, καὶ ὅσα ἄλλα κομιζόμενα ἐκ τἕ θρακικἕ βοσπόρε, καὶ ἀναγκαῖα σφίσι νομιζόμενα, ὠνησόμενοι. Τῶν δὲ γειτόνων αὐτοῖς ἔζων ἢ κεμάνων, ὑποχειρίες τὲς ἑώες νομὲς ποι-

ησαμένων, καὶ διαβάντων ἤδη τὸν Βορυσθένη καὶ αὐτοῖς ἐπιπεσόντων, καὶ τȣ̃ ἀρχεθνάρχȣ αὐτῶν Τυρὰχ, ἐν τοῖς περὶ τὸ Κελλίον καὶ Ισμαὴκ ἕλεσι τȣ̃ Ιςρȣ, ὥσπερ λαγὼς, διὰ δειλίαν φύξιμον τόπον μᾶλλον τȣ̃ πρὸς ἄμυναν τραπέσθαι, ἐκλέξαντος, Κενεγένης, ἀπὸ ταπεινȣ̃ μὲν καὶ ςρατηγίας ἐξεωσμένȣ γένȣς ὁρμώμενος, ἀνὴρ δε δραςήριος καὶ πολεμικὸς τὰ μάλιςα, ὁρμήσας καὶ συναλίσας ςρατὸν καὶ ςρατηγῶν, ἐπιτίθεται θαῤῥαλεως τοῖς ȣ̓́ζοις· Νικᾷ. Τρέπει ἐς φυγὴν, καὶ ἀντιπεραιωθῆναι τὸν Βορυσθένη καταναγκάζει. Μετὰ δὲ ταῦτα αὐτȣ̀ς, ὁσάκις ἂν βȣ́λοιντο διαβαίνειν πάλιν τὸν Βορυςθένη ἐπὶ καγγάρȣς, ἐκώλυε. Φθονεῖται ἐπὶ τȣ́τῳ ὑπὸ Τυρὰχ, τȣ̃ ἔθνȣς ᾄσμασιν αὐτὸν ἐξυμνȣ̃ντος ὡς νέον ἥρωα. Επιβȣλεύεται. Δολοφονίαν δέδιε. Κινδυνεύει ζωγρηθῆναι. Καταφεύγει ἐς τὰ τȣ̃ Τύρα ἕλη. Προσχωρȣ̃σιν αὐτῷ δύο φυλαί. Αναδείκνυται αὐτῶν ἡγεμών. Συμπλέκεται τῷ Τυρὰχ ἐν τῇ Βασσαραβίᾳ. Ηττᾶται, πάντως δ' ὀλιγανδρίαν. Δια-

*βαίνει τὸν Ἴςρον μετὰ δύο μυριάδας σωμάτων, καὶ ἐς τὴν τῶν κωνςαντινοπολιτῶν γῆν διασώζεται.*

*Ἐλθὼν δὲ ἐκεῖσε, καταλιμπάνει τὴν πατρῴαν θρησκείαν καὶ τὴν τῶν χριςιανῶν ἐναγκαλίζεται, καὶ φύλαξ αὐτοῖς τῶν παριςρίων ἀποδείκνυται. Ἐντεῦθεν δὲ περαιούμενος συχνάκις τὸν Ἴςρον εἰς Ῥωμουνίαν, πολλὰ ἠνώχλει ἐκ παντὸς τρόπου τοῖς ὁμογενέσι, δῃῶν τὴν χώραν, καὶ ἄνδρας μὲν λυσσοκτονῶν, γυναῖκας δὲ καὶ παῖδας λαφυραγωγῶν καὶ πιπράσκων. Τυρὰχ σύμμαχος τυγχάνων τῷ αὐτοκράτορι Κωνςαντίνῳ, ὡς ὑπηκόους τοὺς περὶ Κενεγένη, ἐξήτει αὐτὸν τούτους· διανύων δὲ μηδὲν, ἀλλὰ καὶ χλεύην οὕτω προσόφλων, ἀγανακτήσας περιφρονούμενος, ἀδίκως καὶ παρὰ λόγον, νὴ τὴν ἀλήθειαν, ἐς ἄμυναν τρέπεται. Εὐθὺς οὖν ἀποκρυςαλλωθέντα μέχρι πεντεκαίδεκα ὀργυιῶν, ὥς φησι Κεδρηνὸς, τὸν Ἴςρον, μετὰ ὀγδοήκοντα μυριάδων (πάλιν ὥς φησι Κεδρηνὸς, ἀπιθανολογῶν κἀνταῦθα πέραν τοῦ δέοντος·) πολεμικῶν ἀνδρῶν*

διαβαίνει, καὶ μέχρις ἐντὸς ἥκει τῆς Θράκης, πᾶν τὸ προςυχὸν λυμαινόμενος. Ἀλλὰ γὰρ ἀκρατέςερον καὶ ἀσυνηθέςερον, ὡς ἐν κώμαις καὶ πόλεσι, περὶ βρώσιμα καὶ πότιμα φερόμενοι οἱ καγγάροι, καὶ περὶ ψύχος ἀμελέςερον, δυσεντερίᾳ καταλαμβάνονται, καὶ καταπολεμȣ̃νται ῥᾳδίως ὑπὸ τῶν κωνςαντινȣπολιτῶν καὶ τȣ̃ λυσσῶντος κατὰ σφῶν πολίτȣ σφων Κενεγένȣς· ὅσοιδὲ ἔφυγον τὸν φόνον, ȣ̃τοι ἅπαντες καὶ ὁ Τυρὰχ αὐτὸς αἰχμαλωτίζονται. Ο μὲν ȣ̃ν Κενεγένης πᾶντας μέχρις ȣ̓δενὸς, ἡβηδὸν κατασφαγῆναι, ἐπιμόνως ἐβȣ́λετο· ἀλλ' αὕτη ȣ̓κ ἦν ἡ γνώμη τȣ̃ αὐτοκράτορος. Βαπτισθέντες ȣ̃ν καὶ ἀξιώμασιν οἱ ἐπισημότεροι, καὶ ὁ Τυρὰχ τῷ πατρίκιος, τιμηθέντες, σποράδην ἐν τοῖς τῶν κωνςαντινȣπολιτῶν νομοῖς κατῳκίσθησαν· Τυρὰχ ἔπειτα ἐν τοῖς τῶν ἐκβολῶν τȣ̃ Ἴςρȣ ἐμφωλεύσας νησίοις, ȣ̓κ ἔπαυε τοῖς κωνςαντινȣπολίταις πράγματα παρεχόμενος.

Οὕτως ȣ̃ν ἐρημωθεῖσαν τρόπον τινὰ καγγάρων τὴν μεσημβρινὴν Ῥȣμȣνίαν, οἱ

ὖζοι ἢ κεμάνοι ἐν αὐτῇ τὰς καγγάρες διαδέχονται. Χρησάμενοι δὲ τῷ ἐρημωθεῖσαν καὶ τρόπον τινὰ προσέθημεν, ὑπερβολὴν ἄντικρυς οἰόμενοι τὸ νούμενον, καὶ ὀχλικώτερον τὸ λεγόμενον. Επεὶ δὲ παραπλήσια πολλάκις τοιαῦτα ἔντε διαλέξεσι καὶ ἐν ἱςορίαις ὑπαντῶνται, λεγόμενα ἀπεριεργότερον, ἀπερισκεπτότερον, νὴ τὴν ἱερὰν ἀλήθειαν, καὶ ἀσθενέςερον, καὶ πολλαὶ ἐντεῦθεν αἱ παρέννοιαι, εἰρήσθωσαν τὰ παριςάμενα νῦν ἡμῖν καὶ δόξαντα.

## Παρατήρησις.

Καταχρήσεσι καὶ ὑπερβολαῖς, ἀπροσεξίαις τε καὶ ἀσθενείαις νοὸς τῶν ἱςορικῶν, συχνάκις ἀπαντᾷ ὁ ἀναγινώσκων τέτες προσεκτικώτερον καὶ ψυχρότερον. Τοιῦτο τὸ ἡ δεῖνα χώρα ἠρημώθη παντάπασιν· οἱ δεῖνες τὰς δεῖνας πᾶντας ἡβηδὸν κατέσφαξαν· καὶ ποταμὸς αἱμάτων ἐκ τῆς δεῖνος μάχης· καὶ μετὰ τὰς σκύθας ἔρημον παντάπασι κατῴκησαν τὴν Ρεμενίαν οἱ γέται, καὶ μετὰ τέτες, οἱ δακοί· καὶ τὸ

τȣ Κεδρηνȣ, ὁ Τυρὰχ μετὰ ὀκτακοσίων χιλιάδων ἀνδρῶν διέβη τὸν Ιςρον ἐπὶ τȣς κωνςαντινȣπολίτας, καὶ ἑκάςῳ ςρατιώτῃ, ὡς κατωτέρῳ ὀψόμεθα, πεντεκαίδεκα ἦσαν ἄνδρες ὁπλοφόροι αἰχμάλωτοι. Καταχρήσεις καὶ ὑπερβολαὶ καὶ πλέον τι ὑπερβολῶν τὰ λεγόμενα, παιδαριώδεις ἢ συρφετώδεις λόγοι ἀηδίαν καὶ ναυτίαν τοῖς ἀκȣȣσι διεγείροντες. Οι τε λέγοντες ὅτι ὁ Αρπὰδ ἔρημον πάντη τὸ Ατελκȣζȣ κατέλαβεν, ὑπερβολὴν εἶπον· ȣ γὰρ μόνον ῥȣμένων, διεσπαρμένων μὲν, πολλοὶ δὲ ἦσαν τῆς χώρας κάτοικοι, ἀλλὰ καὶ οἱ ὑπόλοιποι μοαγγυόροι ὑπὸ τῶν καγγάρων καὶ βεργάρων πάντως πᾶντες ȣ κατεσφάγησαν, ἐκτὸς εἰμή τις νοσȣντας πᾶντας καὶ κλινήρεις ὑποτιθείη· ȣδὲ γὰρ ἀπὸ γῆς αὐτομάτως ἔπειτα, ὡς μύκητες, τόσοι ῥȣμȣνοι ἀνεφύησαν· ȣδὲ γὰρ ȣδ᾽ οἱ μοαγγυόροι ὀλίγῳ ὕςερον τοιαύτας καὶ τοσαύτας λυσσεπιδρομὰς μέχρις Ωκεανȣ καὶ Πυρηναίων καὶ Ελλάδος ἐποίȣν, ȣτω ῥαδίως ἀφανιζόμενοι. Ετι δὲ καὶ ἡ καγγάρων ȣκ ἠρήμωται

χώρα μετὰ τὸ Τυρὰχ ὑπὲρ Ιςρον ἀτύχημα. Υπερβολαὶ ταῦτα τῶν τῷ ὕφει τȣ̃ πολλȣ̃ ἀνθρώπȣ χρωμένων, αἳ πολλάκις τȣ̀ς καὶ βάρος ἔχοντας ἱςορικȣ̀ς λανθάνȣσι, τοῖς αὐτῶν συγγράμμασιν ὑπεισφρήȣσαι.

Οσημέραι διαλεγομένων τῶν πολλῶν ἀκȣ́ομεν, ψυχὴ ζῶσα ȣ̓χ ὑπόλοιπος· καὶ ἠρημώθη παντάπασιν ἡ χώρα, καὶ μυριόνεκρος ἡ μάχη, καὶ ἡ δεῖνα πόλις ἑβδομήκοντα χιλιάδας κώμια ἔχει, καὶ λιμῷ ἀπολλυνται οἱ ἄνθρωποι, καὶ κυνῶν καὶ γαλῶν κρέατα τρώγȣσιν, ὅπερ κἀμοὶ συνέβη, καὶ μὰ τὴν ἱερὰν ἀλήθειαν, ȣ̓δ αὐτὸς ἐγευσάμην, ȣ̓δ' ἄλλον τινὰ εἶδον γευόμενον. Μυριάδες ὅλαι πολέμιοι, καὶ ἀναρίθμητοι. Ακριβέςερον δὲ ἐξετάζȣσι, καὶ τῷ ὀρθῷ λόγῳ ςαθμένȣσι τὰ ἀκȣόμενα, ἑυρεῖν ἐςι πολὺ πέραν τῆς ἀληθείας τὸν λόγον φερύμενον. Εν δὲ πολέμῳ πόντος τοιȣ́των ὑπερβολῶν, καὶ θάλασσα τοιȣ́των παραλογισμῶν καὶ παραλαλιῶν ἐςι, φόβῳ και ἐλπίδι τῶν ἀνθρώπων παραφερομένων, και μίσει ἡ φιλίᾳ, ἀπεχθείᾳ, ἡ κλίσει ἐξαπτο

μένων, καὶ ὃκ ἔτι οἷά εἰσι τὰ πράγματα διηγȣμένων, ἀλλ' οἷα ὑπὸ τῆς ἐξημμένης σφων φαντασίας μορφȣ̃ται ἐξαγγελλόντων, καὶ πλημύρᾳ, τὸ λεγόμενον, ψευσμάτων τὸ πᾶν κατακλύζεται.

Αιτία τȣ̃ τοιȣ́τȣ ἢ τὰς πολλὰς καὶ μὴ σκεπτομένȣς λανθάνȣσα, ἐςὶν ὅτι αἱ ἐπιθυμίαι μορφȣ̃σι τὰ ἐννοȣ́μενα ἡμῶν ὡς τὰ πολλὰ, καὶ ἐξαγγέλλομεν παραπλησίως ȣ̓ νοȣ́μενα, ἀλλὰ πρὸς ἀρέσκειαν τῆς φαντασίας μορφώματα, ȣ̓ πράγματα, ἀλλὰ πλάσματα καὶ φαντάσματα· καὶ ἑτέρων λεγόντων, ἀλήθειαν καὶ ἐπιθυμίαν συγχέομεν, καὶ ἢ εὐθὺς ἀγαλλόμενοι κατανεύομεν, ἢ ὀργιζόμενοι ἀνανεύομεν· καὶ διαμαρτάνομεν, ȣ̔́τως ἢ ἐκείνως, ὀργῇ ἀφθόνῳ ἢ χαρᾷ παρομοίᾳ, ποιȣ́μενοι τὴν ἀπόφασιν. Ἄθλιοι καὶ τρισάθλιοι βροτοί! Κεδρηνὸς ὀγδοήκοντα μυριάδας καγγάρων φάσκων πεπαιρεῶσθαι τὸν Ἴςρον ἐπὶ κωνςαντινȣπολίτας, καὶ πεπῆχθαι μέχρι πεντεκαίδεκα ποδῶν τὸν Ἴςρον, ὀχλικώτερον ἀποφαίνεται ἢ ἱςοριογράφῳ προσήκει. Ζωναρᾶς

πάλιν λέγων, προσελθεῖν τινα τῷ βασιλεῖ Ῥωμανῷ λέγοντα τὴν ἄνωθεν τῆς ἐν τῷ ξηρολόφῳ ἀψῖδος καθιδρυμένην ςήλην ἐς τὸν Συμεὼν ἐςοιχειῶσθαι τὸν βούλγαρον, καί ὅτι εἰ τὴν ταύτης ἀποτέμοι τις κεφαλὴν, ἕψοιτο τῇ ἐκτομῇ τȣ̃ Συμεὼν ἡ φθορά. καὶ εἰπόντος αὐτȣ̃ ταῦτα, τέμνεται ἡ κεφαλὴ, καὶ αὐτίκα τὸν Συμεὼν ἀπολείπει τὸ ζῆν· πάντως δὶ ἀσθένειαν νοὸς ταῦτα λέγει, καὶ ὁ βασιλεὺς ἐπιτάττει καὶ αὐτὸς διὰ παρομοίαν ἀσθένειαν.

Προσεκτέον δὲ μάλιςα ἀναγινώσκοντας ἱςορικȣ̀ς, καὶ τȣ̀ς ὅρȣς, οἷς χρῶνται, πολλάλις ὡς ἔτυχεν, ἐξεταςέον· πολλάκις γὰρ ἀγεώγραφοι πάντη ὄντες, πταίοντες ἐν γεωγραφίᾳ, σκοτίζȣσι τὴν ἱςορίαν, καὶ τοῖς εἰσαγομένοις εἰς αὐτὴν, τὸ παγκοίνως ἀναγκαῖον ἀνθρώποις μάθημα, πράγματα παρέχȣσι. Δέκιος κατὰ τὸν Ζώσιμον ἐν τοῖς παρὰ τὸν Τάναϊν ἕλεσιν ἐνέχεται, κἀκεῖ κατακοντίζεται. Ἀλλὰ τὸ μέγιςον τῶν ἱςορικῶν ἐλάττωμα, ἀνθρωπίνῃ ἀσθενείᾳ ἀπονεμόμενον, τὸ μεγαλύνειν μὲν τὰ τῶν

απαρεσκόντων σφίσι καὶ πολεμίων, καὶ κακίας καὶ ἐλαττώματα καὶ ἀτυχήματα, ἐλαττὖν δὲ ταῦτα ἐν τοῖς φίλοις ἐς δύναμιν. ὅθεν καὶ ὡς θηρία ἄγρια καὶ φρονήσεως καὶ λόγȣ πάντη ἀμέτοχα, τȣ̀ς ἐχθρȣ̀ς περιγράφȣσιν. Ουννοι καὶ μοαγγῦροι παρ' αὐτῶν, τὸ θηριῶδες τάχα αὐτοῖς ὑπ' ὄψιν πως ἀγαγεῖν βȣλομένων, καὶ παραςῆσαι, ὡς μηδὲ ἔννοιαν θεȣ̃ ὅλως ἔχοντες, ἀλλὰ ζῶντες ἀλόγων δίκην, ἵππων καὶ ἄρκτων καταβιβρώσκοντες κρέατα παριςῶνται· καὶ πεινῶντες, ἐν ἀνάγκῃ φλεβοτομȣ̃ντες τȣ̀ς ἵππȣς, καὶ τὸ ςόμα τῇ ἐντομῇ προσαρμόζοντες, ἐξεμύζων καὶ ἐῤῥόφȣν ȣ̔́τω τὸ αἷμα, καὶ τῆς πειναναγκης ȣ̔́τως ἀπηλλάττοντο. Ἀλλὰ λόγȣ καὶ φρονήσεως ἄτερ, ναὶ δὴ καὶ προνοίας τινὸς πολιτικῆς, μεγάλα καὶ ἐπίφοβα ȣ̓κ ἂν ἐποίȣν ςρατοσυςήματα· καὶ οἱ μοαγγῦροι ȣ̓κ ἦσαν ἐςερημένοι φρονήσεως πολιτικῆς, σχολῆγε καὶ λόγȣ καὶ φρονήσεως· ȣ̓ γὰρ ἄν, εἴπερ, τὰς τολμηρὰς ἐπιβολὰς ἐποίȣν, καὶ τὰς φρικαλέας τῇ Ευρώπῃ ἐπιδρομὰς ἐπέτρε-

χον· Ουμὴν ἀλλὰ, φῶμεν τὰς τοιαύτας ἐπιβολὰς καὶ ἐπιδρομὰς βαρβάρους καὶ θηριώδεις κλίσεις εἶναι, ὥσπερ τῷ ὄντι καὶ εἰσίν. ἀλλὰ ποίους εἶναι ἐροῦμεν τοὺς τότε κατοίκους τῆς Ευρώπης τοὺς πρὸς τὰς τοιαύτας ἐπιβολὰς καὶ ἐπιδρομὰς κεχαυνωμένους καὶ ἀχανεῖς καὶ ἐκπεπληγμένους καὶ παρειμένους μένοντας, καὶ ἐς ἀντεπιβολὰς καὶ ἀντεπιδρομὰς πατρίδος ἀμύνης ἕνεκα τρέπεσθαι ἀδυνατοῦντας, ὥςπερ ληθαργικοὺς καὶ κωματώδεις καὶ καρηβαροῦντας καὶ καρωμένους καὶ ὅλως ἀναισθητοῦντας, οὓς ἔδει, τηνικαῦτά γε, ἀνανήψαντας καὶ ἀναςάντας καὶ ἄνδρας ἀγαθοὺς γενομένους, πρᾶξαί τι λαμπρὸν καὶ ἄξιον τῶν προγόνων, καὶ, δέον, θῦσαι ἑαυτοὺς τῇ πατρίδι, ἀμυνομένους τουτοσὶ τοὺς βαρβάρους καὶ ἀποτρέποντας. Νὴ τὴν ἀλήθειαν, ἡ ἀναλγησία αὕτη, ἡ ἀδράνεια αὕτη, ἡ ἐμβροντησία αὕτη, ἡ σωμάγρα αὕτη (ἐπιτρέψεις μοι φίλε τὴν λέξιν προσφυεςάτην ἐνταῦθα οὖσαν) πολλῶν ἐςι βαρβαροτήτων αἰσχιόν τε καὶ βδελυρότερον καὶ ἀποτροπαιότερον.

*Ειτα ἃ ἡμῖν ȣ̓ νενομίδαται, ταῦτα νενομισμένα ἐν ἑτέροις βλέποντες, καίτοι ὄντα καθ' ἑαυτὰ ἀδιάφορα τυγχάνοντα, αὖτα κατακριτέον, καὶ θηριώδη νομιςέον; Τί δὲ, ἐπειδὴ ἕτεροι ἱπποφαγȣ̃σι, καὶ ἐν ἀνάγκῃ πρόχειρον τροφὴν ἐν τῇ φλεβοτομίᾳ τȣ̃ ἵππȣ εὑρίσκȣσι, διὰ τȣ̃το καὶ θηρία ἄλογα ἡγητέον; Αττίλας, βάρβαρος μὲν, δἰ ἀρετὴν δὲ καὶ ἀγχίνοιαν καὶ σύνεσιν πολιτικὴν ȣ̓ τὴν τυχȣ̃σαν, ἀνακτησάμενος πρῶτον τὸ ἑαυτȣ̃ ἔθνος, ȣ̔́τω τὰ ἀλλότρια κατεκτήσατο καὶ ὑπεδȣ́λωσε. Τȣ̀ς πρέσβεις τῶν κωνςαντινȣπολιτῶν δολοφονῆσαί ἑ πειραθέντας καὶ φωραθέντας, μεγαλοψυχῶν τῇ γνώμῃ, τίσασθαι, ὡς ἔδει, ȣ̓κ ἠθέλησεν. Ετέρȣς ἑςιῶν, μεγαλοπρεπῆ καὶ πολυτελῆ τραπέζῃ ἐχρῆτο, καὶ τρυβλία καὶ παροψίδας καὶ ἐκπώματα καὶ κοχλιάρια, καὶ πᾶντα ἁπλῶς τὰ σκεύη, χρυσᾶ καὶ ἀργυρᾶ παρετίθετο· οἱ δὲ παρὰ τραπέζιον ὑπερκείμενον καθημένῳ, πᾶντα ξύλινα καὶ εὐτελῆ ἦν. Ου μόνον δὲ περὶ τράπεζαν εὐτελὴς καὶ λιτὸς ἦν ὁ Αττίλας,*

ἀλλὰ καὶ περὶ ἱματισμὸν ἀπέριττος καὶ εὐτελής, ὥσπερ καὶ ὁ πτωχὸς οὖνος, ἐτύγχανε. Τὸ δὲ δὴ κρεῖσσον καὶ πολλοῦ λόγου ἄξιον, ὅτι καὶ τοῦ ἐλαχίστου οὔννου ἀδικουμένου οὐχ ὑπερεώρα, καὶ τοὺς ὑβριστὰς καὶ ἀδίκους οὐδ' ὅλως ἠνέχετο, ἀλλ' αὐστηρότατα ὁποιουσοῦν ὄντας ἐπαίδευεν, ἐξ ἴσου πᾶσι βασιλοπρεπέστατα βραβεύων τὸ δίκαιον. Κρίνοντας οὖν τὰ τῶν ἀλλοτρίων, προσέχειν δεῖ καὶ τοῦ κατακρίνειν ἀπέχεσθαι· πολλὰ γὰρ νόμῳ μόνον εἰσὶ καλὰ, καὶ νόμῳ μόνον κακὰ, αὐτὰ δὲ καθ' ἑαυτὰ παντάπασιν ἀδιάφορα· καὶ οἱ ἄνθρωποι τῷ νόμῳ ἀδίκῳ ὄντι ἐνίοτε πειθόμενοι, δόξαντι δὲ καλῶς ἔχειν ἀπατωμένοις, κακὰ ποιοῦντες, καλὰ ποιεῖν δοκοῦσι, νόμῳ πειθόμενοι (1). Ἀλλὰ

---

(1) Πρόσεχε, φίλε, πλεῖον ἔτι, νεωτερικὰς ἱστορίας καὶ γεωγραφίας ἀναγινώσκων, καὶ μὴ πᾶντα, ὡς ἀληθείας ἐκ τρίποδος, ἀσφαλῶν καὶ ἀπροσκόπων καὶ εἰλικρινῶν καὶ ὑγιαινόντων συγγραφέων παραδέχου τὰ γραφόμενα. Ὠλίσθαινον καὶ ἡμάρτανον οἱ παλαιοὶ, ἐξ ἀγνοίας διὰ τὸ δυσεπίμικτον καὶ περιωρισμένον, καὶ μὴν καὶ δέει ἁμαρτάνειν ἐνίοτε· παραφέρονται νῦν καὶ σφάλλονται δ' αἰτία

τύτων μὲν ἅλις· ἡμεῖς δὲ τὸν ἐξ ἀρχῆς πάλιν λόγον ἀναλαβόντες, ἐπιςρέψωμεν ἐς Ρεμενίαν.

Οι δὲ ἐν Αρδὲλ καγγάροι συχνάκις διαβαίνοντες τὸν Ρεμενικὸν ἀγρὸν καὶ τὸν

---

ἀσυγγνώςως παντάπασι. Χάρις καὶ κλέος αϊδίως καὶ ἐν παντὶ χρόνῳ καὶ τόπῳ τοῖς τὰ καθόλε σχολεῖα, καὶ τὰς σοφὰς ἑταιρείας, τὰς ἑςιάδας τε ἱερε πυρὸς, ἱδρύσασι καὶ συςήσασι, τοῖς τῷ ὄντι εὐεργέταις τῆς ἀνθρωπότητος, καὶ τοῖς ἀξίοις διαδόχοις αὐτῶν, τοῖς τῆς συντηρήσεως καὶ διαμονῆς αὐτῶν ἐλευθερίως καὶ φιλανθρώπως ἐπιμελομένοις. Τὸ βαθύτατόν μοι πρὸς αὐτὲς σέβας τὸ ὑπὸ συμπάσης ἁπλῶς τῆς ἀνθρωπότητος αὐτοῖς ὀφειλόμενον, παροτρύνει με μᾶλλον πρὸς τὰ λεχθησόμενα. Εμπόριον νῦν ἀσεβὲς καὶ κερδοσκοπία καθαρὰ καθόλε οἱ λόγοι, δι' ἣν καὶ ὀχλώδεις καὶ πολυτευχεῖς πραγματεῖαι πέραν πάντη τε δέοντος, ἐτήσιον μυσῶν ἄχθος, ὁσημέραι ἐκ τῶν τυπογραφικῶν πιεςήρων προκύπτεσι, καὶ κατακλύζειν μᾶλλον ἢ φωτίζειν τὸν κόσμον δοκῦσι. Πόντος ὅλος βιβλιοποιῶν· πολλοςημόριόν τι πάντως τέτων οἱ συγγραφεῖς. Εξεον τὰ λογικώλεθρα πάθη τὸ παλαιὸν, βράζεσι καὶ καχλάζεσιν ἐν τοῖς καθ' ἡμᾶς χρόνοις, καὶ ἀνατροπὴν μεγάλην ἐπαπειλῦσι· καὶ ἱςορίαι καὶ γεωγραφίαι καὶ κοιναὶ εἰδήσεις τῷ τοιῷδε βρασμῷ, τῷ τοιῷδε καχλασμῷ ἐκ ἀνέπαφοι, ἐκ ἀπρόσψαυςοι, ἐκ ἄχραντοι. Εςι μοι πολλὰ ἐς ἀπόδειξιν τε λεγομένε ἐπαγαγεῖν· ἀλλὰ τοῖς ἐφεξῆς ὀλίγοις ἀρκέσθητι.

Ιςρον, τὰς νομὰς τῶν κωνςαντινεπολιτῶν ἐπέτρεχον. Αγανακτεῖ ἐπὶ τέτοις ὁ αὐτοκράτωρ Ισαὰκ, καὶ ἐκςρατεύειν κατ᾽ αὐτῶν καὶ τῶν μοαγγυόρων παρασκευάζεται,

---

Ου πρὸ πολλὰ γεωγραφικόν τινα πίνακα εἶδον προςεθεμένον ἐν τῷ τέλει γεωγραφίας τινὸς ἐ πάνυ πρώην ἐκδοθείσης, καὶ διὰ τἆτο κοινῶς ἐν ὑπολήψει τυγχανέσης ὡς ἀκριβεςέρας τάχα τῶν πρὸ ταύτης ἐκδεδιδομένων. Εν τέτῳ τῷ γεωγραφικῷ πίνακι ἰδεῖν ἠβελήθην τὴν παριςρίαν Ρεμενίαν, καὶ τί εἶδον, πᾶν ὅ, τι ἂν βέλῃ, ἀλλ᾽ ἐχὶ ἃ παραςῆσαι ὁ γεωγράφος ἢ ὁ αὐθαδῶς γεωγραφῆσαι θελήσας, ἠθέλησεν. Ο Πρῦτος διαχωρίζει τὴν πάλαι Μολδόβαν, ἧς μέρος καὶ ἡ κυρίως Μπασσαραβία, ἐς δύο σχεδὸν ἴσα μέρη. Ενταῦθα τεταρμόριόν πε ἡ ἐν δεξιᾷ τε Πρέτε Μολδόβα. Τὸ Πρασσοβ πρὸς χειμερινὰς δυσμὰς τε Ες ἐςιν, ὑπὲρ τὰς πεντήκοντα ὥρας ἀφιςάμενον· καὶ τὸ διάςημα τῶν ἐκβολῶν τε Πρέτε καὶ τε Σιρέτε ἐδὲ δύο ὅλων ὡρῶν ἐςίν· ἐνταῦθα ἴσα σχεδὸν τὰ δύω διαςήματα. Η ἐμπορικὴ πόλις τὸ Γαλάτζ ἀναμεταξὺ Πρέτε καὶ Σιρέτε κεῖται· ἐνταῦθα ὥρας ὅλας ὑπὲρ τὸν Πρῦτον μαγικῶς μετατέθειται· καὶ κεῖταί σοι κατ᾽ αὐτὸν νῦν τὸ Γαλατζ ἐν τῇ Μπασσαραβίᾳ, ἐν τῇ Ρεσσίᾳ. Η Μπραΐλα ἐν δεξιᾷ ἐςὶ τε Σιρέτε περὶ ὥραν ὅλην· ἐνταῦθα εἰς τὰ ἀριςερὰ μετενήνεγκται· καὶ κεῖταί σοι νῦν ἀναμεταξὺ Πρέτε καὶ Σιρέτε. Η αὐτὴ πόλις ἐνταῦθα πρὸς νότον ἐςὶ τῆς πρὸς ἀνατολὰς τροπῆς τε Ιςρε, πολὺ πλεῖον αὐτῆς, ἢ τὸ Ες τε Μπρασσὸβ, ἀπέχεσα. Τὸ Τζιαρναέτζ ἐπὶ τῆς δεξιᾶς

περὶ τὸν πεντηκοςὸν ὄγδοον ἐνιαυτὸν τῆς ἐνδεκάτης ἑκατονταετηρίδος. Ἀλλ' ὁ μὲν βασιλεὺς τῶν μοαγγυόρων διὰ πρέσβεων καταπραΰνει τὸν αὐτοκράτορα, καὶ οἱ

---

ὄχθης, παρ' ὀλίγον, ἐςὶ τȣ͂ Πρȣ́τȣ· ἐνταῦθα πολὺ πέραν τȣ͂ Πρȣ́τȣ μετενήνεγκται. Τὸ Αρντζες, ἡ Δυμποβίτζα καὶ ἡ Γιαλȣμίτζα ἑνὶ ςόματι ἐς τὸν Ιςρον ἐκβάλλȣσι κατὰ τὸν ἀγιώγραφον τȣτονὶ πίνακα, καὶ ἄνω πȣ ταύτης τῆς ἐκβολῆς ἐν δεξιᾷ τȣ͂ Ιςρȣ Μπρακιλόυ βλέπει τις πάλιν. Τὸ Ες περὶ τρεῖς ὥρας ἀπέχον τȣ͂ Πρȣ́τȣ, ἐς τὴν ὄχθην αὐτȣ͂ μετενήνεγκται. Τὸ Ορχεῖ, ὅπερ Οριχόβȣ ὀνομάζεται ἐνταῦθα, μακρόθεν καὶ αὐτὸ μετενήνεγκται ἐς τὴν ὄχθην τȣ͂ Τύρα. Τὸ Κισσινέυ, μητρόπολις νῦν τῆς ὑπερπρȣτίȣ Μολδόβης ἡ Μπασσαραβίας, ὑπὲρ τὰς ἑπτακαίδεκα χιλιάδας κατοίκȣς ἔχον, καὶ περὶ τὰς ἓξ ὥρας ἀφιςάμενον τȣ͂ Τύρα, ἐν τῇ ἀριςερᾷ ὄχθῃ ἐνταῦθα τέθειται, ἐκτὸς τῆς Μπασσαραβίας καὶ τ· καὶ τ. Εῶ λέγειν οἷως καὶ ἡ Ελλὰς παρέςαται· συμπεραίνειν ἐκ τȣ́των ἔχεις.

Ορᾷς, φίλε, οἷοι τινὲς νῦν εἰσι, γεωγραφίας καὶ γεωγραφικȣ̀ς πίνακας ἐκδιδόντες, διδάσκαλοι ἀγνοȣ͂ντες πάντη τὰ διδασκόμενα, καὶ ἐκθεῖναι βȣλόμενοι, ὧν ȣ̓δὲ μίαν ὅλως ἔννοιαν ἔχȣσιν; Αμαρτήματα ταῦτα ἀσύγγνωςα, νῦν μάλιςα. Πρόσεχε τοίνυν, καὶ, καθόλȣ, τὰ μερικὰ μανθάνειν βȣλόμενος, μὴ ὄκνει, μηδὲ αἰσχύνȣ καὶ ἀγραμμάτȣς πραγματευτὰς καὶ ἁπλῶς ξενιτεύσαντας ἐρωτᾷν· ἕξεις γὰρ παρ' αὐτῶν, ὡς αὐτοπτῶν, ἀκριβέςερόν τι μαθεῖν, ἢ παρὰ γεωγράφων τῶν τȣ̀ς τόπȣς μὴ ἰδόντων καὶ ἐκδιδόν-

πλείους ἡγεμόνες καγγάροι τὰ αὐτὰ ἐποίησαν, τὰ κωνςαντινουπολιτικὰ ςρατεύματα ἐπὶ σφᾶς ἰδόντες ἐρχόμενα. Σέλτης δὲ ἡγεμὼν καγγάρος, αἶσχος παρομοίαν εἰρήνην

---

των πολλάκις ἀλλ᾽ ἀντ᾽ ἄλλων παντάπασι. Καὶ σὺ γεωγράφε, ὁποῖος ποτ᾽ ἂν ᾖς, ἐκδοῦναι ποτὲ θέλων χωρογραφίας, ὧν τοὺς παριςαμένους τόπους οὐχ ἑώρακας, μὴ ὄκνει ἐρωτᾶν τοὺς ἐπιχωρίους ἢ ἑτέρους αὐτόπτας τῶν τόπων γενομένους, καὶ ἴσθι σοφὸν τῷ ὄντι ὄντα τὸν πᾶσαν τὴν φύσιν ἐρωτᾷν μὴ παύοντα, μαθεῖν τι βουλόμενον· εἰδὲ σοι ἡ κορυφὴ τοῦ Παρνασσοῦ ἱκανὴ, καὶ οἴει ὅτι βλέπεις τὸ πᾶν ἐκ ταύτης, ἴσθι, οὕτως οἰόμενος, ὅτι κάτωθεν τοῦ ὄρους ἔτι ἐν τῷ ὄχλῳ περιπλανᾷ, καὶ καθαρά σοι αὐταπάτη ἡ οἴησις.

Ο μείζων μνημονευόμενος κοσμοκαταγωνιςὴς, ἐσβαλὼν ἐκ τῆς μεγάλης Σκυθίας ἐς τὸ Κορὲ, χερσόνησος ὂν ἐν τῷ ἀνατολικοβορείῳ τῆς Σίνης καὶ νομὸς αὐτῆς, καὶ πλοίοις ἐντεῦθεν ἀπάρας καὶ κατάρας ἐς Σίνην, διὰ ταύτης καὶ διὰ τοῦ βορείου τῆς Ινδίας ἐς Μπουχαρίαν ἵκετο, τῷ ὑψηλόφρονι καὶ ὑψαύχενι Μεχμὲτ συμπλακησόμενος. Γελάσεις ἀκούσας ταῦτα. Γελάσεις ἔτι καὶ τὴν ἀνύπαρκτον ταύτην ὁδοιπορίαν ἰχνογραφημένην, ἐν γεωγραφικῷ πίνακι ἰδὼν, καὶ πρώην οὐ πάνυ πρῴην ἐν μεγάλῃ πόλει διὰ τοῦ τυπικοῦ πιεςῆρος ἐς φῶς προελθοῦσαν, ἣν ἔδει, εἴπέρ τι ἄλλο, ἐν σκότῳ που κεῖσθαι καὶ ἀγνοεῖσθαι παντάπασι. Γελάσεις δ᾽ ἔτι πλεῖον καὶ ἡγεμόνα ἀκούσας τῷ ἐκδόντι ἐπικροτήσαντα. Γελάσεις ἔτι καὶ τὴν κλεινὴν καὶ φιλόμουσον καὶ ἐνάρετον Μασσαλίαν, ἀποικίαν καὶ κτίσμα φοινίκων

οἰόμενος, ἐπιτίθεται τοῖς κωνςαντινυπολίταις καὶ κατὰ κράτος ἡττᾶται. Οὕτως οὖν ἐξησθένησε πάντη κἀνταῦθα τὰ καγγάρων, καὶ ῥαδίως ἡγεμόσιν ἀλλοτρίων

---

εἶναι βλέπων· οὐκοῦν καὶ ὁ ἀκάμαντος ἡμῖν γεωγράφος Πυθέας φοῖνιξ ἦν κατά τινας τῶν νῦν ἀγεωγράφων γεωγράφων τῶν βεβηλούντων τὸ γραφικὸν γεωγραφικὸν πτερόν. Γελάσεις ἔτι, ἀκμὴν καὶ ἀγανακτήσεις μάλα δικαίως, βλέπων ἐν γεωγραφίαις πάντη νεωςὶ τετυπωμέναις, Κέρκυραν καὶ Ζάκυνθον ὑπὸ ἀλβανῶν κατοικυμένας· καὶ ὅτι τῇδε κἀκεῖ ἐν τῇ τῶν τύρκων ἀρχῇ τὸ παλαιὸν καὶ ἀνατολικὸν δόγμα σώζεται· καὶ ὅτι ἡ τῶν νῦν ἑλλήνων γλῶσσα μίγμα τῆς ἑλληνικῆς καὶ τῆς λατινικῆς καὶ τῆς τυρκικῆς τυγχάνει, πάντως τὰ σκύβαλα καὶ καθάρματα καὶ τὸν συρφετὸν τῶν ὁδῶν τινων πόλεων, παραδεξαμένων τινῶν περιηγητῶν, καὶ τινῶν ἑτέρων ἐπιπολαίων καὶ κούφων ἢ βαρηκόων ἀνθρωπαρίων, καὶ οἰηθέντων γλῶσσαν τοῦ ἔθνυς· καὶ γεωγράφοι τινὲς ἔπειτα ψευδολογοῦντες, ἀπερεύγονται παραπλήσια, τὸν χυδαῖον συρφετὸν τοῦτον ἀνεξετασίᾳ χυδαίᾳ καὶ ἀκρισίᾳ προσενεγκάμενοι. Ἴσως καὶ τινες μὴ ἀκούοντες τῆς τῶν νῦν ἑλλήνων γλώσσης προφερομένης κατὰ τὴν ξένην πάντη καὶ ἀλλοκότως ὑπό τινων φαντασιοκόπων ἐπινοηθεῖσαν, παραλόγως πάντη, προφορὰν, καὶ καθόλυ ἔξω τῆς Ἑλλάδος παραλογώτερον ἐγκριθεῖσαν, συμπεραίνυσιν ἀσυλλογίςως πάντη καὶ ἀποφαίνονται, ὅτι ἑτέρα πάντη τῆς ἑλληνικῆς ἡ νῦν τῶν ἑλλήνων γλῶσσα, γέμυσα ξένων ἀκαταλήπτων λέξεων· οὓς ἔδει πάν-

ὑπέπεσε, κατὰ τὸν ἑβδημηκοςὸν ἐνιαυτὸν τῆς ἑνδεκάτης ἑκατονταετηρίδος. Οι δὲ κυμάνοι ἤδη ἐν τῇ Μολδοβῃ τὸ κράτος ἔχοντες, ὁρμήσαντες ἐξ αὐτῆς, εἰσέβαλον

---

τως ξένας γλώσσας σπυδάζοντας, τῆς προφορᾶς τῶν ἐπιχωρίων μὴ ἀφροντιςεῖν νωθρεύοντας, ἵνα μὴ ξένας λέξεις λέγοντες καὶ γράφοντες ξενίζωσι, ξένως αὐτὰς καὶ αὐτοὶ προφέροντες καὶ τοὺς ἄλλυς προφέρειν ποιοῦντες, καὶ οὕτω καὶ αὐτοὶ τοῖς ἐπιχωρίοις, καὶ οἱ ἐπιχώριοι αὐτοῖς δοκοῦσιν ἡμαρτημένως, ξένην παντάπασι γλῶσσαν ἑκατέρυς διαλέγεσθαι, ὅπερ συνέβη μοι πολλάκις. Ισως καὶ ὁ πολὺς καὶ ἀκάμαντος Λιννέος παραχθεὶς ὑπὸ παρομοίων, καὶ οἰηθεὶς ὅτι οὐδαμοῦ ἔτι ἐν χρήσει εἶεν αἱ βοτανικαὶ τῶν παλαιῶν λέξεις, ἀνιςῶν τὰ μὴ θανόντα, ἐχρήσατο ταῖς ἑτέρων πάντη φυτῶν ἐς σήμανσιν. Εἴτε οὕτως, εἴτε ἄλλως, ἀφροντιςῶν δηλαδὴ ἢ περιφρονῶν τῶν χρωμένων, ἔπραξεν, ἀφιλόσοφα πάντως ὁ υβένσκος ἔπραξε, πράττειν ἄλλως δυνάμενος κάλλιον· καὶ ἐπὶ τούτῳ μομφῆς ἐςιν ἄξιος.

Φύλαξαι ἔτι μὴ, ἐς Θράκην ἱκόμενος, ζητήσῃς κήπυς τῶν κοινῶς λεγομένων πορτοκαλίων καὶ λεμονίων, ὥσπέρ τινὲς γεωγράφοι θέλουσι· γέλωτα γὰρ πολὺν ὀφλήσεις, καὶ σκαιὸς καὶ ἄγροικος νομισθήσῃ, καὶ ξυλοσχίςης καὶ ἀπετέλεςος, ὡς ἐκεῖ κοινῶς λέγυσιν. Εοικε πάντως ὁ τοὺς καρποὺς τούτυς πλείςυς θέλων εἶναι ἐν Θράκῃ, φυομένυς ἐν τῇ χώρᾳ πάντως, οὑτωσί πως συλλογίζεσθαι. Εν μέρεσι τῆς Ιταλίας, καὶ βορειοτέροις τῆς Θράκης, πολὺς καὶ φύσει ὁ τοιοῦτος καρπὸς, καὶ περιβόλυς ὅλυς ὁρᾶν ἔχει τις

ἐς τὸ Γύλα διὰ τῦ Ἀρδὲλ, λεηλατῆσαι τῦτο βυλόμενοι· ἀλλ' οἱ ἡγεμόνες μοαγγῦροι Γεΐζας καὶ Λαδισλὰβ, οἳ μικρῦ ὥσπερ ἀνεξάρτητοι ἐν τῷ Γύλα ἡγεμόνευον, ἐπιτε-

---

ἐκεῖ τῶν τοὺς τοιούτυς καρποὺς φερόντων δένδρων· ἄρα καὶ ἐν Θράκῃ. Ἀλλ' ὦ βέλτιςε, ἀσυλλόγιςα πάντῃ συλλογίζῃ, οὕτω συλλογιζόμενος· καὶ τὸ ἄρα σοι ἀναρμοςεῖ τῷ λόγῳ παντάπασιν, ὡς μηδὲν συνάγον, μηδὲν συμπεραῖνον· καὶ ἴσθι παραλογιζόμενος τοιυτοτρόπως συλλογιζόμενος.

Ουμὴν ἀλλὰ καὶ ἐν τῇ πολὺ κρυερωτέρᾳ τῆς Θράκης Ρυμυνίᾳ, κατὰ τὸν ἀγεώγραφον καὶ ἀΐςορα τοῦτον γεωγράφον, φύονται λεμόνια, ὅπυ οὐδὲ συκαῖς, οὐδὲ ἐλαίαις, οὐδὲ ῥοιαῖς καὶ ἄλλοις δένδροις ἧττον δυσρίγοις τῶν κιτρικῶν δένδρων ἀνεκτὸν τὸ κλίμα τυγχάνει, οὐχ ὅπως καὶ κιτρικοῖς δένδροις. Τὸ πάσχα τῶν τύρκων τὸ συμπεριφερόμενον ἀεὶ τῷ ἐνιαυτῷ, καὶ ἐν νεομηνίᾳ ἀεὶ ἑορταζόμενον συμπίπτει ἀεὶ τῷ τῶν χριςιανῶν, τῷ ἀεὶ μετὰ τὴν ἐαρινὴν ἰσημερίαν συμβαίνοντι. Γελοῖον τοῦτο· ἀλλὰ τὰ ἐφεξῆς οὐχ ἧττον γελοῖα ὡς καὶ αὐτὰ ἀδαῶν ἀπερεύγματα. Η παριςρία πόλις Νικόπολις, μητρόπολις ἐςι κατ' αὐτὸν τῆς Βυργαρίας, καὶ καθέδρα τοῦ πατριάρχυ τῶν Βυργάρων, ἀγνοοῦντα ὅλως ὅτι ἕτεραι πόλεις τῆς Βυργαρίας μείζυς εἰσὶ τῆς Νικοπόλεως, καὶ ὅτι αὕτη οὐδ' ἐπισκόπυ καθέδρα ὑπάρχει, καὶ ὅτι οἱ μητροπολῖται τῆς Βυργαρίας ὑπὸ τὸν πατριάρχην τῆς Κωνςαντινυπόλεως εἰσι, κἀκεῖθεν ἐκεῖσε πέμπονται. Ἔτι δὲ ἐν Ρυκτζιοὺκ παριςρίᾳ πόλει, ὅπυ διά-

θῆναι ἐκ τοῦ φανεροῦ τοῖς ληΐζουσι μὴ δυνάμενοι ἢ μὴ βουλόμενοι, ἢ καὶ εὐλαβούμενοί πως ἀνυπερθέτως ἐκείνοις λῃστρομανῶς ἐπερχομένοις ἀντεπελθεῖν, καὶ δυσκατα-

---

φορα ὑφάσματα ἐκ τῆς Θετταλίας κατ' ἔτος κομίζονται, καὶ εἰς πρᾶσιν ἐφ' ἡμέραν ἐκτίθενται, διαφόρων ἱστῶν, φησὶν αὐτὸς, ἐργαστήρια εἶναι. Ὅπου ἄρα πιπράσκεταί τι, τοῦτ' ἐκεῖ κατ' αὐτὸν καὶ φύεται καὶ χειρουργεῖται. Θαυμάσιος τρόπος τοῦ συλλογίζεσθαι. Τὸ περιώνυμον ὄρος καὶ ὑπὸ πάντων τῶν περὶ αὐτὸ κατοίκων ἔτι καὶ νῦν Ὄλυμπος ὀνομαζόμενον, Λάχαν καλεῖσθαι νῦν ὁ γεωγράφος οὗτος φησὶ, καὶ Πετρας τὸ Πήλιον, ὀνόματα παντάπασιν ἡμῖν ἄγνωστα, καὶ ἐν γεωγραφίαις τισὶ μηδεμιᾶς πίστεως ἀξίαις τὴν ὕπαρξιν μόνον ἔχοντα. Ὁ Ἀξιὸς κατ' αὐτὸν πρὸς ἔω ῥέει Θεσσαλονίκης. Ἀλλὰ τί πρῶτον, τί ὕστατον τῶν ἀσυγγνώστων τουτωνὶ καταλέξω ψευσμάτων. Ἀλλ' ἀγνοεῖν μὲν τὰ τῶν ἀλλοτρίων, οὐδὲν ξένον, οὐδὲν ἀσύγγνωστον· ἐπιχειρεῖν δὲ περιγράφειν τὰ ἀγνοούμενα, καὶ ἄλλ' ἀντ' ἄλλων λέγειν παραπαίοντα, καὶ ἀναφανδὸν καὶ ἀναισχύντως καταφλυαρεῖν καὶ καταψεύδεσθαι, τοῦτο ξένον παντάπασι καὶ ἀσύγγνωστον, καὶ μομφῆς καὶ ψόγου καὶ κατακρίσεως, καὶ πλείονός τινος ἔτι ἄξιον, ὡς ἀπατωμένου τοῦ κοινοῦ οὕτως, οὗπερ ἐς φωτισμὸν τάχα παρόμοια βιβλία εἰς φῶς προέρχονται, τὰ μένειν ἀεὶ ἐν παχεῖ σκότει ἄξια.

Καθόλου, ἡνίκα ἂν περὶ τῆς Ἑλλάδος εἰπεῖν τι βούλωνται πολλοὶ γεωγράφοι, προσκόπτοντες καὶ ὀκλάζοντες παραπαίουσιν, ἀλλ' ἀντ' ἄλλων λέγοντες, ἀνεμώλια βάζου

πολεμήτε ἀρχομένης καὶ ἀκμαζέσης λυσσομανίας χαλασμὸν καὶ ὕφεσιν καὶ μείωσιν περιμένοντες, ἔνεδραν ὑποςρέφεσι ποιῆσαι ἔγνωσαν, καὶ φθάνεσι λάθρα

---

τες· ἐκ τῶν μερικωτάτων τὰ καθόλε συνάγεσι παρὰ τοὺς τῆς λογικῆς κανόνας, καίτοι πανταχοῦ παρ' αὐτοῖς κατ' αὐτοὺς παγκοίνως διδασκομένης, καὶ τῆς ἀληθείας πολὺ ἀπολείπονται. Μὴ ἀπόρει, ὦ φίλε, ἐμπόριον τὸ πᾶν, δοξομανίας καὶ ῥυπαρᾶς κερδοφροσύνης μεςὰ τὰ πάντα, καὶ οἱ σοφοὶ τῷ ὄντι, οἱ καὶ φιλόσοφοι ὄντες, οὓς μόνες ἔδει συγγράφειν, κομποῤῥημόνως παραγκωνίζονται. Εἶ λέγειν ὅτι καὶ τὸν κοινὸν χαρακτῆρα τῶν νῦν ἑλλήνων; ἐῦτοι οἱ ἐν ταῖς τῶν σφετέρων διηγήσεσιν, ἀηδῶς ἐκτόπως καὶ ἄχρι ναυτίας περιαυτολογοῦντες, καὶ πάντη ψευδῶς ἐνίοτε, ἐμφῆναι τάχα βελόμενοι, οὐδὲν ποιοῦσιν ἄλλο, ἢ ἄγνοιαν ἑαυτῶν τοῦ ἔθνες καὶ πολλὴν ἀκρισίαν, καὶ δὴ καὶ προπέτειαν καὶ παχὺν χυδαϊσμὸν καὶ κακοήθειαν δεικνύεσιν. Σωφρονοῦντας, καὶ δὴ καὶ τὴν σεβαςέαν ἀνθρωπότητα σεβομένες, ἐμφῆναι τάχα κοινὸν χαρακτῆρα ἔδει ἀπέχεσθαι· εὑρήσεσι γὰρ περιεργότερον ψηλαφήσαντες, ἀπανταχοῦ ἑαυτῷ τὸν ἄνθρωπον ὅμοιον· εἰδέ τις καὶ διαφορὰ, νόμοις καὶ διατάγμασι ἀπονεμητέον ταύτην· δόλος τε καὶ κακεντρέχεια καὶ ἡ λοιπὴ ταρταρικὴ καὶ ἀποτρόπαιος συνοδία ἐπιπολάζει τὰ πολλὰ ὅπε καὶ ὁ προληπτικὸς πλοῦτος καὶ τὸ τῆς τρυφῆς ἐμπόριον, καὶ παρ' ἡμῖν ἐλάχιςα πάντων ἑκάτερα. Ὁρᾶς, φίλε, οἷα νῦν συρφετολογοῦντες, καταψεύδονται, καὶ κακοήθως καταφλυα-

προκαταλαβόντες τὰς ςενωπὰς ἐν τῷ δυτικῷ τῦ Αρδὲλ, δίων οἱ κυμάνοι ἐπανακάμψειν ἔμελλον· κἀνταῦθα ἐπιπεσόντες αὐτοῖς, καὶ μεγάλην αἱματοχυσίαν ποιήσαντες, κατὰ κράτος ἐνίκησαν. Ἡνικαῦτα καὶ τὸ μέρος τῦ Αρδὲλ, ὃ νῦν μοαγγνορικὸν καλεῖται, ὑποχείριον ἐποίησαν, ἐξώσαντες τὰς καγγάρυς ἐς τὸ ἀνατολικώτερον, οἵπερ τὴν ειρήνην τῆς ἀνεξαρτησίας ἑαυτῶν ποιῦνται ὤνιον, περὶ τὸν ἑβδομηκοςὸν πέμπτον ἐνιαυτὸν τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, καὶ φόρον ὑπέσχοντο. Αλλὰ γὰρ ἀνύποιςον τὸ πρᾶγμα ἡγύμενοι, μετέγνω-

---

ρουσιν ἡμῶν τινὲς γεωγράφοι, περὶ τῆς προκειμένης πως σφῶν Ελλάδος εἰπεῖν τι βυλόμενοι; Ορᾶς ὅτι πᾶς σοφὸς οὐκ ἐςι καὶ φιλόσοφος, πολλοῦ γεδεῖ, ὥσπερ οὐδὲ πᾶς ναρθηκοφόρος, βάκχος, ὡς τὸ πάλαι ἔλεγον; Ποίυς ἄρα νομίζειν δίκαιον τούτυς, τὰ πόῤῥω τῆς Ευρώπης διηγυμένυς; Πρόσεχε τοίνυν καὶ μὴ ἀνεξετάςως παραδέχυ τὰ γραφόμενα καὶ λεγόμενα.

Η παροῦσα αὕτη ἐν εἴδει σημειώματος παρατήρησις, ἐςὶ τοῦ φίλυ Ιγνατίυ τοῦ ἐκ τῆς ὑπὸ τὸν Ολυμπον κωμοπόλεως Ραψάνης.

σαν ταῦτα γνόντες, καὶ πολέμȣ ἐμφυλίȣ περὶ βασιλείας ἐν Μοαγγυορίᾳ ἐκραγέντος, τοῖς ἀντιβασιλικοῖς συνεμάχησαν, ἀριςεῖον τὴν ἀνεξαρτησίαν καὶ τὴν ἀδασμίαν ἀναλαβεῖν ἡγȣ́μενοι. ἀλλ' ἐπὶ μεγάλων ἐλπίδων ὀχȣ́μενοι, ἡττηθέντες, καὶ τῶν μικρῶν ἐσφάλησαν. Μετὰ δὲ ταῦτα ὁ βασιλεὺς τῶν μοαγγυόρων ἑκὼν ἐξίςαται τῷ βασιλιῶντι τȣ̃ θρόνȣ, καὶ μετ' ȣ̓ πολὺ μεταμέλεται, καὶ βραβεῖον ὑπισχνεῖται Αρδὲλ τοῖς κȣμάνοις ἐπὶ τῇ θροναναλαβῇ συμμαχήσασι. Πείθονται οἱ κȣμάνοι, καὶ τάφον εὑρίσκȣσι βραβεῖον, καὶ τῆς σφετέρας ἀνοίας τρόπαιον, κατὰ κράτος ἡττηθέντες, περὶ τὸν ὀγδοηκοςὸν τέταρτον ἐνιαυτὸν τῆς ἑνδεκάτης ἑκατονταετηρίδος. Μετὰ ἑπτὰ ἐνιαυτȣ̀ς ὁ ἡγεμὼν κȣμάνος ἰσβάλλει εἰς τὸ Αρδὲλ, ὡς οἱ ἀνῆκον διιχυριζόμενος, ἀλλ' ἡττηθεὶς, ἠναγκάσθη ..ι τὴν ἡγεμονίαν καὶ τὴν θρησκείαν ..ωρίσαι τῶν μοαγγυόρων. Περὶ δὲ τὸν ..οςὸν δεύτερον ἐνιαυτὸν τῆς δωδεκάτης ..ατονταετηρίδος, λεηλατȣ̃ντες τὴν Βȣρ-

γαρίαν οἱ καγγάροι, ἡττήθησαν ὑπὸ τοῦ αὐτοκράτορος Ἰωάννου τοῦ Κομνηνοῦ.

Οἱ δὴ ἐν Ἀρδελίῳ καγγάροι ἐκπονηθέντες καὶ ταπεινωθέντες, ὑπὸ τὴν ἡγεμονίαν τῶν μοαγγυόρων διετέλουν, καὶ βισσένοι παρ' αὐτῶν ὠνομάζοντο· πολεμικοὶ δὲ ὄντες καὶ γεωργίας ἥκιστα ἔμπειροι, ὡς τοῖς ὅπλοις μᾶλλον καὶ τῇ κτηνοτροφίᾳ χαίροντες ἢ τῷ ἀρότρῳ, τοῖς μοαγγυόροις χρήσιμοι ἐγένοντο, καὶ τιμαῖς καὶ προνομίοις παρ' αὐτῶν διεκρίνοντο, καὶ φύλακες τῶν ὁρίων καθίσαντο, ὅθεν προέκυψε καὶ τὸ τζέκλερ ὄνομα, ὥσπερ νῦν ὀνομάζονται, φύλαξ σημαῖνον, ἑλληνιστὶ μεθερμηνευόμενον. Ἀπὸ τούτου δὴ τοῦ χρόνου καὶ τὰ καγγάρος καὶ βισσένος ἐξέλιπον ὀνόματα. Ἔπειτα δὲ καὶ φλάνδρους γεωργοὺς, καὶ ἐκ τοῦ Θύριγγεν μεταλλεῖς ὁ βασιλεὺς Γεΐζας, ὁ κατὰ τὸν τεσσαρακοστὸν πρῶτον ἐνιαυτὸν τῆς δωδεκάτης ἑκατονταετηρίδος βασιλεύσας, μετεπέμψατο, οἰκήσοντας τὸ Ἀρδέλιον, καὶ μοαγγυόροις καὶ σάξοις (τοῖς ἐκ τοῦ Θύριγγεν ἐν Σαξονίᾳ καὶ ἐκ

τῆς Φλάνδρας ἀποίκοις) καὶ τζέκλερ ἡ χώρα διεμερίσθη. Τῶν δὲ ῥυμένων τῶν παλαιῶν κατοίκων καὶ πολὺ πολυαριθμοτέρων συμπάντων τῶν ἐπηλύδων, ὑπονοῦντες ἴσως διὰ τὸν ἀριθμὸν, μᾶλλον δὲ διὰ τὸ ὀπαδὰς αὐτὰς εἶναι τῦ παλαιῦ δόγματος, μνείαν ὐκ ἐποιήσαντο. Οὐδὲν ξένον, ταῦτα ἐν βαρβάροις χρόνοις δρᾶν γενόμενα, θαυμαςὸν δὲ καὶ ξένον, εἰ παρόμοιαι βάρβαροι διαιρέσεις ἔτι καὶ νῦν διασώζονται· καὶ ὁ λαὸς τῦ μεγάλυ Τραϊανῦ, ῷ καὶ ἡ χώρα ἀνέκαθεν ἴδιον κτῆμα, περιφρονεῖται καὶ νῦν ἔτι, καὶ τῶν ἐγγαίων κτήσεων ἀποκλείεται, καὶ ἰσότιμος μοαγγυόροις καὶ καγγάροις καὶ σάξοις ἀνάξιος εἶναι κρίνεται.

## Ο υ ζ ο ι.

Μετὰ δὲ καγγάρυς οἱ ὖζοι, ὥσπερ θεάτρῳ, τῇ Ρυμυνίᾳ παρίςανται. Ἠσαν καὶ ὗτοι τῦ μεγάλυ ἔθνυς τῶν τύρκων ἀπόμοιρα, καὶ ἐν τοῖς ἀναμεταξὺ τῦ Ουρὰλ ποταμῦ καὶ Κασπίας καὶ Βόλγα ἵδρυντο,

μᾶλλον δὲ πλανώμενοι περιεφέροντο, ἄλλοις ἄλλοτε ὀνόμασι καλȣμενοι. Ἐκ τȣ́των, φασὶν, ἀπεχωρίσθη μοῖρα ὑπὸ τὸν Σελγιȣ̀κ ἐθνάρχην, καὶ διαβᾶσα τὸν Ιαΐκ ἢ Ουρὰλ, ἀναμεταξὺ Μπεχάρας καὶ Μαρακάνδας ἐπικράτειαν συνέςησε, καὶ οἱ συςήσαντες κȣμάνοι ἀνατολικοὶ, ἢ τυρκομάνοι ὠνομάζοντο. Απόμοιρά τις ȣ̓́ζων ἐν Καυκασίῳ ὄζετοι ὀνομάζονται. Οι πλεῖςοι δὲ πρὸς δύσιν ἐτράποντο, καὶ πέραν τȣ̃ Τύρα περιεφέροντο, ὅθεν τὰ Ρȣ́σσων ἦγον καὶ ἔφερον περὶ τὸ μέσον τῆς ἑνδεκάτης ἑκατονταετηρίδος. Διὰ δὲ τῆς Μολδόβης περὶ τὸν ἑξηκοςὸν τέταρτον ἐνιαυτὸν τῆς αὐτῆς ἑκατονταετηρίδος, περαιωθέντες τὸν Ιςρον παγγενεὶ μετὰ τῆς ἰδίας ἀποσκευῆς, πᾶντας τȣ̀ς ἀνθιςαμένȣς κατηγωνίσαντο, καὶ τȣ̀ς ἀρχηγȣ̀ς αὐτῶν ἠχμαλώτισαν. Συνεποσȣ̃ντο δὲ ἐς ἑξήκοντα μυριάδας, κατὰ τὸν Κεδρηνόν. Υπερβολὴ ὁ λόγος, ἢ παρεφθαρμένη ἐξ ἀντιγραφῆς ἡ λέξις, δέον εἰπεῖν ἕξ. Τȣ́των μοῖρά τις ȣ̓κ ἐλαχίςη ἄχρι Θεσσαλίας ἐσέφρησε κα

πᾶν τὸ προςυχὸν ἐλυμήνατο. Υποςρέφοντες δὲ ὑπὸ λιμȣ̃ καὶ χειμῶνος καὶ τῶν κωνςαντινȣπολιτῶν καὶ τῶν βȣργάρων κατεπολεμήθησαν. Οι δὲ ςρατηγοὶ αὐτῶν καὶ φυλάρχαι φθάσαντες, τὸν Ιςρον ἐπεραιώθησαν, καὶ διέβησαν πολλάκις αὐτὸν, τιννύμενοι καὶ ληςεύοντες. Τηνικαῦτα τὸ ὄνομα αὐτῶν γνωςὸν ἐγένετο, καὶ ὅτι ἔθνος ἐςὶ καγγάρων εὐγενέςερον καὶ πολυανθρωπότερον· ἀλλὰ μετ᾽ ὀλίγον ἐξέλιπεν. Οι ἐν Μοαγγυορίᾳ Ἰάστζοι, ȣ̓̃ζοι εἰσὶν, ἀλλ᾽ ȣ̓κ ἰάζυγες. Τὰ λείψανα τῶν ȣ̓̃ζων, ὡς καὶ τὰ τῶν ἄλλων ἐθνῶν, ἐμίγησαν τοῖς ῥȣμμάνοις καὶ ἐξεῤῥȣμμανίσθησαν, καὶ τὸ ὄνομα αὐτῶν ἐν κώμῃ τινὶ Αρδελίȣ σώζεται, ἥτις Ουζον ὀνομάζεται, καὶ ἐν τῷ ὑπερκειμένῳ τῆς Οκνης ἐκ δεξιῶν ἐκβάλλοντι εἰς τὸ Τροτȣ̀ς ἐν Μολδόβῃ ποταμῷ, ὅς τις καὶ αὐτὸς Ουζον νῦν ὀνομάζεται.

## Κ ȣ μ α ν ο ι.

Οτε οἱ ȣ̓̃ζοι ἐν τοῖς δεξιοῖς τȣ̃ Βορυσθένȣς περιεφέροντο, οἱ κȣμάνοι ȣ̓̃ζοι καὶ αὐ-

τοὶ ὄντες, ἐν τοῖς ἑῴοις κατέμενον, περὶ τὸν Κέμαν μικρὸν ποταμὸν ἐς τὰ βόρεια δυτικὰ τῆς Κασπίας ἐκδιδȣ̃ντα, σκηνώσαντες ἴσως πρότερον, καὶ παρ' αὐτȣ̃ κȣμάνοι ὀνομασθέντες· τȣ̀ς τε γείτονας χαζάρȣς τȣ̀ς τὸ κράτος πρότερον ἔχοντας ἐν τοῖς παρακασπίοις καὶ παραβολγίοις διεδέξαντο, καὶ τὸ κέντρον τῆς μεγάλης αὐτῶν ἀρχῆς ἐν τοῖς ὑπερβολγίοις ἐποίησαν· καὶ οἱ ἀνατολικοὶ μοαγγυόροι καὶ τὰ λείψανα τῶν χαζάρων ὑπ' αὐτȣ̀ς ἦσαν, ὡς ἔοικε. Φαίνεται δὲ ὅτι πρότερον κȣμάνοι καὶ καγγάροι ἐς τὰ περὶ Κίοβον ἦλθον, καὶ ἐντυχόντες μοαγγυόροις ἐς τὸ δυτικὸν πορευομένοις, συνώδευσαν αὐτοῖς ἐς Παιονίαν. Ουτοι εισὶν, ὡς ἔοικεν, οἱ μετὰ μοίρας μοαγγυόρων διὰ τȣ̃ Δονδομὶρ καὶ τῆς Γαλίτζης, ὅπȣ καὶ καμήλοις καὶ ἄλλοις ζώοις καὶ ὁδηγοῖς ὑπὸ τῶν κατοίκων ἐφιλοξενήθησαν, ἐς Παιονίαν πορευόμενοι, ὡς βλέπομεν ἐν τῇ ἱςορίᾳ τῆς Ρȣσσίας. Διαδεξάμενοι γȣ̃ν τὸ κράτος οἱ κȣμάνοι, ἤρξαντο καὶ πρὸς τὸ δυτικὸν ἐκτείνεσθαι, καὶ με-

χρι Ρεμενίας ἦλθον. Ἐν δὲ τῷ τρίτῳ ἐνιαυτῷ τῆς ἑνδεκάτης ἑκατονταετηρίδος ἡττήθησαν ὑπὸ ῥέσσων ἧτταν μεγάλην ἀναμεταξὺ Βορυσθένες καὶ Τύρα, ἐν ᾗ ἔκοσι φυλάρχας ἀπώλεσαν.

Χρόνῳ δὲ μετὰ ταῦτα ἐνοχλεῖν τῇ Ρεσσίᾳ μὴ παύοντες, καὶ ἀνεπηρέαςον μὴ ἐῶντες, δύο φρέρια παρ' αὐτῶν ἀφῃρέθησαν ἐν τῷ ἑνδεκάτῳ ἐνιαυτῷ τῆς δωδεκάτης ἑκατονταετηρίδος, καὶ λεηλασίας οἱ ῥῶσσοι ἐν τῷ ἔξω τῆς ἀρχῆς αὐτῶν, πέραν Ταναΐδος, ἐποίησαν ἐν τῷ δεκάτῳ τρίτῳ, ἕκτῳ καὶ ἐννάτῳ ἐνιαυτῷ τῆς αὐτῆς ἑκατονταετηρίδος. Κατὰ τὸν αὐτὸν χρόνον ἐν τῷ δεκατῳ τετάρτῳ ἐνιαυτῷ ἕτεροι κεμάνοι διαβάντες τὸν Ἴςρον κατὰ τὸ Βιδίνιον, τῆς Κραϊοβικῆς κύριοι ὄντες, ἐξεληλακότες ἐντεῦθεν μοαγγυόρες, καὶ τὰ πέραν τε ποταμε λεηλατέντες, ἕως ἐς Θράκην ἵκοντο. Ὑποςρέφοντας δὲ διώκεσιν οἱ κωνςαντινεπολῖται αὐτὲς μέχρις Ἴςρε, καὶ ἐπιδιαβάντες τὸν ποταμὸν, τρεῖς ἡμέρας, μέχρι τινὸς μεγάλε ποταμε, τε Ολτε πάντως,

ἐδίωξαν. Ουκ ἦν ἄρα τηνικαῦτα τὸ Σεβηρῖνον τοῖς μοαγγυδροις ὑπήκοον.

Τὰ ἀτυχήματα ταῦτα τῶν κȣμάνων ἠρεμίαν τριακονταετῆ πȣ τοῖς ῥέσσοις προξένησαν. Ἀλλὰ γὰρ ἔπειτα ἐς ἡλικίαν μάχιμον ἐλθȣ̃σα ἡ κȣμανικὴ νεολαία καὶ μαιμῶσα καὶ τισιμανȣ̃σα, πόλεμον ἀνακηρύττει τοῖς ῥέσσοις, κατὰ τὸν ὀγδοηκοςὸν ἐνιαυτὸν τῆς δωδεκάτης ἑκατονταετηρίδος· ἀλλὰ νεανικώτερον καὶ μανιωδέςερον πέραν τȣ̃ δέοντος ςρατηγȣμένη καὶ φερομένη, καταπολεμεῖται καὶ κατὰ κράτος ἡττᾶται, καὶ τετρακοσίȣς ἑπτὰ φυλάρχȣς καὶ ὑποφυλάρχȣς ἀπόλλυσι, καὶ οἱ ῥȣ̃σσοι, τὸν ἐφεξῆς ἐνιαυτὸν εἰσβαλόντες ἐς τὴν δυτικὴν Κȣμανίαν, τὴν πέραν τȣ̃ Τύρα πάντως, ταύτην κατεδῄωσαν. Ἐπαρθέντες δὲ τοῖς εὐτυχήμασι τȣ́τοις, καὶ τὴν ἐῴαν Κȣμανίαν ταὐτὰ ποιῆσαι θελήσαντες, ἡττήθησαν κατὰ κράτος, καὶ ἀπέβαλον ὅσα παρ' ἡττημένων πολόβτζων εἰλήφεσαν. ȣ̃τω γὰρ οἱ ῥȣ̃σσοι ȣ̃ζȣς καὶ κȣμάνȣς ἐκάλȣν.

*Οι δὲ ἐν Μολδόβῃ κυμάνοι, εἰσβαλλόντες διὰ Αρδὲλ ἐς Γύλα, ἐν τῇ ὑποςροφῇ κατενεδρευθέντες ἀπώλοντο. Επειτα πάλιν ὁ ἡγεμὼν κυμάνος, τῦ ἀποβασιλέως Σολομῶντος, τό, τε Αρδὲλ καὶ τὴν αὐτῦ θυγατέρα ὑποσχομένυ, τῷ ἐθνικῷ τὴν χριςιανὴν, ἐνθρονιεῖν πάλιν βίᾳ τὸν πενθερὸν ἐπαγγελλόμενος, ἐσβαλὼν δυνάμει ἐς Μοαγγυορίαν, ἡττᾶται κατὰ κράτος, περὶ τὸν ὀγδοηκοςὸν τέταρτον ἐνιαυτὸν τῆς ἑνδεκάτης ἑκατονταετηρίδος. Επιχειρήσας ὕςερον μετὰ τῦ Σολομῶντος λεηλατῆσαι τὰ πέραν τῦ Ιςρυ, ὀπισθοβετεῖν ὑπὸ τῶν κωνςαντινυπολιτῶν ἀναγκάζεται καὶ μὴ βυλόμενος. Εν ἑτέρῳ χρόνῳ τῶν μετὰ Τυρὰχ καγγάρων, τόπον φύξιμον καὶ ληςρορμητήριον καὶ ἑςίαν τὰς ἐν τοῖς ςόμασι τῦ Ιςρυ ἐχόντων νήσυς, κἀντεῦθεν τὰς τῶν κωνςαντινυπολιτῶν νομὰς ληςροδρομέντων, καὶ τὰς κυμάνυς ἐς ἀρωγὴν προσκαλεσάντων, τῶν κωνςαντινυπολιτῶν ἤδη ἐπ' αὐτὰς δυνάμεσιν ἐρχομένων, βραδύναντες αὐτοὶ μετὰ τὴν νίκην τῶν καγγά-*

ρων ἵκοντο, καὶ κατέλαβον τὸτες τὴν λείαν τῶν ἡττηθέντων κωνςαντινοπολιτῶν διαμεριζομένους, καὶ μερῖται ταύτης εἶναι διισχυριζόμενοι, καὶ τὸς καγγάρους μηδενὶ τρόπῳ συγκατανεύοντας δρῶντες, ὡς πολεμίοις χρῆσθαι ἐβόλοντο, καὶ ἕτοιμοι ἦσαν αὐτοῖς ἐπιτεθῆναι· δυσχερῆ δὲ τὴν ἐπίθεσιν ἡγόμενοι, ὠχυρωμένων ἤδη τῶν καγγάρων, καὶ τῆς δεσποίνης πείνης ἐπαπειλόσης, ἀναζυγῆς ἐφρόντισαν, καὶ ἐπ᾽ οἴκȣ ἐπὶ Μολδόβης ἀπῆραν.

Μετὰ δὲ ταῦτα συμμαχȣσι τοῖς κωνςαντινȣπολίταις, ἀλλὰ καγγάροις ἐπὶ λεηλασίαν ὁρμήσασι συμμαχεῖν, μᾶλλον δὲ, συλλῃςεύειν ἔγνωσαν, καὶ περαιȣνται αὐτῶν τέσσαρες μυριάδες τὸν Ἴςρον. Πυθόμενος δὲ ταῦτα ὁ αὐτοκράτωρ Ἀλέξιος, φθὰς πείθει δώροις τὸς κȣμάνȣς οἱ προσχωρῆσαι, καὶ νικᾷ ὁλοσχερῆ νίκην τὸς καγγάρȣς· ὅσοι δὲ τὸν θάνατον ἔφυγον, ȣτοι σύμπαντες ἐζωγρήθησαν. Εἴπωμεν καὶ ἡμεῖς, κατὰ τὸν ἀγεώγραφον πάντη Κεδρηνὸν, ὅτι τρισκαίδεκα καὶ πλείȣς ἦσαν

οἱ αἰχμάλωτοι ἑκάςῳ κωνςαντινȣπολιτικῷ ςρατιώτῃ, ἀλλὰ λάλων καὶ φλυάρων γραϊδίων ὁ λόγος. Νυκτὸς δὲ γενομένης παρὰ γνώμην τȣ αὐτοκράτορος καὶ ἀγνοȣ̃ντος ὅλως, (νὴ τὴν ἀλήθειαν, τὴν ὑπȣλότητα τȣ̃ Ἀλεξίȣ εἰδότες, ἀμφιβάλλομεν,) οἱ ςρατιῶται πᾶντας ἡβηδὸν τȣς αἰχμαλώτȣς κατέσφαξαν· καὶ οἱ κȣμάνοι ἐπὶ τῇ βαρβάρῳ ταύτῃ καὶ ἀπανθρώπῳ σφαγῇ φρίξαντες καὶ ἀγανακτήσαντες, ἐς Μολδόβαν ἀναζεύξαντες ἐπανέκαμψαν, ἀποςρεφόμενοι πολλὰ τȣ̀ς κωνςαντινȣπολίτας καὶ ὀργιζόμενοι αὐτοῖς διὰ ταύτην αὐτῶν τὴν βαρβαρότητα. Ἀλέξιος δὲ ἀναίτιος τύχα τῆς σφαγῆς τυγχάνων, πολλὰ παρ' αὐτοῖς ἀγανακτῶν κατὰ τῶν φονέων καὶ καταμεμφόμενος, καὶ, ἃ αὐτοῖς ὑπέσχητο, ἀποδȣ̀ς ἐξιλεῶσαι γεμὴν τȣς κȣμάνȣς ȣκ ἀπρόσθετον τὴν σφαγὴν νομίζοντας, ȣκ ἠδυνήθη.

Τίσασθαι τοίνυν βȣλόμενοι οἱ κȣμάνοι τȣς κωνςαντινȣπολίτας, καὶ Πάτροκλον, ὥσπερ ἡ ξυγγραφίννα Ἄννα Κομνηνή φησιν, ἑυρηκότες πρόφασιν, τὸν φευ-

θυιὸν Διογένȣς ἀποςαλέντα ἐς Χερσῶνα πόλιν ἐν τῇ ταυρικῇ χερσονήσῳ (ἐν τῷ Κρὶμ), καὶ ἔμφρȣρον ἐκεῖ φυλαττόμενον, κρύφα λαμβάνȣσι, (ἐμπορίας χάριν ἐσύχναζον ἐκεῖ οἱ κȣμάνοι), καὶ ἄγȣσι μετὰ πολλȣ̃ ςρατȣ̃, περὶ τὸν ἐννενηκοςὸν ἕκτον ἐνιαυτὸν τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, ἐν ᾧ καὶ πολλοὶ τῶν ἡμετέρων ῥȣμάνων ἐςράτευον, ὡς δῆθεν τῷ πατρῴῳ ἐγκαθιδρύσαι θρόνῳ, τὸ δ᾽ ἀληθὲς, αἵμασιν ἀνθρώπων λαφύξαι ἱμειρόμενοι, ὡς ἡ Αννα φησὶ, καὶ κρεάτων ἀνθρωπίνων ἐμφορηθῆναι, καὶ λείαν πολλὴν ἐκ τῆς ἡμεδαπῆς ἐπισυνάξαι. Στερηθέντες δὲ τῶν πρὸς τὸ ζῆν, ὀπισθοβατεῖν ἠναγκάσθησαν, καὶ πολλοὶ ἐκ νόσων, πλεῖςοι δὲ καὶ ἐκ τȣ̃ ξίφȣς Αλέξίȣ τȣ̃ Κομνηνȣ̃ ἀπώλοντο. Επ᾽ ἄλλȣς κȣμάνȣς ἐπὶ λεηλασίᾳ ἐς Σερβίαν ἱκομένȣς, ςρατεύει πάλιν Αλέξιος, καὶ διώκει πέραν Βιδινίȣ, καὶ ἐπιδιαβὰς κατόπιν αὐτῶν τὸν ποταμὸν, μέχρι τȣ̃ Ολτȣ ἐδίωξεν.

Εν δὲ τῷ ἐννενηκοςῷ πρώτῳ ἐνιαυτῷ

τῆς ἐνδεκάτης ἑκατονταετηρίδος, κουμάνοι ἐς Ἀρδέλιον ἐσέφρησαν λεηλατήσοντες, ἀλλ' ὑποστρέφοντες κατεπολεμήθησαν, καὶ ὅσοι διέφυγον τὸν θάνατον, ἑάλωσαν καὶ τὸ βάπτισμα βίᾳ δέχονται, καὶ ἐν τοῖς μεταξὺ Δανουβίου καὶ Τισσοῦ οἰκίζονται. Ἀπαιτεῖ ὁ ἡγεμὼν κουμάνος τοὺς ὁμογενεῖς τὸν βασιλέα τῶν μοαγγυόρων, καὶ ἐπαπειλεῖ, καὶ πάλιν νικᾶται. Περὶ δὲ τὸν τριακοστὸν ἐνιαυτὸν τῆς δωδεκάτης ἑκατονταετηρίδος, Τατὰρ ἡγεμὼν κουμάνος μετὰ τῆς φυλῆς καταφεύγει εἰς Μοαγγυορίαν, καὶ δέχεται φιλοφρόνως αὐτὸν ὁ βασιλεύς· αὐθαδιάζοντες δὲ καὶ ἀτακτοῦντες οἱ μετ' αὐτοῦ, κατεκόπησαν ὑπὸ τῶν μοαγγυόρων ἅπαντες. Τοσαῦται ἐπὶ λεηλασίᾳ ἐκστρατεῖαι, ἠσθένησαν μὲν τοὺς κουμάνους, καὶ τὴν ὁδὸν ἐπὶ τὴν ἡγεμονίαν ἐν τῇ ἑῴᾳ καὶ μεσημβρινῇ Ρουμουνίᾳ τοῖς ῥουμούνοις παρεσκεύαζον, ἐταπεινώθησαν δὲ οὐχί· ἐπιδρομὰς γὰρ οὐκ ἔπαυον ποιοῦντες πέραν τοῦ Ἴστρου. Οἱ δὲ κωνσταντινουπολῖται ἐρεθισθέντες καὶ τίσασθαι τοὺς κουμάνους βουλόμενοι, περαιοῦνται

*τὸν Ἴστρον, καὶ ἄγουσι καὶ φέρουσι τὴν Κουμανίαν, Ῥουμουνικὸν ἀγρὸν δηλαδὴ καὶ Μολδόβαν, κατὰ τὸν πεντηκοστὸν δεύτερον ἐνιαυτὸν τῆς δωδεκάτης ἑκατονταετηρίδος.*

*Ἐν δὲ τῷ ἑξηκοστῷ ἕκτῳ ἐνιαυτῷ τῆς αὐτῆς ἑκατονταετηρίδος, Μανουὴλ ὁ αὐτοκράτωρ πολεμῶν τοῖς μοαγγυόροις, Ἀλέξιον μὲν ᾧ τὴν θυγατέρα ἠγγύα, ἐπὶ τὸν Ἴστρον ἔπεμψε κατὰ τὸν Σάβαν, δόκησιν ποιήσοντα μοαγγυόροις, ὡς ἐκ τῶν συνήθων πάλιν αὐτοῖς χωρίων ἐπιτεθήσεσθαι ἔμελλεν. Λέοντα δέ τινα Βατάτζην ἐπίκλησιν, ἑτέρωθεν στράτευμα ἄλλο τε ἐπαγόμενον συχνὸν, καὶ δὴ καὶ ῥουμάνων πολὺν ὅμιλον ἐκ τῶν πρὸς τῷ εὐξείνῳ Πόντῳ χωρίων, (τῆς νῦν δηλαδὴ Μπασσαραβίας,) ἐμβαλεῖν ἐκέλευσεν ἐς τὴν Μοαγγυορίαν. Ἀλέξιος μὲν οὖν δέος ὑπέτεινε μοαγγυόροις ὡς ἐκεῖθεν αὐτίκα περαιωθησόμενος. Βατάτζης δ' ἐμβαλὼν ἑτέρωθεν, ἔκειρέ τε πάντα, καὶ συνεπάτει τὰ παραπίπτοντα. Ἀνθρώπων τε οὖν πολὺν εἰργάσατο φόνον, καὶ ἀνδροποδισμὸν οὐκ ἐλάσσω πεποίητο· πρὸς δὲ καὶ*

ζώων ἀγέλας, ἵππωντε καὶ ἄλλων παντοδαπῶν ἐκεῖθεν ἐλάσας, ἦλθε πρὸς βασιλέα. Οὐδὲ καὶ δεύτερον θέλων ἐπιθεῖναι σφίσι πληγὴν, στράτευμα πάλιν ἐπ᾽ αὐτὸς ἔπεμψεν, ἐπιςείλας εἰς τὸς προσοικοῦντας τὴν Γάλιτζαν μοαγγνόροις. Ἡγεῖτο δὲ τοῦ στρατεύματος τούτου Ἀνδρόνικός τε ὁ Λαμπαδᾶς καὶ Νικηφόρος ὁ Πετραλοίφας, ἄλλοι τε ἱκανοὶ, πᾶσι μέντοι ἐφίςατο Ἰωάννης ὁ Δύκας. Οἱ καὶ οὐκ ἐς μακρὰν δολιχάς τινας καὶ δυσεμβόλους διαμείψαντες χώρας, ἀνθρώπων παντάπασιν ἔρημον διελθόντες γῆν, ἐμβάλλουσί τῇ Μοαγγυορία, κώμαις τε πολυανθρωποτάταις ἐντυχόντες πολλαῖς, μέγα τι λαφύρων περιεβάλοντο χρῆμα, καὶ ἀνθρώπων πολλοὺς ἔκτειναν, πλείςους δὲ καὶ ἠνδραποδίσαντο. Μέλλοντές τε ἤδη ἀπαίρειν, ςαυρὸν χαλκοῦ πεποιημένον, ἐνταῦθα ἀναςήσαντες, τοιάδε τινὰ ἐπέγραψαν.

Ἐνθάδε Παννονίης ποτὲ ἄκριτα φῦλα γενέθλης,
Δεινὸς Ἄρης καὶ χεὶρ ἔκτανεν αὐσονίων,
Ῥώμης ὁππότε κλεινὸς δῖος ἄνασσε Μανουήλ,
Κομνηνῶν κρατόρων εὖχος ἀριςονόμων.

*Τὸ μὲν ὖν πρῶτον ςράτευμα ἀντίσπασιν ποιόμενον, ὡς καὶ τὸ δεύτερον, διὰ τῆς Μολδόβης καὶ τῦ ςενωπῦ ἴσως τῦ Οἰτύζυ τῦ σκολιῦ ποταμῦ, ἢ διὰ τῦ παρὰ τὸ Τροτὺς, ἐσέβαλεν ἐς τὸ Ἀρδὲλ, καὶ ὐ μοαγγύροις, ἀλλὰ ῥωμένοις ἐνέπεσον ἀθρόοις, οἱ ὡς λῃςαὶ τὸν πόλεμον ποιύμενοι· τὸ δὲ δεύτερον, τὸ διὰ τῆς Γαλίτζης, διαβὰν τὴν Μολδόβαν, ςραφὲν διὰ τῶν Καρπαθίων ῥάχεων, ἐς τὴν ἐλευθέραν ῥωμυνικὴν ἐπικράτειαν εἰσέβαλε τὴν ἐν τῷ Μαραμὸς, καὶ πάλιν καὶ αὐτὸ τοῖς ὁμοπίςοις καὶ ἀθρόοις ῥωμύνοις ἐπέπεσε, καὶ ὐ τοῖς μοαγγύροις. Μετὰ τὸ πρῶτον ςράτευμα ἀπέςειλεν ὁ Μανυὴλ, ὡς ἔοικε, καὶ ἕτερον ςράτευμα, ὅπερ διὰ τῆς Μολδόβης καὶ τῶν βορείων αὐτῆς ἐς τὰ περὶ Πίςριτζαν εἰσέβαλε, καὶ τὺς ῥωμύνυς πάλιν κακῶς ἐποίησεν. Ἀλλὰ ταῦτα πάντα συγκέχυται, παρ᾽ ἀγεωγράφων πάντη παραδιδόμενα, ὥσπερ καὶ πολλὰ ἕτερα· καὶ τὸ ἔρημον γῆν καὶ τὸ κώμαις πολλαῖς, ὑπερβέβληται καὶ ἀπλύςερον εἴρηται.*

Οἱ δ' ἡμέτεροι ῥωμᾶνοι, ὓς καὶ αὐσονίως ἐκάλων, ὑπήκοοι ἀνενόχλητοι καὶ ἀνεπηρέαςοι ὄντες τῶν κωμάνων, ἐν τῇ Βασσαραβίᾳ καὶ ἐν τῇ Μολδόβῃ καὶ ἐν τῷ Ρωμωνικῷ ἀγρῷ, καὶ γεωργᾶντες καὶ ποιμαίνοντες, καὶ τὰ πλεῖςα ἐν τοῖς δρυμοῖς διαιτώμενοι, πολὺ πλείοσιν ἆσι τότε ἢ νῦν, καὶ ςρατείας βεβιασμένης ἐλεύθεροι, ηὐξήθησαν ἐπὶ πολὺ, οὔτε σποράδην, καὶ οἱ συςήματα μικρὰ ἔχοντες καὶ ἴδια πολιτεύματα τὰ πλείω ἀμφισβητήσιμα. Ταῦτ' ἄρα καὶ ςρατεύοντας αὐτὰς βλέπομεν νῦν μᾶλλον ἢ πρότερον· καὶ πλείων λόγος αὐτῶν, ὑπὸ τὰς κωμάνας μάλιςα ὄντων. Οἱ δὲ κωμάνοι, τῶν κωνςαντινοπολιτῶν, ἅπαξ καὶ δὶς καὶ τρὶς ἴσως, διαβαινόντων ἐς τὴν Κωμανίαν καὶ διὰ τῆς Κωμανίας, ἐοίκασιν, ἢ ἐς ἕω ποι ἐκςρατεύσαντες ἱκέσθαι, ἢ διὰ τὰ πολλὰ αὐτοῖς ἐπισυμβάντα ἀτυχήματα, ἔν τε τῇ ἑῴα καὶ τῇ δυτικῇ Κωμανίᾳ, τὰς ῥωμάνας ἄρξασθαι σέβεσθαι, εὐαβέςερον φερόμενοι, καὶ αὐτοῖς συλλήψεσθαι, περιμένοντες ἐκ τῆς ἕω, ὅπω ὁ βα-

σιλεὺς σφων ἔῤῥωτο, συναντίληψιν. Ἀλλ' ἐχέτω ταῦτα ὅπως ποτ' ἂν ἔχοιεν.

## Ῥȣμȣ̃νοι Ληςαί.

Οἱ ῥȣμȣ̃νοι, ȣ̔̃ς καὶ πρότερον συςρατεύοντας εἴδομεν, νῦν μάλιςα· (ἔδει γὰρ αὐτȣ̀ς ἐκπεπαιδεῦσθαι τέλος τὴν τέχνην καὶ ἄκοντας·) τοῖς κȣμάνοις σύντροφοι ὄντες, διεπεραιȣ̃ντο κοινῶς τὸν Ἴςρον ἐπὶ Ἰσαακίȣ Ἀγγέλȣ, κοινὸν σκοπȣ́μενον ἔχοντες· καί ποτε, ἐπὶ Ἀλεξίȣ Ἀγγέλȣ, τὰ τῆς Θράκης πολίσματα ἐλεηλάτησαν, καὶ τῷ ἐφεξῆς ἐνιαυτῷ διαβάντες μετὰ κȣμάνων τὸν Ἴςρον καὶ τὰ κράτιςα τῆς χώρας κείραντες, ἀσινεῖς ἐς τὰ σφέτερα ὑπέςρεψαν, καὶ τὴν τῶν ὁμοθρήσκων χώραν ἐπηρεάζειν καὶ πορθεῖν ȣ̓κ ἔπαυον. Ἀλλὰ Ῥωμανὸς ὁ τῆς Γαλίτζης ἄρχων, εἴτε προτροπῇ τῶν κωνςαντινȣπολιτῶν, εἴτε ἀφ' ἑαυτȣ̃ κινȣ́μενος, κακȣμένȣς μὴ φέρων ἀκȣ́ειν τȣ̀ς ὁμοπίςȣς· προτροπῇ γὰρ τȣ̃ πάππα λέγειν, ἄντικρυς καὶ ἀναιδῶς ἐςὶ ψεύδεσθαι· τῶν ῥȣμένων καὶ κȣμάνων τὰ πέραν τȣ̃ Ἴςρȣ

λεηλατέντων, ἐσέβαλεν ἐς τὴν ἑώαν καὶ μεσημβρινὴν Ῥεμενίαν, ἄγων πάντα καὶ φέρων, καίων, ἀποκτείνων καὶ λαφυραγωγῶν τὰ προςυχόντα, καὶ τὲς ὁμοθρήσκες ὅτω ῥεμενοκεμανικῆς ἀσελγείας καὶ λύσσης ἀπήλλαξεν. Επειτα δὲ ὁσάκις τὲς ῥεμενοκεμάνες τὰ αὐτὰ ποιἕντας ἐπυνθάνετο, ἐπιτρέχοντας καὶ ληΐζοντας τὰ πέραν τἔ Ιςρἕ, ἐπέτρεχε καὶ ὅτος, καὶ τὴν Κεμανίαν ἐπόρθει. Ουτως ἕν ῥεμένες καὶ κεμάνες περαιἕσθαι λῃςρικῶς τὸν Ιςρὸν ἐκώλυε, καὶ ταῖς ἀντισπάσεσι λυσιτελὴς μάλα τοῖς κωνςαντινεπολίταις ἐγίνετο. Οι δὲ κεμάνοι καὶ ῥεμένοι τιμωρήσασθαι τὸν Ρωμανὸν ἐφιέμενοι, συμμαχἕσιν ἑτέρῳ ῥέσσῳ κατ' αὐτἕ. Αλλὰ γὰρ ἐκεῖνος τελέσας τὸ σκοπέμενον, κεμάνες εὐθὺς ἐγκατέλιπε, καὶ Ρωμανὸς πείσας ἑτέρες οἱ συμμαχῆσαι, τιμωρεῖται τὲς κεμάνες καὶ τῶν πλησιοχώρων οἱ τόπων τέτες ἀφείλετο.

---

## Κεφάλαιον δʹ.

### ΜΟΓΓΟΥΛΟΙ.

### Τζιγγησχάν.

Οὕτω μὲν ἂν τὰ κεμάνων ἐταπεινῶτο ταῖς συχναῖς κατὰ ῥύσσων, μοαγγούρων καὶ κωνςαντινεπολιτῶν ληςρικαῖς ἐπιδρομαῖς, καὶ ἐκπεπόνηται μὲν ἱκανῶς, ὅπω δὲ πάντη τεταπείνωται. Ἦσαν γὰρ ἔτι ἐπίφοβοι τοῖς γείτοσιν, ἄνδρες ὄντες φύσει ἐς ληςείαν καὶ αἱματοχυσίαν κατάφοροι· καὶ ταπεινωθέντες, ἐκ ἦσαν ἐλπίδος ἀνυψώσεως ἄμοιροι, τε ἀρχιβασιλέως αὐτῶν ἐν τοῖς πέραν τε Βόλγα ἐῤῥωμένε ἔτι καὶ ἐν ἀκμῇ καὶ δυνάμει τυγχάνοντος. Ἀλλὰ γὰρ ἕτερος ἐχθρὸς, πολὺ δυνατώτερος, πολὺ τολμηρότερος, πολὺ ἐγχειρηματικώτερος, πολὺ δραςηριώτερος, πολὺ φρονιμώτερος καὶ ἐπιτηδειότερος, ἐκ τε μυχε τῆς Ἀσίας, ἐκ τῆς

μεγάλης Ταταρίας, ὡς παντοκλύςης καὶ ἀνυπόςατος χείμαῤῥος ἐκραγεὶς, κατεςρέψατο μετὰ πολλὰς ἄλλους, καὶ κουμάνους καὶ ῥώσους καὶ μοαγγυόρους, καὶ ὅσα οὐδεὶς πώποτε καταγωνιςὴς, καὶ τὴν οἰκουμένην πᾶσαν φόβου καὶ τρόμου ἐνέπλησεν.

Ουτος ἦν ὁ πολυθρύλλητος Τζιγγησχὰν, ὁ μείζων, ὧν ἡ ἱςορία μνείαν ποιεῖται κοσμοκαταγωνιςῶν. Τότε ἡ πρώτη ἐπὶ τὰ ὅπλα ὁρμὴ οὐ κατακτήσεως σκοπὸς ἢ μεγαλύνσεως ἢ λεηλασίας ἐτύγχανεν· ἀλλὰ τοῦ πατρὸς αὐτῷ μικροῦ μονάρχου ἢ φυλάρχου ἀποθανόντος· πολιτεύεται γὰρ τὸ τῶν ταταρων ἔθνος κατὰ φυλαρχίας, ὥσπερ καὶ τὸ τῶν ἀράβων· καὶ τῶν γειτόνων περιφρονούντων τὸ ἀνήλικον αὐτοῦ· τρισκαιδεκατέτης γὰρ τηνικαῦτα ἐτύγχανε· καὶ περὶ τὸ κληρονόμημα αὐτοῦ ὀφθαλμιώντων, καὶ πολέμια φρονεῖν καὶ πράττειν ἀρξαμένων, ἀναγκασθεὶς, ἐπ' ἄμυναν ἐτράπετο, ἵνα τὴν πατρώαν ἀρχὴν, ὡς ἕρμαιον ἤδη βλεπομένην, ἑαυτῷ διασώσας φυλάξειεν. Ουτω γοῦν, ἀπὸ μικρῶν ἀρχόμενος, ἐπὶ μεγάλα

χωρήσας, ὥσπερ ὑπὸ ῥεύματος ὑπὸ τῶν περιςάσεων φερόμενος, μεγάλα ἤδη πράττων, πολλὰ ἔθνη τῆς μεγάλης Ταταρίας καὶ τὸ βόρειον τῆς μεγάλης ἀρχῆς τῶν σιναίων κατεκτήσατο. ἐπιτρόπῳ δὲ ἐξακολεθῶν τὸν μετὰ τῆς μεσημβρινῆς Σίνης πόλεμον, ἐς τὸ Καρακορὰν τὴν νέαν πόλιν καὶ τῆς νεοσυςαθείσης μεγάλης ἀρχῆς μητρόπολιν ἦλθεν. Ἐνταῦθα μένειν βελόμενος καὶ τὴν νέαν ἀρχὴν διαταγαῖς καὶ νόμοις, καὶ ἔσωθεν μὲν εὐταξίᾳ, ἔξωθεν δὲ φιλίᾳ ἐμπεδῦν καὶ κοσμεῖν ἐφιέμενος, Μεχμὲτ τῷ βασιλεῖ τῆς μεγάλης Μπεχαρίας, ἀκμαζέσης τὸ τηνικαῦτα διά τε ἐμπορίαν καὶ διὰ τὸν πλῦτον καὶ τὰς τέχνας, πρεσβείαν ἀπέςειλεν, ἐμπορικὰς σχέσεις συςῆσαι μετ᾽ αὐτῦ προτεινόμενος· περιφρονηθεὶς δὲ ὑπ᾽ αὐτῦ, ἐπὶ δυνάμει καὶ πλύτῳ μάλα ὑπὲρ τὸ δέον μεγαλοφρονῦντος· ἦν γὰρ ὁ Μεχμὲτ τῶν καθ᾽ ἑ ἐν τῇ δυτικῇ Ἀσίᾳ ὁ πρώτιςος· θυμῦ ἔμπλεως ἐπὶ τοσῦτον ἐγένετο, ὥςε καὶ δακρύσαι καὶ τρεῖς ἡμέρας ἀσιτῆσαι, καὶ τὸ ξίφος σπα-

σάμενον ἐπειπεῖν, ὃ μὴ ἐμβάλω τὅτο ἐς τὴν θήκην, πρὶν ἢ τὸν ὑβριςὴν τίσωμαι. Βαρυμηνιῶν γὖν ἐπὶ τότῳ, καὶ προτραπεὶς ἔτι, ὥς τινες θέλωσι, καὶ ὑπὸ τὖ καλίφη, ἐπικίνδυνον μέν οἱ τὸν Μεχμὲτ ὁρῶντος (ἐπιβεβυλεύκει γὰρ αὐτῷ) μὴ προορῶντος δὲ, οἷον δεινὸν γείτονα αὐτῷ ἐπισπῷτο ὁ ἄθλιος (1), ἐξῆλθεν ἐκ τῆς μεγάλης Ταταρίας

---

(1) Αὔξησαν τὴν δύναμιν τοῦ Μεχμὲτ ὁρῶν ὁ καλίφης, ὑποφθαλμιάζων, μειοῦν ἐκ παντὸς τρόπου ἐβούλετο καὶ διετείνετο· καὶ ὡς καλίφης, οἷ δῆθεν πρωτευόντως πάσας τὰς ἡγεμονίας ἀνηκούσας οἰόμενος, ἐπιςέλλει τῷ ἡγεμόνι τῆς Γάζνης, πόλεως ἐν τῷ ἀνατολικοβορείῳ τῆς Περσίας κειμένης, καθαιρῶν τὸν Μεχμὲτ, καὶ ἐκείνῳ τὴν ἡγεμονίαν αὐτοῦ βραβεύων. Νικήσας δ' ἔπειτα ὁ μπουχαρὸς, μᾶλλον δὲ ὁ χορασμηνὸς τὸν Γάζνης ἡγεμόνα, καὶ τὴν πόλιν Γάζναν ἑλὼν, καὶ τὰ γράμματα τοῦ καλίφη ἰδὼν ὀργῆς κατ' αὐτοῦ ἐμπίπλαται, καὶ ἀποτρέπει κατ' αὐτοῦ τὴν καθαίρεσιν, καὶ ἅρπαγα αὐτὸν τῆς καλιφείας ἑτέροις νομίμως ἀνηκούσης, τοῖς ἀλῆδαις, ἀναδείκνυσι, καὶ ὅπλοις ἐπικυροῦν τὰ ἀναδεικνύμενα βουλόμενος, πολυαρίθμῳ ςρατῷ ἐλαύνει ἐπὶ τὸν τῆς καλιφείας ἅρπαγα, ἀλλὰ διὰ μέγαν καὶ ἀσυνήθη χειμῶνα ἐμποδισθεὶς, ἐς τὸν ἕτερον ἐνιαυτὸν τὴν καθαίρεσιν ὑπερτίθησι, καθ' ὃν κωλύεται πάλιν, τῶν μογγούλων ἐφ' ὃ ἤδη ἐλαύνειν μελλόντων, οἵπερ Μπουχαρίαν καὶ Περσίαν δι' ὀλίγου καταςρεψάμενοι, οὐδ'

μετὰ ἑβδομήκοντα μυριάδων μαχίμων ἀνδρῶν, περὶ τὸν δέκατον ἔννατον ἐνιαυτὸν τῆς δεκάτης τρίτης ἑκατονταετηρίδος, καὶ μικρὰν καὶ μεγάλην Μπεχαρίαν κατεπλημμύρησε.

## Μεγίςη μάχη.

Παραγενόμενος ὢν ἐν Μπεχαρίᾳ ὁ Τζιγγησχὰν, αὐτίκα τῷ ἀλαζόνι Μεχμὲτ ἀντιπαρατάξαντί οἱ τεσσαράκοντα μυριάδας, συῤῥήγνυται καὶ συμπλέκεται καὶ ὅλην ἡμέραν μάχεται. Τῇ δ' ὑςεραίᾳ τῆς

---

αὐτοῦ τοῦ καλίφη ἐφείσαντο ἔπειτα, καὶ τὸ Μπαγδὰι ἑλόντες, ὅπου καὶ ἐν τοῖς πέριξ ὑπὲρ τὰς ἑκατὸν μυριάδαι κατοίκους κατέκτειναν, τὸν συβαρίτην καλίφην βοΐνῳ δέρματι ἐμπεριῤῥάψαντες, ἐν τοῖς ὁδοῖς τῆς αὐτοῦ μητροπόλεως συρδὴν περιαγαγόντες, οὕτως αἰσχίςως θανεῖν αὐτὸν τὸν θεοποιούμενον καὶ κεκαλυμμένον ἐξερχόμενον τῶν βασιλείων, ἐπὶ τῷ μὴ βλέπεσθαι ὑπὸ τοῦ λαοῦ ὡς δῆθεν ἀναξίου ὄντος, ἐποίησαν. Ὁρᾷς φίλε οἷα πάσχουσιν οἱ συβαρῖται; Ὁρᾷς εἰς οἷα τέλος ἡ περισπούδαςος τρυφὴ καταντᾷ τὸν ταλαίπωρον ἄνθρωπον; Οἶσθα τὴν αἰτίαν δι' ἣν τὸ δεινὸν ἀπροόρατον; Ἡ τρυφὴ πάσης προορατικῆς αἰσθήσεως ςερεῖ τὸν ταλαίπωρον ἄνθρωπον, ἐξορύττουσα τὰ τῆς ψυχῆς ὄμματα.

μεγάλης ταυτησὶ καὶ τῷ ὄντι μυριονέκρε μάχης, ἰδὼν ὁ Μεχμὲτ τὴν ςρατιὰν αὐτῦ ἐξ ἡμισείας σχεδὸν μειωθεῖσαν, ἐς φυγὴν τρέπεται, καί περ ὑπὸ τῦ ἀνδρείε αὐτῷ υἱῦ τῦ Ζελελαδὶν ἀποτρεπόμενος, καὶ ἐν νησίῳ τῆς Κασπίας ἀπόλλυται. Ο δὲ μογγῦλος ὑποτάξας ἐν ὀλίγῳ τὴν Μπεχαρίαν, καὶ ἐν Μπεχάρᾳ μεγάλῃ καὶ ὀλβίᾳ πόλει γενόμενος, καὶ οἰκοδομὴν μεγάλην καὶ μεγαλοπρεπῆ θεασάμενος, καὶ πυθόμενος ὅτι ναὸς Θεῦ εἴη ἦτος, ἐπιμειδιάσας τῷ λόγῳ, καὶ εἰσελθὼν ἔφιππος, καὶ ἀναβὰς ἐφ᾽ ὑψηλῦ τόπε, τὸ μὲν κοράνιον ἐν τοῖς ποσὶ τῦ ἵππε κατέῤῥιψεν, αὐτὸς δὲ, πολλὰ μὲν κατὰ τῆς ἀπιςίας καὶ δολιότητος τῦ Μεχμὲτ κατηρεύξατο, πολλὰ δὲ καὶ τὴν αὐτῦ πίςιν ἐπῆρε καὶ εἰλικρίνειαν. Χρόνῳ δ᾽ ὕςερον τὰ τῶν μωαμεθανῶν δόγματα περιεργότερον μαθεῖν βελόμενος, καὶ ἀκύσας ὅτι ἕκαςον μωαμεθανὸν ἀπαραιτήτως δέοι, κἂν ἅπαξ ἐπὶ ζωῆς, ἐς Μέκαν πορεύεσθαι, τὸν ἐκεῖ ἐξ ἐπιταγῆς τῦ Θεῦ κτισθέντα ναὸν προσκυνήσοντα, ἀλλ᾽ ἡ γῆ

πᾶσα, ἔφη, ἐχ ὁ τῷ ὄντι ναὸς Θεῦ τυγχάνει;

Ηδη δὲ ἔχων ὑφ᾽ ἑαυτὸν μικρὰν καὶ μεγάλην Μπεχαρίαν, αὐτὸς μὲν ἐπὶ μέσην ἡμέραν τρέπεται· Τυσσῆν δὲ τὸν πρῶτον υἱὸν αὐτῦ μετὰ δυνάμεως μεγάλης ἐπὶ τὸν ἀρχιβασιλέα τῶν κυμάνων σύμμαχον τῷ Μεχμὲτ γεγονότα, ἀπέςειλεν. Εισβαλὼν δ᾽ ὁ Τυσσῆς ἐς τὸ βόρειον ἐν δεξιᾷ ἔχων τὴν Κασπίαν θάλασσαν, καὶ ἀλανὺς καὶ ἑώςς μοαγγυόρυς δόλῳ καὶ βίᾳ καταςρεψάμενος, καὶ ἤδη πλησιάσας κυμάνοις, συμμάχυς καθ᾽ ἓ ἔχυσι ῥύσσυς, πρεσβείαν ἀποςέλλει τοῖς ῥύσσοις, ἀποσπάσασθαι τύτυς τῶν κυμάνων πειρώμενος, πέπραχε δὲ ὐδέν· ἤδη γὰρ καὶ οἱ ῥῦσσοι τὴν τῶν μογγύλων μεμαθήκεσαν δολιότητα, οἵπερ ὑποσχέσεσι μεγάλαις διαλύειν ἐπειρῶντο τὰς ἐπὶ σφᾶς συμμαχίας, τελῦντες δ᾽ ἔπειτα τὸ σκοπέμενον, τῶν σφετέρων λόγων ὐδένα ἐποιῦντο λόγον, ὥςπερ εἰ ὅλως ἐπελανθάνοντο. Ορμῶσι γῦν οἱ ῥῦσσοι μετὰ κυμάνων ἐπὶ τὺς μογγύλυς, τύτοις μαχεσόμενοι,

καὶ μάχης ἰσχυρᾶς γενομένης παρὰ τὸν Κάλκαν ῥύακα, τὸν ἐξ ἀριςερῶν τῷ Ταναΐσκῳ οὐ πόῤῥω Τανάϊδος ἐκδιδόντα, περὶ τὸν εἰκοςὸν δεύτερον ἐνιαυτὸν τῆς δεκάτης τρίτης ἑκατονταετηρίδος, ἡττῶνται κατὰ κράτος· ἦσαν δὲ οἱ μαχεσάμενοι ῥῶσοι καὶ κομάνοι περὶ τὰς ἑξκαίδεκα μυριάδας· οἱ δὲ μογγοῦλοι περὶ τὰς εἴκοσι μυριάδας. Ὁ δὲ μέγας δοὺξ Ἱεροσλαβίου μετὰ τεσσαράκοντα χιλιάδων ςρατοῦ διὰ ζηλοτυπίαν· οὐ γὰρ ἦν ἀρχιςράτηγος· θεατὴς μόνον τῆς μάχης γενόμενος, καὶ δόλῳ ἔπειτα τῶν ὅπλων γυμνωθεὶς, σύςρατος κατεσφάγη ὑπὸ τῶν μογγούλων. Οὕτω μὲν οὖν ὑπερτερήσαντες παρὰ τὸν Κάλκαν οἱ μογγοῦλοι, φόβου βοῤῥᾶν καὶ δύσιν ἐνέπλησαν. Μετὰ δὲ ταῦτα τίσασθαι τάχα τοὺς ῥώσσους βουλόμενοι, ἐπέδραμον τὴν χώραν αὐτῶν διὰ μέσου, καὶ ἐπὶ πολὺ πρὸς τὸ βόρειον ἵκοντο, πᾶν τὸ ὑπαντώμενον ἐμπιπράντες, φθείροντες, κτείνοντες, ἁρπάζοντες, μηδεμιᾶς φειδόμενοι ἡλικίας, καὶ ἐς τὰ πλησιόχωρα τοῦ Καυκάσου ὑπέςρεψαν.

Ταῦτα ἐν τῇ ἑῴᾳ Κεμανίᾳ γενόμενα, διετάραξαν καὶ ἐξέπληξαν ὅλως τὴν δυτικὴν Κεμανίαν, καὶ οἱ κάτοικοι αὐτῆς, τὰς μογγέλες κατοῤῥοδοῦντες, σφίσιν ἐπιπίπτοντας ἐφαντάζοντο· χαρὰ γὰρ καὶ λύπη, ἐλπὶς καὶ φόβος ἐς μέγαν βαθμὸν ἱκόμενα, καὶ ἐς βάθος ἐσδύντα τῆς ψυχῆς, δραςικωτάτην ποιοῦσι τὴν φαντασίαν, καὶ τὰ ἐννοούμενα μόνον, λανθάνοντα, ὥσπερ πράγματα πρὸ ὀφθαλμῶν ἐντυποῦνται, καὶ ζωγραφούμενα ἐν τῷ ἀέρι παρίςαται; καὶ ἐννοούμενα μόνον τυγχάνοντα. Ὁ ὀπαδὸς τοῦ Οδὶν, ἐν τῇ παλαιᾷ Σκανδιναβίᾳ, διαμπερὲς τῇ μαχαίρᾳ πληττόμενος, ἡρωϊκῷ θανάτῳ τὸ ζῆν κατέλειπε, σύντομον ὁδὸν πρὸς τὸν ἐν τῷ βαλχαλλᾷ (οὕτως ὠνομάζετο ὁ παράδεισος, ἐς ὃν μόνοι οἱ ἀνδρεῖοι ἐπορεύοντο μετὰ θάνατον.) κρείττω βίον τοῦτο ἡγούμενος. Οιει ἂν τοῦτον αὐτὸ ποιῆσαι, τὰ ἀρχεῖα τοῦ Οδὶν ἠνεῳγότα πρὸ αὐτοῦ μὴ ὁρῶντα, ὡς οἱ πληττόμενοι πρὸ τῆς πληγῆς ἀνέκραζον; Σκέπτου, φίλε, καὶ μάνθανε πραγμάτων διαςέλλειν φαντάσματα.

Περὶ τὰς δέκα τοίνυν χιλιάδας κεμάνοι καταλιμπάνεσι τὴν Ρεμενίαν, καὶ περαιενται τὸν Ἴςρον, καὶ κωλύοντας τὲς βεργάρες τρέπεσι, καὶ ζῶσιν ἀπὸ λῃςείας, ἄχρις ὃ ὁ αὐτοκράτωρ Ἰωάννης τῷ τῶν κωνςαντινεπολιτῶν ςρατῷ διεμοίρασεν. Ετεροι δὲ πάλιν τῷ τῶν λατίνων προσχωρεσι δόγματι, περὶ τὸν εἰκοςὸν ἔβδομον ἐνιαυτὸν τῆς δεκάτης τρίτης ἑκατονταετηρίδος, ἀρωγὴν ἐκεῖθεν ἐλπίζοντες, καὶ ἐπίσκοπος αὐτοῖς, ἀμέσως ὑπὸ τε πάππα ἐξηρτημένος, ἀποςέλλεται, καὶ πλῆθος κεμάνων μολδαβικῶν εἰς τὸ δόγμα τε πάππα βαπτίζεται, ὡς λέγεσιν, ἡμᾶς δὲ ε πάντοι πειθομένες ἔχεσι τοιαῦτα λέγοντες· ὅπε γὰρ περὶ τῶν προφανῶν ψευδόμενοι ἐλέγχονται, σχολῇγε ἂν περὶ τῶν ἄλλων ἀληθεύσειαν. Ο δὲ ἐπίσκοπος, τῶν μέχρις Ιαΐκ καὶ ἐπέκεινα ἐνομίζετο, ἦγεν παντὸς τε τόπε τῶν κεμάνων, καὶ ὡς ἴδιον κτῆμα γήδιον παρὰ τὸν ποταμὸν Σιρέτην ἐκέκτητο. Εοικε δὲ μεγίςης χώρας ἐπίσκοπος ὢν, μικροτάτε πάντη ποιμνίε ποιμὴν εἶναι· ε γὰρ ἂν αλ-

λως περιφρονήσεις τοσαύτας καὶ ἀντιςάσεις ὑπέςη, ὡς ἀσελγὴς καὶ ταραχοποιὸς καὶ τὰς τῆς ξενίας νόμας παραβαίνων, ὑπό τε τῶν αὐτοχθόνων ῥωμάνων, τῶν τῷ ἀνατολικῷ δόγματι ἄνωθεν ἐκ παλαιᾶ, ἀναποσπάςως προσκειμένων, καὶ ὑπὸ τῶν ἑβραίων καὶ μωαμεθανῶν, δηλονότι τῶν χαζάρων, καὶ ὑπὸ τῶν κεμάνων.

Ησαν μὲν ἄν σποράδην τᾶ λατινικᾶ δόγματος κεμάνοι, ὥσπερ καὶ τὰ νῦν βλέπομεν τὰς λεγομένας μοαγγυόρας, ἐπισκόπων δὲ καὶ ἱερέων ἠμοίρεν· οἱ δὲ τᾶ παλαιᾶ δόγματος ἀμφοῖν ηὐπόρεν, καὶ κεμάνοι λατῖνοι καὶ ἐθνικοὶ τὸ δόγμα αὐτῶν ἐνηγκαλίζοντο· ἀ μὴν ἀλλὰ καὶ πολλοὶ μοαγγυάροι καὶ σάξοι, ἔκ τε τᾶ τεμεσβαρικᾶ Μπανὰτ καὶ Αρδὲλ μετοικᾶντες ἐς τὸν Ρεμανικὸν ἀγρὸν καὶ ἐς τὴν Μολδόβαν, τὸ αὐτὸ ἔπραττον, καὶ τὸν πάππαν λυσσᾶν ἄτως ἐποίεν, τὸν ἀ τὰς ὀπαδὰς τᾶ Χριςᾶ αὐξῆσαι προθυμάμενον, ἀλλ' ὑπηκόας ἑαυτῷ ποιεῖν ἐφιέμενον, καὶ τὴν παππικὴν ἀρχὴν ἐκτείνειν πανταχῆ διατεινόμενον.

Αποςέλλει γῦν περὶ τέτε ἐς Μοαγγυορίαν, καὶ ὁ ἀπεςαλμένος πείθει τὸν διάδοχον Βήλαν, τὲς τε μωαμεθανὲς καὶ Ἰεδαίες χαζάρες καὶ κεμάνες, καὶ πάντας τὲς ἀνατολικὲς, ὃς σχισματικὲς ὁ τῷ ὄντι ἀπεσχισμένος τῆς παλαιᾶς ἐκκλησίας, ἀνόμαζεν, ἐς τὸ τῦ πάππα δόγμα βιάσασθαι, καὶ ὑπέσχετο ὅρκῳ ὁ διάδοχος. Αλλὰ γὰρ, ἀναχωρήσαντος τῦ παπικῦ ἀπεςαλμένε, ὁ Βήλας μικρὰ ὑποσχέσεων ἐφρόντιξε, καί περ ὁ πολὺ ὕςερον βασιλεύσας καὶ ἐκςρατεύειν ἐπὶ τέτῳ δυνάμενος. Εν τέτῳ τῷ χρόνῳ προσδιορίσαι τις ἔχει καὶ ςῆσαι τὴν ἀρχὴν τῶν σωζομένων μέχρι τῦ νῦν ἐν τῷ Ρεμενικῷ ἀγρῷ καὶ ἐν τῇ Μολδόβῃ Μοαγγυόρων ἢ τζέκλερ· πολλοὶ δὲ καὶ ἄλλοι κεμάνων, τατάρων καὶ βοεβόδων, αἰχμάλωτοι, τινὲς δὲ καὶ ἐν τῷ ἐμφυλίῳ πολέμῳ τῦ Αρδὲλ, ἱδρύθησαν ἐνταῦθα· καὶ μέχρι τῦ νῦν ἔτι τζέκλερ μετοικῦσι διὰ τὸ εὐρυχωρότερον.

Τὰ μὲν ὖν τῆς Ρεμενίας, τόγε νῦν ἔχον, ἥσυχά πως ἦν καὶ ἀθόρυβα, καὶ τῶν

μογγέλων οἱ οἰκήτορες ἐπιλανθάνεσθαι ἤρχοντο καὶ ἐκπλαγεῖς καὶ περιδεεῖς εἶναι, ἤδη παύεσθαι ἤρχοντο· ὅ, τε βασιλεὺς τῶν κυμάνων ἐν τῇ ἑῴᾳ ὑπὲρ Βόλγαν Κυμανίᾳ ἐσῴζετο, ἱκανὴν ἀντίςασιν τοῖς ἐχθροῖς ποιησάμενος. Ἀλλὰ γὰρ Οκταῆς ὁ μέγας χάνης τῶν μογγέλων, εἰρήνην μετὰ τῶν μεσημβρινῶν σιναίων ποιήσας, ὡς ἐδεὶς ἕτερος πώποτε, ἑκατὸν πεντήκοντα μυριάδας ἀνδρῶν μαχίμων ἐςρατολόγησεν, ἵνα τὰ ὑπόλοιπα μέρη τῆς οἰκεμένης, ἑῷά τε καὶ δυτικὰ, βόρειά τε καὶ μεσημβρινὰ ὑπήκοα ποιήσαιτο. Ουτω τοίνυν, ὡς ὁ σοφὸς Δεγγίνης παρατηρεῖ, τῆς Σίνης πρὸς ὥραν ἠρεμέσης, ὁ μέγιςος κλύδων πολιτικὸς, τῷ δυτικῷ τῆς οἰκεμένης ἐκραγήσεσθαι ἔμελλε.

Τῷ Τζιγγησχὰν παῖδες γίνονται, ἐκ τῆς μογγέλης αὐτῷ γυναικὸς, τέσσαρες, Τυσσῆς, Οκταῆς, Τζαγατάης καὶ Τυλλῆς. Αποθνήσκειν δὲ μέλλων, Τυσσῆ ἔ πρὸ πολλε μετηλλαχότος τὸν βίον ἤδη, καὶ τὸν θάνατον τε πατρὸς ποθἔντος ἄγαν, επι-

ταχύνωντος, διατάττει τὸν μέγαν χάνην ἐκ τῶν τεσσάρων ὁμομητρίων καὶ ἐκ τῶν ἀπογόνων αὐτοῖς ψηφίζεσθαι, ἐκτὸς τȣ̃ μεθ᾽ ȣ̃ χάνη. Διαταγὴ αὕτη φρόνησιν καὶ σύνεσιν πολιτικὴν δεικνύȣσα· οἱ γὰρ ἑτερομήτριοι, ἑτερογνώμονες, ἑτερόῤῥεπεῖς καὶ ϛασιώδεις, ὡς ἐπὶ τὸ πλεῖϛον, τυγχάνȣσιν. Ἀποκλῆροι γȣ̃ν τῆς ἀνωτάτω ἀρχῆς τȣ̀ς ἐξ ἑτέρων οἳ γεγενημένȣς παῖδας, καὶ ἀποθνήσκων Οκταῒν ἀνεῖπεν αὐτȣ̃ διάδοχον.

## Μ π α τ ȣ̃.

Τριάκοντα μυριάδας ἐκ τȣ́τȣ τȣ̃ ϛρατολογηθέντος νέȣ ϛρατȣ̃, ἄγει ὁ περίφημος Μπατȣ̃ χάνης, ἐν ἀριϛερᾷ ἔχων τὴν Κασπίαν, ἐπὶ τὸ Καπσχάτκ, ὅ ἐϛιν ἐπὶ τὴν Κȣμανίαν, καὶ νικᾷ κατὰ κράτος Κȣθὲν τὸν ἀρχιβασιλέα τῶν κȣμάνων, καὶ πᾶσαν ἀναλήψεως αὐτὸν ἀφαιρεῖται ἐλπίδα. Ἀπογνȣ̀ς δὲ παντάπασι τῶν ὅλων ὁ Κȣθὲν, ἐς Μοαγγυαρίαν μετὰ πεντήκοντα χιλιάδων οἰκαρχιῶν, ἢ μᾶλλον σκηναρχιῶν, διασώ-

ζεται, σύξιμον τόπον τὸν βασιλέα τῶν μοαγγυόρων αἰτήσων, τὴν ἡγεμονίαν καὶ τὴν Ֆρησκείαν αὐτῶ δέξεσθαι ὑπισχνύμενος. Βασιλεὺς δὲ Βήλας μεγάλως ἐπὶ τύτῳ ἡσθεὶς, τὸν ἐπικείμενόν οἱ καὶ ὅσον ὄπω ἐκραγησόμενον κλύδωνα προορῶν, τοῖς μεγιςάσιν ἀνακοινῦται τῦ Κυθὲν τὴν αἴτησιν. Μεγαλύνειν δὲ τὸ πρᾶγμα παρὰ τοῖς μοαγγυόροις βυλόμενος, ἐς τὰς ἄκρας τῆς Μοαγγυορίας ἐξέρχεται, τὸν δυνατὸν σύμμαχον καὶ ξένον ὑποδεξόμενος. Ικομένοις ὖν ἐς Μοαγγυορίαν τοῖς κυμάνοις, μεγάλη φιλοφροσύνη παρὰ τῦ βασιλέως φίλα φρονῦντος καὶ πράττοντος γίνεται· χώραν γὰρ αὐτοῖς ἐπεκλήρωσε καλλίςην, εἴσοδον δὲ πρὸς ἑαυτὸν καὶ τῷ τυχόντι κυμάνῳ πάντη ἐλευθέραν ἐπέτρεψεν, ὥςε καὶ τὺς μοαγγυόρυς, ὡς ἐν δευτέρῳ λόγῳ τιθεμένυς, ἐπὶ φθόνον ἐγείρεσθαι.

Ἀλλὰ γὰρ Νεμέσεως ὁ δεξιῶς καὶ τὰ μοαγγυόρων καὶ τὰ κυμάνων βλεπύσης, αἱ χρηςαὶ ἐλπίδες τῦ βασιλέως αὐτίκα ᾤχοντο. Καλὸν μὲν ὁμόνοια, καὶ μυρίων ἀγαθῶν

πρόξενος· ἀλλὰ κινδυνεύομεν καὶ ταύτην, ὥσπερ καὶ τὴν παρθένον δίκην, πρὸ ἑκατονταετηρίδων πολλῶν ἤδη χαίρειν εἰποῦσαν τῷ κόσμῳ, καὶ ἐξαστερισθεῖσαν, ἐν τῷ ὀρανῷ πȣ ἀναζητεῖν. Τὸ τῆς κτηματικότητος δίκαιον ἱερὸν, κρείσσονός τινος καταςάσεως ὑπερανθρώπινον σχεδὸν ἔσης, καὶ τὸ ἀλλότριον ἀνέπαφον μένειν, ἅγιον· ἀλλ' οἱ ἄνθρωποι καταποικίλλοντες καὶ πολλαπλασιάζοντες περιττῶς μάλα καὶ παρὰ λόγον, καὶ ἐν ταῖς πολιτείαις νόμοις τὸν ὀρθὸν λόγον βάσιν τὰ πολλὰ μὴ ἔχουσι, χρώμενοι, τοῦ τέλους τῶν πολιτειῶν ἀποτυγχάνουσι. Καὶ οἱ μοαγγοῦροι καὶ κουμάνοι διὰ τὸ ἑτερόηθες, ἑτερόνομόντε καὶ ἑτερόθρησκον, διάφοροι ἐν πολλοῖς, εἰ μὴ ἐν πᾶσι, τυγχάνοντες, αὐτίκα ἐξεπολεμώθησαν, τῶν μὲν, ἀσελγέςερον, τῶν δὲ, ἀπολιτικώτερον φερομένων· τάς τε θυγατέρας καὶ τὰς γυναῖκας τῶν μοαγγούρων βλέποντες οἱ κουμάνοι, ἀφυλακτικώτερον καὶ ἐλευθερώτερον πρὸς ταύτας φέρεσθαι ἤρχοντο, τὸ πρᾶγμα πάμπαν οἰόμενοι

ἀδιάφορον· ὃ γὰρ τοῖς μοαγγύδροις κακὸν ἐδόκει νόμῳ, τȣτο τοῖς κȣμάνοις ἐδόκει κάλλιϛον, νόμῳ πάλιν. Ἔριδες γȣν ἐντεῦθεν καὶ ϛάσεις, καὶ ὁ ἐκ τȣτων ἐκραγεὶς ȣ̓κ ἐμφύλιος, ἀλλ' ἐμφίλιος ἢ ἐγξένιος πόλεμος, ὃς ἐμφυλίȣ ȣ̓χ ἧττον ὑπάρχει σκληρὸς καὶ ὀλέθριος.

Μή σε, φίλε ἀναγνῶϛα, τὸ πρᾶγμα κινείτω ἐς ἀγανάκτησιν, μηδὲ δυσχέραινε, μηδὲ χαλέπαινε ἐπὶ τȣ́τῳ· ȣ̓ γὰρ πᾶσιν ἀνθρώποις ὁμοίως τὰ καλὰ καὶ κακὰ νενόμιϛαι καὶ διῄρηται. Ἰδȣ̀ σοι καὶ ἕτερα παραδείγματα. Τοὶ δὲ σκύθαι, καλὸν νομίζοντι, ὃς ἄνδρα κτανὼν, ἐκδείρας τὰν κεφαλὰν, τὸ μὲν, κόσμον πρὸ τȣ̃ ἵππȣ φορεῖ, τὸ δ' ὀϛέον χρυσώσας καὶ ἀργυρώσας, πίνει ἐξ αὐτȣ̃ καὶ σπένδει τοῖς θεοῖς· ἐν δὲ τοῖς Ἕλλασι ȣ̓δὲκ' ἐς τὰν αὐτὰν οἰκίαν σύνελθεῖν βȣ́λοιτ' ἄν τις τοιαῦτα ποιήσαντι. Μασσαγέται τὼς γονέας κατακόψαντες (ἐπεὰν γέρων τις κάρτα γένηται, ὡς φησιν Ἡρόδοτος), κατεσθίοντι, καὶ τάφος κάλλιϛος δοκεῖ ἧμεν ἐν τοῖς τέκνοις τεθάφθαι· ἐν

δὲ τῇ Ἑλλάδι, ἄν τις ταῦτα ποιήσῃ, ἐξελαθεὶς ἐκ τῆς Ἑλλάδος, κακὰ ἀποθάνῃ, ὡς αἰσχρὰ καὶ δεινὰ ποιέων. Τοὶ δὲ πέρσαι, κοσμεῖσθαί τε, ὥσπερ τὰς γυναῖκας καὶ τὼς ἄνδρας, καλὸν νομίζοντι, καὶ τᾷ θυγατρὶ καὶ τᾷ ματρὶ καὶ τᾷ ἀδελφᾷ συνίμεν· τοὶ δὲ ἕλλανες καὶ αἰσχρὰ καὶ παράνομα! Λυδοῖς τὰς κόρας πορνευθείσας, καὶ ἀργύριον ἐνεργήσασθαι καὶ οὕτω γάμασθαι, καλὸν δοκεῖ ἦμεν· ἐνδὲ τοῖς ἕλλασι ὐδείς κε θέλει γαμᾶν. Μακεδόσι καλὸν δοκεῖ ἦμεν, τὰς κόρας πρὶν ἀνδρὶ γάμασθαι, ἐρᾶσθαί τε καὶ ἀνδρὶ συγγίνεσθαι, ἐπεὶ δὲ καὶ γαμεῖται, αἰσχρόν· ἕλλασι δ' ἄμφω αἰσχρόν.

Ἀνάγνωθι τὸν Ἡρόδοτον, τὸν μέγαν διδάσκαλον τῆς ἱϛορίας Πολύβιον, τὸν Στράβωνα, τὸν Παυσανίαν, ὃς αἰσχύνη σοι πολλὴ μὴ ἀναγνόντι καὶ περὶ τὴν ἑλληνικὴν γλῶσσαν σπȣδάσαι λέγοντι, ἔτι δὲ περιηγήσεις καὶ ἱϛορίας νεωτέρων, καὶ ὄψει τȣ̀ς ἀνθρώπȣς πολλάκις σεβομένȣς καὶ ἱερὰ οἰομένȣς καὶ τὰ ἐκ διαμέτρȣ παντάπασιν

ἀντικείμενα· καὶ συνήθεια καὶ ἀσυνήθεια, τὰ πολλὰ τὸ πᾶν ἐνταῦθα, καὶ ὀδὲν ἕτερον. Λαμᾶν, ἄκρον ἡγεμόνα καὶ ἄκρον ἀρχιερέα, καὶ ὡς θεὸν γεραιρόμενον τοῖς τῦ Θιβὲτ οἰκήτορσιν, αὐτόν τε καὶ τὰς ἡγεμονικὰς ὑπηρέτας ἅπαντας πολιτικὰς καὶ πολεμικὰς, ἀγαμίαν δημοσίᾳ ἐπαγγειλαμένους, ἐν ταύτῃ δεῖ, τῷ δοκῦντι γε, ἐμμένειν ἐς πάντα τὸν βίον. Δάϊρον δὲ τὸν τὰ πνευματικὰ τῶν Ἰαπονῶν ἀναδεδεγμένον, καὶ ὡς θεὸν καὶ τῦτον γεραιρόμενον, δώδεκα δεῖ γυναῖκας δημοσίᾳ νυμφεύεσθαι· παρ' αὐτὰς δὲ, ὡς ἄκρῳ ἀρχιερεῖ, ἔξεςιν αὐτῷ καὶ ὅλοις τάγμασι παλλακίδων μίγνυσθαι καταλαγνεύοντα καὶ καταπορνεύοντα. Ἦσαν ποτὲ ἐν τῇ μήπω χριςιανῇ Ἑλλάδι ἀφωσιωμέναι οἰκοδομὰι ἱερῶν σωμάτων ἐς οἴκησιν· ἦσαν καὶ ἐν τῇ χριςιανῇ, καὶ εἰσιν ἔτι παραπλήσιαι· ἑκάτεραι κἀκεῖναι καὶ αὗται πλεσίων ἀνδρῶν καὶ γυναικῶν περὶ τὰ θεῖα σπεδαζόντων ἀναθήματα· κἀνταῦθα κἀκεῖ, θεοσέβεια καὶ θεαρέσκεια κοινὸν σκοπέμενον, καὶ τῶν ἀναθέντων καὶ

των τὰ ἀναθήματα οἰκȣσῶν· ἀλλ' ὁ τρόπος τȣ͂ θεαρεσκεῖν καὶ θεοσεβεῖν, θεμιτὸς ἑκατέραις ὤν, καὶ θεάρεςος ἐξ ἴσȣ καὶ θεοφιλὴς δοκῶν, ἐκ διαμέτρȣ ἦν ἀντικείμενος, καὶ ἑκάτεραι καὶ ἀντικείμενα πάντῃ ἀλλήλαις πράττȣσαι, φίλα θεῷ ποιεῖν, καὶ θεαρεςεῖν ἐπ' αὐτοῖς τȣ́τοις ᾤοντο· καὶ ἐς χρηματισμὸν ἔπειτα παρὰ τὸν σκοπὸν τῶν ἀναθημάτων ἄμφω ἐξοκείλασαι, τρυφᾶν ἐν ἀεργίᾳ βȣλόμεναι, ὑπὸ μομφὴν ἐπὶ τοῖς ὁμοίοις ἐγένοντο· καὶ τὸ ἐλεήμων, ᾧ σὺ παίζεις ἐνίοτε φίλε, ὡς τετριμμένῳ νῦν, σπȣδῇ παλαιοτάτῃ ἐτύγχανεν. Ειτις σοι ἀπορία, φίλε, ἀνάγνωθι τὸν Στράβωνα καὶ ὄψει σαφέςερον. Μυρία σοι παραπλήσια παραδείγματα, καὶ ȣ̉δὲν ἐναγὲς, ȣ̉δὲν ἀνόσιον, ȣ̉δὲν ἀπάνθρωπον, καὶ ἀποτρόπαιον καὶ βδελυκτέον καὶ ςυγητέον διὰ τȣ͂το, ἀνοσίωτον καὶ ἀνιέρωτον οἱ ἄνθρωποι εἴασαν, ἀπατώμενοι πάντως καὶ τȣ͂ ὀρθȣ͂ λόγȣ, ὃν ὡς ἰθυντήριον παντὸς ἡμῶν τȣ͂ βίȣ ὁ δημιȣργὸς ἡμῖν ἐνεκόλαψε, παρεκτρεπόμενοι. Οικτειρε τοίνυν τὰ τῶν ἀνθρώ-

πων μᾶλλον ἢ ἐπὶ τούτοις χαλέπαινε. Εἰ δὲ δεῖ πάντως καὶ χαλεπαίνειν καὶ ὀργίζεσθαι, κατὰ γελοίων καὶ βαρβάρων διαταγῶν ἡ ὀργὴ καὶ ἡ χαλέπανσις ἀνεστράφθωσάν σοι καὶ ἐκκεκενώσθωσαν.

Η ἀρχὴ τῶν κουμάνων, ἡ παρὰ τῶν ἀσιανῶν Καπτσχὰκ ὀνομαζομένη, ἤρχετο ἀπὸ τοῦ Ολτου, μᾶλλον δὲ ἀπὸ τῶν δυτικῶν ὁρίων τῆς Κραϊοβικῆς, καὶ διῆκε μέχρις Ιαΐκ καὶ ἐπέκεινα μέχρι τῶν Ελεύτερ, καὶ ἐς μικρὰν καὶ μεγάλην διῃρεῖτο Κουμανίαν. Ημὲν μικρὰ Κουμανία περιεῖχε τὸν Ρουμουνικὸν ἀγρὸν, τὴν Μολδόβαν καὶ τὰ μεσημβρινὰ τῆς Ρουσσίας μέχρι Ταναΐδος· τὰ δὲ πέραν Ταναΐδος καὶ Βόλγα καὶ Ιαΐκ ἡ μεγάλη ἦν Κουμανία. Αλλὰ μὴ οἴου τὴν ἔκτασιν ταύτην καὶ τὰ ὅρια ἐπὶ πολὺ στάσιμα διαμένοντα· θεώρει δὲ ταῦτα ταλαντευόμενα, ὡς ἀστατοῦσαι πλάστιγγες, καὶ νῦν μὲν ἐκτεινόμενα, νῦν δὲ συστελλόμενα· ὅπου γὰρ καὶ νῦν εἶδες τὴν θρυλλουμένην καὶ διαιωνίζειν τρόπον τινὰ δοκοῦσαν ἰσοσταθμίαν τῆς Ευρώπης καταπληγεῖσαν καὶ ἀστατοῦσαν

διὰ τῦτο, καὶ κατακλουθμένην ἐπὶ πολὺ, σχολῇ γε ἂν κρεῖσσόν τι ἐν ἐκείνοις τοῖς χρόνοις ἰδεῖν δυνηθείης. Πόλεις δὲ δι᾽ ἐμπορίαν ἦσαν ὀνομαςαὶ, ἡ Τάνα, τὸ νῦν Ἄζάκιον, ἡ Ταναῒς τῶν παλαιῶν, ἡ ἐν ἀρχῇ τῆς δωδεκάτης ἑκατονταετηρίδος ὑπὸ τῶν ῥώσσων κατασκαφεῖσα. Τάρκα, τὸ νῦν Ἀςραχὰν, τὸ ὑπὸ τῶν μογγέλων, ἐν τῷ εἰκοςῷ τετάρτῳ ἐνιαυτῷ τῆς δεκάτης τρίτης ἑκατονταετηρίδος, ἀλῦν. Σαρὰτ, πέραν τῦ Βόλγα, ὅπε καὶ τὰ βασίλεια τῦ Κυθὲν ἦν· καὶ ἡ Κασπία θάλασσα, θάλασσα τῦ Σαρὰτ ὠνομάζετο. Ἑάλω καὶ αὕτη νῦν ὑπὸ τῶν μογγέλων.

Μπατῦ μὲν ὖν τὴν μεγάλην Κυμανίαν τὴν πέραν τῦ Βόλγα καταςρεψάμενος· τὰ γὰρ ἐντὸς τῦ Βόλγα ἤδη πρότερον κατέςραπτο, καὶ ἐκτίλας ὕτω τὰς ῥίζας τῆς κυμανικῆς δυνάμεως, καὶ τῶν βυργάρων, ὑποχειρίων ἤδη ὄντων, καὶ τῆς μητροπόλεως αὐτῶν ἑαλωκυίας ἤδη, πόλεως ἀξιολόγυ διὰ τὴν ὀχυρότητα, κειμένης ἐν τῷ ὖ πάνυ τοι κατωτέρω τῦ Καζὰν ςόματι τῦ Κάμα πο-

ταμȣ, τρέπεται εἰς τὰ ἐνδότερα, ἐπιτρέχων ἀπὸ τῆς ἔω τὴν Ρȣσίαν. Αὕτη δευτέρα ἐς τὴν Ρȣσσίαν ἐσβολὴ τῶν μογγόλων, ἐν ᾗ καὶ μέχρι τῶν πλησιοχώρων τȣ̃ μεγάλȣ Ναβογορὸδ ἀφικόμενοι, καὶ τὴν Μόσχαν καὶ πολλὰς ἄλλας πόλεις ἀποτεφρώσαντες, καὶ ἀνθρωποκτονίαν ὅτι πλείστην οἱ βάρβαροι ἐργασάμενοι βαρβαρότατα, καὶ πᾶνθ' ὅσα συνεπάγεσθαι ȣ̓κ ἐβέλοντο ἢ ȣ̓κ ἐδύναντο, ἀπολλύντες, ἀνεχώρησαν. Εν ταύτῃ τῇ λυσσεπιδρομῇ Κοσέλσκον οἱ βάρβαροι ἐνδοξοτάτην πόλιν, ἀξίαν μνήμης ἡμῖν, εἴπέρ τις ἄλλη, διὰ τὴν ἀνδρίαν καὶ εὐγένειαν καὶ μεγαλοφροσύνην τῶν κατοίκων, πολιορκȣ̃σι. Ουτοι γὰρ τȣ̃ τῶν ἀειμνήστων ξανθίων, καυνίων καὶ σαγεντίων ἡρωισμȣ̃ μὴ ἀπολειπόμενοι, τὸν μετ' ἀθανάτȣ δόξης λαμπρὸν καὶ κάλλιστον θάνατον εἵλοντο, ἀνδρείως ὑπὲρ πατρίδος ἀμυνάμενοι, καὶ πολλὰς χιλιάδας βαρβάρων ἀποκτείναντες, μαχόμενοι τὴν καλλίστην μάχην, καὶ κάλλιστον ἑτέροις παράδειγμα παρεχόμενοι. Οι δὲ βάρβαροι κατασκάψαντες ἔπειτα τὴν

πόλιν; καὶ κακὴν πόλιν, ὡς κάκιςα παθόντες, τὴν καλλίςην καὶ πολλῶν ἐπαίνων ἀξίαν πόλιν, ὀνομάσαντες, εἰς τὰ κάτω παραβόλγια ἐπανέκαμψαν.

Τῷ δ' ἐφεξῆς ἐνιαυτῷ ὁ Μπατȣ χάνης τῇ μεσημβρινῇ Ρȣσσίᾳ ἐπελαύνει, καὶ οἱ μογγȣ̃λοι ἧττον τηνικαῦτα φονομανȣ̃σιν, ὡς ταπεινώσαντες ἤδη ἅλις τὴν χώραν ταῖς προτέραις αὐτῶν λυσσεπιδρομαῖς, καὶ ἤδη ἐπιτηδείαν, ὡς ἀπειρηκυῖαν, ὑπήκοον γενέσθαι τῷ μεγάλῳ χάνῃ ἀπεργασάμενοι. Ὑποχείρια δὲ τὰ ἐῶα τȣ̃ Κιοβίȣ ποιήσας, ὁ Μπατȣ̃, μετὰ δυνάμεως μεγάλης, ἐν μέσῳ χειμῶνος, τολμηρότερος καὶ εὐτυχέςερος πολλῶν ἄλλων, περιφρονῶν καὶ τὴν τȣ̃ χειμῶνος ἀγριότητα, πρὸ ταύτης τῆς μεγάλης πόλεως παραγίνεται. Στησάμενος δὲ τὰς πολιορκητικὰς μηχανὰς καὶ ἑλὼν ταύτην καὶ φιλικῶς χρησάμενος, καὶ ὑπήκοον ποιήσας τῷ Οκταΐ, χωρεῖ πρὸς τὸ δυτικώτερον, προπέμπων ἀγγέλȣς τοῖς ἔθνεσι, τὴν παράδοσιν καὶ ὑποταγὴν αὐτῶν τῷ μεγάλῳ χάνῃ ἀπαιτήσοντας, ὡς μόνῳ θεύ-

θεν ἐπὶ γῆς βασιλεύειν ἐπιτετραμμένῳ, καὶ ὃαὶ τοῖς ἀνανεύειν καὶ μὴ δέχεσθαι τὰ κελευόμενα τολμῶσιν, ὃς ὡς ἀποστάτας οἱ μογγὸλοι ἐνόμιζον. Χωρεῖ τοίνυν πρὸς τὸ δυτικὸν, καὶ λεηλατήσας Πόλωνιαν, Σιλεζίαν, Μοραβίαν, ἐμπίπτει μετὰ πεντήκοντα μυριάδων στρατοῦ εἰς τὴν Μοαγγυορίαν, ἐκ Γαλίτζης, Πόλσκης, Σιλεζίας, Μοραβίας καὶ ἐκ τοῦ βορείου τῆς Μολδάβης, λυσσοφονῶν πάντα τὰ προστυχόντα, ἐπειδὴ ὁ βασιλεὺς τῶν μοαγγυόρων ὑποταγῆναι τῷ μεγάλῳ χάνῃ οὐκ ἠθέλησε, καὶ ἀνειπεῖν ὑπήκοον τῷ Οκταῇ τὴν χώραν αὐτοῦ, ἀπηνήνατο. Τοῦτο τοῖς μογγόλοις θρησκομανίαν πολιτικὴν νοσοῦσιν, ἡ μεγίστη καὶ μεγίστης ποινῆς ἀσέβεια ἐνομίζετο.

Ο δὲ ἄθλιος Βήλας τὸν ἐκραγέντα καὶ ἐπσκήψαντά οἱ λαῦρον κλύδωνα ἀποτρέψαι καὶ ἀποκροῦσαι μὴ δυνηθεὶς, καὶ πάσῃ πάντῃ ἀπογνοὺς ἀντιστάσεως, φυγῇ ἐξωνεῖται τὴν σωτηρίαν, καὶ τοῖς ὑπηκόοις τὸ αὐτὸ ἐπέταξεν, φεύγειν ἕκαστον ὅποι καὶ ὅπως βούλοιτό τε καὶ δύναιτο. Φεύγει τοί

νυν καὶ ὅτος καὶ ἐν τοῖς παραλίοις τȣ̃ ἀδριατικȣ̃ κόλπȣ πνευςιῶν παραγίνεται, καὶ ἐδ' αὐτȣ̃ φύξιμον χωρίον εὑρὼν, ἐς νῆσον τινὰ τῶν προκειμένων τῆς παραλίας περαιȣ̃ται καὶ ἐκεῖ διασώζεται· ἴλαι γὰρ μογγȣ́λων ζωγρῆσαι τȣ̃τον ἐπιταχθεῖσαι, μέχρι τῆς παραλίας ταύτης λυσσοδιώκȣσι· ἀποτυχȣ̃σαι δὲ τȣ̃ Βήλα, τὰς παραλίας ἐκπορθȣ̃σι καὶ πυρπολȣ̃σι πόλεις, ἐξ ὧν ἦν καὶ τὸ Κάταρον, καὶ ἀναςρέφȣσι πρὸς τὸν χάνην, λυμαινόμεναι τὸ πᾶν καὶ ληΐζȣσαι.

Ἡ δὲ μογγȣλικὴ μοῖρα, ἡ διὰ τȣ̃ βορείȣ τῆς Μολδόβης, διὰ τῶν προσχώρων τῆς Σȣτζιάβης ἐς τὸ Ἀρδέλιον εἰσφρήσασα, ἐμφανεῖσα αἰφνιδίως τῇ Ῥόδνῃ, ὀρεινῷ πολιχνίῳ ὑπὸ πολλῶν καὶ ἀνδρείων ῥȣμένων κατοικȣμένῳ, ἀντίςασιν ȣ̓ μικρὰν εὑρȣ̃σα, ὀπισθοδρομεῖ μηδὲν ἀνύσασα, καὶ ὑποςρέφειν τάχα μηδέποτε μέλλειν δείκνυσιν· οἱ δὲ ῥȣμȣ̃νοι ὑπερησθέντες ἐπὶ τȣ́τῳ, καὶ παντὸς κινδύνȣ ἔξω εἶναι ὑποτοπάσαντες, καὶ περὶ συμπόσια σπȣδάζοντες, ἔλαθον ἰδόντες ἑαυτȣ̀ς ὑπὸ μογγȣ́λȣς, ἐξ ἀπροόπτȣ

σφίσιν ἐπιτεθέντας ἐν Ῥόδνῃ. Κλίνουσι γοῦν τὸν αὐχένα οἱ βέλτιστοι ἡμῶν ῥωμαῖοι, καὶ θύειν Διονύσῳ ἐν τοιούτοις καιροῖς ἀφροσύνην εἶναι μαθόντες, ἑξακόσιοι ἐξ αὐτῶν ὑπὸ τὰς μογγουλικὰς σημαίας στρατεύειν ἀναγκάζονται, καὶ πολλὰ τοῖς μογγούλοις ἐς τὴν ἐν τῷ Γύλα Οραδιεμάρε λυσιτελοῦσιν ἅλωσιν.

Οι μογγοῦλοι ἐν τῷ μέσῳ τῆς Ευρώπης μένοντες, λυσσῶσι κατὰ τῶν μοαγυόρων, τὴν ἀρχηγεμονίαν τοῦ μεγάλου χάνη γνωρίσαι μὴ βουληθέντων, καὶ πᾶντας ἀνηλεῶς καὶ ἀπανθρώπως τοὺς συναντωμένους σφίσι κατασφάζουσι, μηδεμιᾶς φειδόμενοι ἡλικίας, θρησκομανοῦντες κατὰ τῶν ἀθετούντων τοῦ μεγάλου χάνη τὴν μονοκρατίαν, ὥς περ καὶ ἄλλους βλέπομεν τοὺς ἀρτιτόκων βρεφῶν μὴ φειδομένους, ἀλλὰ διὰ παρόμοιον αἴσχιστον εἴδωλον, πυρὶ παραδίδοσθαι βαρβαρώτατα ἐπιτάττοντας. Παραπλήσια δὲ καὶ τὴν λοιπὴν Ευρώπην οἱ μογγοῦλοι ποιήσειν ἔμελλον κακὰ, ἐπιδεξίῳ ὁρμητηρίῳ τῇ χώρᾳ χρώμενοι· κἀντεῦθεν ὡς ἀφ' ἑστίας

σφοδρότατα διαπύρε, ῥοιζηδὸν φερόμεναι αἱ κατεμπρηςικαὶ ἀκτῖνες, καὶ πολλαχῆ τῆς Εὐρώπης προσβάλλεσαι, πυρπολῆσαι καὶ κατεμπρῆσαι πάντως τὰ πᾶντα ἔμελλον. Ἀλλὰ γὰρ ἱπποδρομέως ἔωθεν ἐλθόντος, ἀπροσδοκήτως, ἀγαθῇ τύχῃ τῆς Εὐρώπης, τὴν χώραν καταλιμπάνεσι, καὶ ἐπὶ τῶν ἑώων ἀπαίρεσι· καὶ ἐπιςρέφοντες λεηλατεσι Μπόσναν, Σερβίαν, Βεργαρίαν, Ρεμενίαν, καὶ, ἑνὶ λόγῳ, τὰ καθ' ὁδὸν ἅπαντα.

Ὁ δὲ βασιλεὺς τῶν μοαγγυόρων ὑποςρέψας ἔπειτα, λύκων καὶ ἑτέρων σαρκοφάγων θηρίων πλήθεσαν τὴν Μοαγγυορίαν κατέλαβεν, ἅπερ τὰ τῶν κατεσφαγμένων μοαγγυόρων ἄταφα πτώματα, βορὰν ἀκίνδυνον ἐκ περιεσίας χορηγεντα, ἐς αὐτὴν ἐφείλκυε. Προςεθεισθω καὶ τὰ ἐφεξῆς δύο ἀπὸ πολλῶν, πολιτικῆς θρησκομανίας καὶ βαρβαρότητος παραδείγματα. Νέαι μοαγγυόραι τῶν ἐπισήμων περὶ τὰς τριακοσίας ἐξαιτησάμεναι τὴν ἔντευξιν τε Μπατε, φείσασθαί σφῶν αὐτε ἐδέοντο, καὶ

μείλια αὐτῷ ἑαυτὰς προσφέρουσαι παρεδίδοσαν, οὐδὲ πάσας, ἄτεγκτος παντάπασι μένων, κατασφαγῆναι ἀπανθρώπως ἐπέταξεν. Ησαν οἳ ἐν τοῖς μογγουλικοῖς στρατεύμασι μορφῇ μόνον ἀνθρωπίνῃ λύκων καὶ τίγρεων διενηνόχεσαν, οἳ κρέατα σφαζομένων μοαγγυορίδων ὀπτῶντες ἢ ἕψοντες, κατεβίβρωσκον, καὶ τοὺς μαζοὺς αὐτῶν τοῖς σφῶν ταξιάρχαις, ὡς ἐξαιρετόν τι, καταβρώσουσιν οἱ βάρβαροι ἔπεμπον. Ἀλλ' ἆρα οὐχ ὑπερβολὴ καὶ ταῦτα καὶ πλάσματα θερμῶν καὶ χυδαίων συγγραφέων, ἐκκεκαυμένων ἤδη τῷ ὑπερβάλλοντι ἔχθει τὰς κεφαλὰς, καὶ πλεοναζόντων διὰ τοῦτο καὶ περισσευόντων καὶ ἐκρηγνυμένων ἐν πᾶσι μᾶλλον δὲ, βουλομένων τοὺς μογγούλους μισητοτέρους καὶ ἀποτροπαιοτέρους οὕτω πολὺ παραστήσασθαι; Πάντως καὶ ὁ Βήλας ὑποστρέψας, οὐ πάντῃ ἔρημον κατέλαβε τὴν χώραν, οὐδ' ὅλην πλήθουσαν σαρκοφάγων θηρίων.

Η δ' αἰτία τῆς ἀπροσδοκήτου ταύτης ἀναχωρήσεως, ὁ θάνατος ἦν τοῦ μεγάλου

χάνη· ἔδει γὰρ τὸν Μπατῦ ὡς τῦ τζιγγησχανικῦ οἴκυ πρεσβύτερον, παρόντα εἶναι τῇ τῦ μεγάλυ χάνη ἐκλογῇ καὶ ψηφίσει. Ἀλλὰ γὰρ ἐς τὰ παραβόλγια ἀφικόμενος, καὶ πυθόμενος ὅτι Τζιαγατάης ὁ πατράδελφος εἴη ὁ ἀποθανὼν, ἀλλ᾽ ὐκ Οκταΐης, τῆς ἐς τὸ Καρακορὰν ὁδῦ ἀπέσχετο, καὶ τῇ κατακτήσει τῶν πέραν τῦ Βόλγα βορείων τόπων ἐνασχολεῖται, καὶ τὴν ἀρχὴν τῶν μογγόλων μέχρι τῦ κατεψυγμένυ ὠκεανῦ ἐξέτεινε, τὺς ἐκεῖ τόπυς ὑποχειρίυς ποιησάμενος. Επανακάμψας δὲ ἐς Καζὰν, πόλιν κτίσμα μογγόλων, ἀπὸ κακκάβης κατὰ τύχην εὑρεθείσης, ὅτως ὀνομασθὲν, αὐτῦ καταμεῖναι ἐβόλετο, τῆς κατακτηθείσης αὐτῷ μεγάλης ἀρχῆς μητρόπολιν καὶ ἀρχεῖα ποιόμενος. Ἀλλὰ γὰρ μετὰ ταῦτα, Καγῦ ἀποθανόντος τῦ ῥαδιυργίαις καὶ δολοπραξίαις καὶ πραξικοπίαις γυναικῶν, ὐ μὴν δὲ τῇ τῶν τζιγγησχανιδῶν ἐκλογῇ, τὴν ἀνωτάτω ἀρχὴν ἠμφιεσμένυ, ἀπῆλθεν ἐς τὸ Καρακορὰν· καὶ προεδρεύων, Μαγγῦ υἱὸν Τυλλῇ ἀνεῖπε μέγαν χάνην. Τῦτον

ἀποθανόντα διαδέχεται ὁ ἀδελφὸς αὐτȣ̃ Κȣμπλαΐς, ὃς καὶ τὸ ὑπόλοιπον τῆς Σίνης ὑποχείριον ποιησάμενος, ἐντὸς τȣ̃ μεγάλȣ τείχȣς τὸν θρόνον τῆς μεγάλης ἀρχῆς μετέθηκε. Τηνικαῦτα ἡ ἀρχιγυνὴ αὐτȣ̃ ὁρῶσα τὴν ἀρχιγυναῖκα τȣ̃ τῆς Σίνης αὐτοκράτορος, αἰχμάλωτον ἤδη γεγονυῖαν, ἐδάκρυσε λέγȣσα, οἷα τὰ ἀνθρώπινα! ἆρ' ȣ̓ καὶ τȣ̀ς ἡμετέρȣς ἀπογόνȣς παραπλήσια περιμένει δεινὰ, διὰ τὸ τῆς τύχης ἀλλοπρόσαλλόν τε καὶ εὐμετάβλητον, προαισθανομένη οἱονεὶ καὶ προορῶσα, ὃ καὶ συνέβη ἔπειτα, ἑκατονταετηρίδος ὅλης μὴ παρελθȣ́σης;

Παῖς ἐκ ταπεινȣ̃ παντάπασι γένȣς ὁρμώμενος, καὶ ὑπηρέτης τυχάνων μαγείρῳ ἐν μοναστηρίῳ μοναχῶν τάγματος, ȣ̔̀ς μπόντζȣς ἐκεῖ καλȣ̃σι, ϛάσεων μεγάλων ἀναφυεισῶν, καὶ τὴν Σίναν κακȣμένην ἐκ τȣ́των καὶ πάσχȣσαν ὁρῶν, καὶ ἀγανακτήσας ἐπὶ τȣ́τοις, ἢ καὶ ὡς ϛάδιον δόξης καὶ κρείττονος βίȣ ἐκλαβὼν, τρίποδας, λέβητας, κακκάβια, τήγανα, τρυβλία, παροψίδας, ὅλμȣς, ὕπερα, ἐσχάρας, κοχλιάρια, ὀβε-

λὸς, δαυλὸς, καὶ πᾶσαν τὴν λοιπὴν μαγειρικὴν ἀηδίαν ἀφεὶς, ξίφος περιεζώσατο καὶ τόξυ ἥψατο, καὶ ταξειδίῳ πάντως πρῶτον ἐν μικροῖς εὐτυχὼν δι᾽ ἀνδρίαν μεγάλην καὶ φρόνησιν σπανίαν καὶ ὀξεῖαν σύνεσιν, τάχιςα τάξεις ὅλας καὶ πολυάριθμα ςρατεύματα ἀνεκτήσατο, καὶ τὺς μογγόλυς ἐκ τῆς Σίνης ἐξέωσε, καὶ οἱ σιναῖοι, καί περ ἐκ ταπεινῦ πάντη γένυς ὄντα, καὶ ἐκ ταπεινοτάτυ ἐπαγγέλματος, ὡς μπουζικῦ μαγείρυ ὑπηρέτην τυγχάνοντα, αὐτοκράτορα τῆς Σίνης, τῆς μεγίςης ὑφ᾽ ἥλιον ἀρχῆς, εὐγνωμονῦντες ἀνηγόρευσαν. *Κυ* ἦν τῦ ὑπομαγείρυ τὸ ὄνομα, ὃς ἐξ εὐτελεςάτυ διὰ πτωχείαν ἐπαγγέλματος, ἀνέβη ἐς τὸ ἀξίωμα τὸ ἀνώτατον. *Βασιλεύων Κυμπλαῆς* ἐν τῇ Σίνῃ, ἀποθανόντος τῦ μογγόλυ ἡγεμόνος ἐν τοῖς παρευφρατίοις μέρεσι, τὸν διάδοχον ἐκεῖ καὶ ἀδελφὸν αὐτῦ *Χυλακῦ* ἐν τῇ ἡγεμονίᾳ διὰ δόγματος ἐπεκύρωσε. *Πρᾶγμ᾽* ἀνήκυςον καὶ ξένον τῇ ςορίᾳ, ἐπικύρωσιν ἡγεμονίας ἀπὸ Σίνης ς τὰ δυτικὰ τῆς *Ασίας* ἔρχεσθαι, ἀγνου-

μένης κοινῶς ἐνταῦθα καὶ τῆς ὑπάρξεως τῆς Σίνης. Συνεςράτευσαν δὲ ἐν τῇ φοβερᾷ ἐθνεπιδρομῇ τȣ̃ Μπατȣ̃, Καγȣ̃ υἱὸς τȣ̃ Οκταῒ (μέχρι τινὸς μόνον), Μπαϊδὰρ, υἱὸς τȣ̃ Τζιαγατάη, καὶ ὁ περίφημος ςρατηγὸς Σȣ̈ίδας, ὃς ἐν τῷ ἀνατολικωτάτῳ τῆς Ἀσίας ἐκπολιορκήσας πόλεις, ἦλθε καὶ ἐς τὸ μέσον τῆς Ευρώπης ἐς τὴν Μοαγγυορίαν, ταὐτὰ ποιησόμενος.

## Οιοι τινές!

Τῶν δὲ κȣμάνων, οἱ μὲν ἐν τῇ Μραγγυορίᾳ, πολλάκις ἐς χεῖρας ἐλθόντες τοῖς μοαγγυόροις, καί περ τȣ̃ βασιλέως ἐκ παντὸς τρόπȣ ποιȣ̃ντος ἐξηρτῆσθαι αὐτῷ τȣ́τȣς, καὶ γυναῖκα τῷ υἱῷ ἡγεμονίδα κȣμάναν ἁρμοσαμένȣ, τέλος ἐταπεινώθησαν, καὶ θρησκείαν καὶ ἔθιμα καὶ γλῶσσαν, ὥσπερ καὶ ἡγεμονίαν, τοῖς μοαγγυόροις ἀπέβαλον· οἱ δὲ ἐν τῇ Ρȣμȣνίᾳ κατὰ μικρὸν ἔπειτα καὶ ȣ̃τοι τὰ αὐτὰ, τοῖς ῥȣμȣ́νοις ἀναμιγέντες ἔπαθον. Ο μὲν ȣ̃ν βασιλεὺς τῶν μοαγγυόρων, τȣ̃ πάππα προσκει-

μένε καὶ ἀναγκάζοντος, ἐπειράθη πολλάκις ἐς τὸ λατινικὸν αὐτὲς προσαγαγεῖν δόγμα· διεπράττετο δὲ μηδὲν, ἐμὴν ἐδὲ οἱ ναζηραῖοι, ὥς φασιν, οἷς τὰ ἀπὸ Ολτε, ὡς τάχα τῶν πέραν τε Ολτε μοαγγυόροις ἀνηκόντων, ἄχρις ἐ ἂν δύνωνται τοῖς ὅπλοις ἐκτείνεσθαι, γελοίως ἐπιτέτραπτο, κατὰ τὸν τεσσαρακοςὸν ἕβδομον ἐνιαυτὸν τῆς δεκάτης τρίτης ἑκατονταετηρίδος· οἱ γὰρ κεμάνοι τῇ πατρώᾳ θρησκείᾳ εἵποντο, καὶ μέχρι τε δεκάτε ἐνιαυτε τῆς δεκάτης πέμπτης ἑκατονταετηρίδος, ἐσώζοντο ἐθνικοὶ κεμάνοι ἐν Μολδόβῃ· οἵ τε ῥεμένοι τῷ ἀνατολικῷ καὶ ἀρχαίῳ δόγματι προσκείμενοι, μικρὰ ἐφρόντιζον τῶν ἀποσπάσαι σφᾶς τέτε πειρωμένων.

Ην ἐπίσκοπός τις λατῖνος, λέγεσιν, ἐν τῷ τριακοςῷ τρίτῳ ἐνιαυτῷ τῆς δεκάτης τετάρτης ἑκατονταετηρίδος, ᾧ καὶ οἱ τῆς μετὰ ταῦτα τε Μιλκόβε ἐπισκοπῆς ὑπέκειντο, ἥ τις καὶ αὕτη τελεσφορῆσαι ἐκ ἠδυνήθη, τῶν κεμάνων τῷ δόγματι τῶν ῥεμένων ἢ τῶν μωαμεθανῶν τατάρων προ-

σχωρέντων. Επισκόπες δὲ λατίνες ἐνταῦθα ἀκέων, ἐνεςώτων ποιμνίων αὐτὲς μὴ νόμιζε, ἀλλὰ μελλόντων ἔσεσθαι. Εργον δὲ ἦσαν αἱ τοιαῦται ἐπισκοπαὶ δοξομανῶν ἀνθρώπων κοσμοκρατικὲς σκοπὲς ὑποτρεφόντων, καὶ τὸ ἑαυτῶν κράτος παντοίοις τρόποις καταςῆσαι, ὥσπερ καὶ τὴν ἀγαμίαν τῶν ἱερέων τὴν πολλὰ πρὸς τῦτο συντείνεσαν, ὡς ςρατιώτας πιςὲς σφίσι καὶ κακὲς πολίτας τὲς ἱερεῖς ποιέσαν, πειρωμένων· χριςιανοὶ γὰρ ἐνταῦθα σύμπαντες οἱ ῥεμένοι ἐτύγχανον, καὶ ἐπισκόπες εἶχον, ἀλλὰ τὸ ἄκρατον κράτος ἐκείνων μὴ γνωρίζοντες, ὡς τῦ τῦ χριςῦ ποιμνίε μοῖρα ὲκ ἐνομίζοντο. Ως λύκες ὖν τὲς τοιέτες ἡγητέον, τὲς ἀλλοτρίοις ποιμνίοις ἐπιπηδῶντας, καὶ τὸν κόσμον ταραχῶν καὶ θορύβων ἐμπιπλάντας.

Τὸ ἔθνος τῶν ῥεμένων σύμπαν σχεδὸν τῷ τῶν ἀνατολικῶν δόγματι τῆς ἀρχαίας καὶ καθόλε ἐκκλησίας ἀνέκαθεν πιςῶς προσέκειτο, καὶ πρὸ τῆς κοσμολεηλασίας ἔτι

τῶν μογγέλων τὰς ἑαυτᾶ εἶχεν ἐπισκόπας καὶ ἱερεῖς· οἴτε ἐν Μπανὰτ καὶ Γύλα καὶ Αρδὲλ ῥεμᾶνοι, ὅπε τὸ κράτος εἶχον μοαγγυόροι, σχεδὸν πάντες τᾶ ἀνατολικᾶ καὶ καθόλε δόγματος ὀπαδοὶ ἐτύγχανον· καὶ οἱ ἐντὸς Καρπαθίων ῥεμᾶνοι, οἱ τὸν Ρεμενικὸν ἀγρὸν, λέγω, καὶ τὴν Μολδόβαν καὶ Βασσαραβίαν νεμόμενοι, τῆς παλαιᾶς καὶ καθόλε ἐκκλησίας ὲκ ἀπεσχίσθησαν, καὶ οἱ τἀναντία λέγοντες, ἀπατῶνται ἢ ψεύδονται, καὶ πιθανότητος πάσης πόῤῥω τυγχάνεσιν· ὃ γὰρ ὲδ' ἀρχὴν ἐν Αρδὲλ καὶ Γύλα καὶ Μπανὰτ διαπέπρακτο, σχολῆγε ἄν τις διαπεπρᾶχθαι τᾶτο ἐν τῇ μεσημβρινῇ καὶ ἑῴα Ρεμενίᾳ, εὖ συλλογιζόμενος νομίσειεν, ὅπε ῥεμᾶνοι αὐτονόμως ἐπολιτεύοντο. Αλλὰ θρησκομανεῖς τινες, μᾶλλον δὲ, δοξομανεῖς, ὡς τῷ τῆς πίςεως προσχήματι δόξαν καὶ πλᾶτον καὶ δύναμιν θηρευόμενοι, ἐμεγάλυναν τὸ ἔργον αὐτῶν ἀναιδέςατα, καὶ πολλὰ ἡμῶν καταφλυαρᾶντες κατεψεύσαντο. Ωσπερ ἀμέλει, ἔςω δὲ τᾶτο ἀπὸ τῶν πολλῶν ἓν παράδειγμα,

*καὶ ἐν τῷ ἑξηκοςῷ τρίτῳ ἐνιαυτῷ τῆς δεκάτης τρίτης ἑκατονταετηρίδος.*

*Μοναχοί τινες λατῖνοι ἀναιδίην ἐπιειμένοι, καὶ ὕβρει καὶ ἀσελγείᾳ πρὸς πάντας χρώμενοι, διέτριβον ἐν τῇ ἐντὸς Καρπαθίων Ρουμουνίᾳ, ἐς ἀλλότριον ἐπεσφρήσαντες ποίμνιον· καὶ οἱ ῥουμοῦνοι καὶ κουμάνοι φιλοξενώτεροι καὶ ἀκακώτεροι τοῦ δέοντος ὄντες, ἀνεχόμενοι, μικρὰ ἐφρόντιζον τούτων, τοῖς πατρῴοις ἑκάτεροι ἐπιμένοντες δόγμασι, καὶ περιφρονοῦντες τοὺς ἀποσχίσαι σφᾶς τούτου βουλομένους. Ἀλλ' οἱ ἀναιδεῖς μοναχοὶ ἐπέςειλαν τῷ πάππᾳ ὅτι τοὺς ἐπισήμους τοῦ ἔθνους καὶ πλῆθος τοῦ λοιποῦ λαοῦ ἐπιςρέψειαν, ὡς ἔλεγον, καὶ πολλὰ ἐπὶ τούτῳ προνόμια ἔλαβον. Μετὰ ταῦτα δὲ ὁ πάππας, τὰ ψεύσματα καὶ τὴν χαμέρπειαν καὶ τὴν ἀναίδειαν αὐτῶν, καὶ τοῦ ἔργου τὴν οὐδενότητα μαθὼν, τὴν πρόσκτησιν κατάκτησιν ἀπέφηνε, καὶ τοῖς ἐπισκόποις τῆς Μοαγγυορίας ςαυροφορίαν κατὰ κουμάνων καὶ τῶν λοιπῶν κατοίκων ἀνειπεῖν ἐπέταξε, καὶ μὴ παῦσαι πρὶν ἢ σύ-*

παντας ἐς τὸ λατινικὸν δόγμα ἐσαγαγεῖν τὸς οἰκήτορας, ὅ ἐςι ξίφει καὶ πυρὶ, ἀλλ' ὀχὶ λόγῳ προσφέρειν τῷ κόσμῳ τὸ τῦ Χριςῦ εὐαγγέλιον· καὶ ἣν ὁ Χριςὸς ἔργων λάμψιν τὸς ὀπαδὸς αὐτῦ ᾔτει, ἐς λάμψιν ὅπλων καὶ πυρῶν οἱ ὑλικοὶ ἐξέλαβον. Ἀλλὰ πείθειν μὲν τὸς ἄλλος χρηςοῖς λόγοις καὶ ἔργοις, καὶ ἀνέχεσθαι μὴ πειθομένος, Χριςῦ τὸ ἔργον, τῦ εἰρήνην καὶ ἀγάπην πνέοντος, καὶ ἀνθρώπινον· λυσσᾶν δὲ κατ' αὐτῶν μὴ πειθομένων, καὶ ἐς ὅπλα ἀπὸ λόγων μεταπηδᾶν, ἀντίχριςον, σατανικὸν καὶ μυριοβάρβαρον καὶ θηριῶδες. Ἀλλὰ γὰρ τηνικαῦτα τῦ διαδόχυ ὁμιλίαις καὶ θελγήτροις τῶν εὐειδῶν κυμανίδων μᾶλλον ἢ προτροπαῖς καὶ ἀπειλαῖς τῦ πάππα προσέχοντος, ὐδὲν ἐπέπρακτο.

Ου πολλῷ δὲ μετέπειτα ἕτερός τις πάππας ἑτέραν ςαυροφορίαν τοῖς ἐν τῷ Ρυμυνικῷ ἀγρῷ καὶ τῇ Μολδόβῃ ἠπείλησεν, ἀναιδῶς πάντη καὶ ἀχρίςως, νὴ τὴν ἱερὰν ἀλήθειαν, σύμπαντας τὸς κατοίκυς ἐς ἑαυτὸν βυλόμενος ἐπισπάσασθαι· ἀλλ' ἔσχε καὶ αὕτη

τῆς πρώτης τὸ ἀποτέλεσμα. Ἀλλὰ τό τοιοῦτον εἶδος ἀνθρώπων, τὸ εἰρήνην καὶ φρονημάτων ἀνοχὴν ἀναπνέουσαν θρησκείαν, πυρὶ καὶ ξίφει συςήσασθαι τάχα πειρώμενον, ὡς κακοποιὰς δυνάμεις, ὡς ἐκ ταρτάρου ἐξερασθείσας αὐτόχρημα ἐριννύας ἡγητέον. Ετεροι δὲ πάλιν, μετριώτεροι, δὲ οὗτοι, γέλωτα μᾶλλον ἢ ἀγανάκτησιν διεγείροντες, ὑπὸ δεισιδαιμονίας ἰσχυρῶς πάμπαν προκατειλημμένοι, καὶ τὸ αἰσθητικὸν καὶ τὸ νοητικὸν τέγξαντες, οὕτως εἰπεῖν, τοῖς τῆς δεισιδαιμονίας χρώμασιν, ὁρῶσι καὶ νοοῦσιν ἁπανταχοῦ, φαντασίᾳ μᾶλλον ἢ ὄμμασι χρώμενοι. Ταύτῃ τοι παρ' αὐτοῖς καὶ λόγος πολύς τινων ὁμοφρόνων, ἐξ ἀλλοδαπῆς μετοικησάντων ἐς Ῥουμουνίαν, ἢ καί των δόλῳ ἐς τὸ σφέτερον συρέντων δόγμα· καὶ πολλαπλασιάζουσι τούτους οὗτοι, ὡς εἰ διὰ πολλαπλασιαζούσης ὑέλου ἔβλεπον· καί τινες ταραχοποιοὶ, ὡς ξένοις λῃςρικῶς ἐπιπηδῶντες ποιμνίοις, οὓς ἐπισκόπους ἀναρμόςως πάντῃ ὠνόμαζον, ἐξυμνοῦντο παρ' αὐτῶν τῶν ἀθλίων καὶ ἐπῄροντο, καὶ ὡς

ποιμνίων ὅλων τάχα καὶ πολυαρίθμων προεςῶτες, περιεγράφοντο· τῷ ὄντι δὲ μηδὲν ἄλλο ἢ ἀνεκτοὶ ξένοι ὄντες, ἁπλότητι τῶν κατοίκων μηδὲν ὑποπτευόμενοι, καὶ παραβλεπόμενοι, προβατόσχημοι λύκοι ὄντες ἀγνοέμενοι· τῶν δὲ αὐτοχθόνων ῥεμένων, πάντων σχεδὸν τῶν κατοίκων, λέγω, τῶν τῇ ἀρχαίᾳ ἐκκλησίᾳ προσκειμένων, καὶ τῶν ἐπισκόπων αὐτοῖς, μικρὸς πάμπαν, καὶ σχεδὸν ὀδεὶς αὐτοῖς λόγος, καὶ ταῦτα περὶ Ῥεμενίας γράφεσιν. Ουτοι οἱ ἄνθρωποι ἔχεσιν ὄμματα ἵνα τὲς ὁμόφρονας ὁρῶσι· τὸ πᾶν γὰρ αὐτοῖς ἡ λατινότης, καὶ ἡ ἀνθρωπότης ἀσήμαντος. Αλλοδαποί τινες μέτοικοι, ἤ τινες ἀποσπασθέντες τῆ πατρῴε δόγματος, περιγράφονται ὡς ἔθνη ὁλόκληρα· τὸ δόγμα τῶν κατοίκων παρεβλέπετο, καὶ τό τινων ἐπηλύδων πολλῆ λόγε παρ' αὐτοῖς ἄξιον· τὸ ἔθνος παρ' αὐτοῖς πέντε ἢ δέκα μέτοικοι ἢ πρόσφυγες ἢ ἀποςάται, καὶ ἡ ὁλότης τῆ ῥεμενικῆ ἔθνες ὀδὲν ἐνομίζετο. Ετεροι πάλιν παραλαλῆντες πάντως· ἄλλως γὰρ

ἂν ἐσιώπων αἰσχυνόμενοι· λέγȣσιν ὅτι ἡ Ρȣμȣνία πᾶσα τῷ δυτικῷ προσέκειτο δόγματι. Οια ἡμῶν οἱ ἄθλιοι κατεφλυάρησαν!

Λάσκος τις ἡγεμὼν Μολδόβης μοναχοῖς τισι λατίνοις κινȣμενος, τὸ τȣ πάππα ἐδέξατο δόγμα, φασὶ, καὶ εὐθὺς σύμπαντες οἱ μολδοβάνοι ἀγεληδὸν ἐλατίνιζον· πάντως οἱ ταῦτα λέγοντες, σωρηδὸν καταψεύδονται. Μήποτε ȣ̃ν ȣ̃τος ὁ Λάσκος, εἴτινος ἀληθείας ἔχεται τὰ λεγόμενα, μὴ ὢν Δραγοτζίδης, ἀλλά τις τῶν ἀρχόντων, ἡγεμονιῶν καὶ μὴ δυνάμενος ἄλλως ἐπιτυχεῖν ȣ̃ἐφίετο, πρὸς τὸν θεομανῆ βασιλέα Λȣδȣβικον ἐπὶ τȣτῳ ἐλθὼν, καὶ ὁμοθρησκήσειν αὐτῷ θρησκομανεῖ ὄντι, ἐπαγγειλάμενος, ȣ̃τως ἐπὶ τὴν ἡγεμονίαν, ἀλλοτρίᾳ δυνάμει, βίᾳ εἰσήχθη; Ηγεμονεύσαντο δὲ ȣ̃τω, πιθανὸν μὲν καὶ τȣς ἡγεμονευομένȣς συλλατινίζειν βȣλεσθαι καὶ συμπαπίζειν, καί τινες τῶν ἐν τέλει χαμερπεῖ ἢ ὕπȣλοι καὶ δόλιοι, ἀνδράποδα ἀτεχνῶ ὑπάρχοντες, συλλατινίσαι τῷ ὄντι ἢ τῷ δο-

κȣντι ἠθέλησαν, ἀλλὰ τȣ̀ς μολδοβάνȣς ἀγεληδὸν ἐπὶ τὸ νέον δόγμα τρέχειν λέγειν, ψευδολογεῖν ἐςιν ἄντικρυς καὶ ἀναιδέςατα. Λάσκος, φασὶ, παρεκάλει τὸν πάππαν ὑπὸ τὴν αὐτȣ̃ ἄμεσον ὑπεράσπισιν καὶ τὴν ἐκκλησίαν καὶ τὴν ἡγεμονίαν τῆς Μολδόβης καταδέξασθαι, (ȣ̓κȣ̃ν ȣ̔́τως ἀνεξάρτητος ἦν ἡ ἡγεμονία τῆς Μολδόβης, καὶ τῷ ὄντι ἀρχηγεμονία)· ἀλλὰ ταῦτα πάντως πράττων ὁ Λάσκος, ȣ̓ φίλα πάντως Λȣδοβίκῳ τῷ ἐπὶ τὸν ἡγεμονικὸν θρόνον ἀλεξήσαντι ἔπραττε.

Τήρει, φίλε, ὅτι τὸ χαμερπὲς φιλοψευδὲς ἐξ ὀλιγονοίας καὶ ἀκρισίας προέρχεται· ȣ̓ γὰρ ἂν ἄλλως οἱ τοιȣ̃τοι ὑφ᾽ ἑαυτῶν ψευδόμενοι ἠλέγχοντο, ȣ̓ γὰρ ἂν ἄλλως ἑαυτȣ̀ς ἐλάνθανον σφῶν αὐτῶν καταφλυαρȣ̃ντες καὶ καταψευδόμενοι. Οὐκ ȣ̓̃ν ᾐσχύνθησαν οἱ ἄθλιοι τοιαῦτα ἡμῶν καταψευδόμενοι. Μήποτε ταῦτα ἐπὶ τȣ̃ πρὸ τȣ̃ Λάσκȣ βοεβόδα Στεφάνȣ συνέβη; φασὶ γὰρ καὶ αὐτὸν, ἐρίδων καὶ ςάσεων αὐτῷ τε καὶ τῷ ἀδελφῷ Πέτρῳ ἀναφυεισῶν, καὶ τȣ̃ Πέ-

τρȣ ὑπερισχύσαντος, τὸ παππικὸν δόγμα δεξάμενον, τῇ τȣ̃ θεολήπτȣ βασιλέως Λȣδȣβίκȣ συναντιλήψει, καὶ τῇ τῶν ἐν ἀγροῖς διαιτȣμένων συῤῥοίᾳ, ἐπὶ τὸν ἡγεμονικὸν θρόνων ἐσβιασθῆναι. Ἀλλὰ γὰρ ὅτως ȣ̓δὲ μίαν ἡμέραν ὑπήνεγκαν ἂν αὐτὸν οἱ καλοὶ μολδοβάνοι ἡγεμονεύειν ἀλλόθρησκον ὄντα· ȣ̓δὲ γὰρ ἦσαν ἧττον περὶ πίςιν θερμοὶ τῶν τȣ̀ς μινορίτας, ȣ̓ πολλῷ πρότερον, ὡς σκανδαλοποιȣ̀ς καὶ ταραχοποιȣ̀ς καὶ κοσμεπιβȣ́λȣς ξένȣς, μετὰ κȣμάνων, ἐκ μέσȣ, καθ᾽ ὅν ἠδυνήθησαν τρόπον, ἀράντων. Ἀπίθανα πάντη καὶ πάντως ταῦτα, καὶ περιφρονήσεως μᾶλλον ἢ ἐξετάσεως καὶ πίςεως καὶ παραδόσεως ἄξια.

Ἀλλ᾽ ἐχέτωσαν ταῦτα ὅπως ποτ᾽ ἂν ἔχοιεν, εἰκάζειν μόνον καὶ τεκμαίρεσθαι ἐνὸν τὴν ἀλήθειαν· γυμνὴν γὰρ ὁρᾶν ȣ̓κ ἔξι, τῶν ἀνθρώπων ὡς τὰ πολλὰ βαπτόντων τὰ πολλὰ τοῖς πάθεσιν· ὥσπερ ἀμέλει καὶ οἱ τὰ τῆς Ρȣμȣνίας ἀναγράψαντες θρησκομανεῖς ἢ δεισιδαίμονες λατῖνοι, οἵτινες ȣ̓χ ὡς ἦσαν, ἀλλ᾽ ὡς τὸ θρῆσκον αὐ-

τοῖς ὑπηγόρευε, τὰ πράγματα ἐξετίθεσαν. Απίθανα δὲ πάντη καὶ ὅσα λέγουσι περὶ τῶν λατινικῶν γραμμάτων, ὡς τάχα οἱ μολδοβάνοι αὐτοῖς τὸ πάλαι ἐχρῶντο· πιθανὸν μὲν γάρ τινα ἡγεμόνα παραφερόμενον, εἰσαγαγεῖν αὐτὰ ἐθελῆσαι καὶ ἀποπειραθῆναι ποτὲ τούτου, καὶ τοὺς μοναχοὺς λατίνους τὰ μερικώτατα καθολικεύοντας, ὡς εἰώθεσαν, ἐκδοῦναι, ὡς ἄρα οἱ μολδοβάνοι λατινικοῖς ςοιχείοις χρῷντο· ἀλλὰ γὰρ καὶ μικρὸν σκεψαμένῳ, ἀπίθανος ὁ λόγος παντάπασι, καὶ συντίθεσθαι τοῖς λεγομένοις εὐήθεια. Οι ἐν Αρδὲλ καὶ Γύλα καὶ Μπανὰτ ῥουμοῦνοι, οὐ μόνον οἱ τοῦ παλαιοῦ δόγματος, ἀλλὰ καὶ οἱ οὐ πρὸ πολλοῦ ἀποσχισθῆναι τούτου ἐκβιασθέντες, ἔτι καὶ νῦν τοῖς ἰλλυρικοῖς χρῶνται γράμμασι· πάντως καὶ ἐν τοῖς χρόνοις, καθ' οὓς φλυαροῦσιν οἱ λατῖνοι τοὺς μολδοβάνους χρῆσθαι τοῖς λατινικοῖς γράμμασιν. Ει γοῦν οἱ τὰ δυτικὰ καὶ τὰ βόρεια τῆς Ρουμουνίας, οὐκ ἔπαυσάν ποτε χρώμενοι τοῖς ἰλλυρικοῖς γράμμασι, σχολῇ γε ἂν ποιῆσαί ποτε τοῦτο

τὺς ἀνεξαρτήτως νομίσαιμεν. Εἰσήχθησαν δὲ τὰ ἰλλυρικὰ γράμματα ὑπὸ Κυρίλλυ καὶ Μεθοδίυ ταῖς παριςρίαις ἐκκλησίαις, παρ᾽ ὧν καὶ τὸ εὐαγγέλιον ἐκηρύχθη τοῖς σλαβικοῖς ἔθνεσι, περὶ τὸ μέσον τῆς ἐννάτης ἑκατονταετηρίδος, ὅτε τὴν τῦ χριςῦ πίςιν οἱ βύργαροι ἐδέξαντο, σὺν οἷς, καθόλυ, καὶ οἱ ῥυμῦνοι, ὑπήκοοι τύτοις πολλοὶ τυγχάνοντες, τὸν χριςινιασμὸν ἐνηγκαλίσαντο.

## Νογάδαι.

Μετὰ τὸ μέσον τῆς δεκάτης τρίτης ἑκατονταετηρίδος, νογάδας, μογγυλικὸν ἔθνος, δρῶμεν ἐν τῇ παραποντίῳ καὶ παριςρίῳ Ῥυμυνίᾳ. Νογᾶς, ἀφ᾽ ὗ ὗτοι παρωνομάσθησαν, ςρατηγὸς ἦν μογγῦλος διὰ πολεμικὴν ἀρετὴν καὶ σύνεσιν πολιτικὴν πολυθρύλλητος, υἱωνὸς τῦ Τζιγγησχὰν ἐκ τῦ Χομπαῇ ἑτερομητρίυ ἀδελφῦ τῶν προειρημένων τεσσάρων. Ἤδη καὶ κομιδῇ νέος ὢν, πολὺς ἦν μογγύλοις ςρατηγῶν ἐν Περσίᾳ· μετέπειτα δὲ ἦλθεν ἐς τὰ βόρεια μογγυλικὰ κατακτήματα, καὶ Πόλσκαν μέχρι

Κρακοβίϐ, καὶ Κρακόβιον αὐτὸ, πρωτεύϐσαν πόλιν τῆς Πόλσκης, ἐλεηλάτησεν. Αποκεκλεισμένος ὢν τῆς διαδοχῆς καὶ ἀρχηγεμονιῶν ἐκτόπως, ἅπερ νόμῳ ἐςέρηται, βίᾳ ἠθέλησε κτήσασθαι. Αποςασίαν κατὰ τῶν μογγϐλων τυρεύει. Συμμάχϐς ἐπὶ τϐτῳ ζητεῖ. Βήλᾳ τῷ βαλεῖ τῶν μοαγγυόρων ἐπιςέλλει. Απειλαῖς προτρέπει κοινοπραγῆσαί οἱ σύμμαχον γενόμενον, καὶ ἐκδόντα τῷ υἱῷ αὐτϐ τὴν θυγατέρα, κηδεῦσαί οἱ καὶ συνδεῖσθαι ἀλλήλοις. Βήλας, ἀποτρέποντος τϐ πάππα προσίεσθαι, ἀποποιεῖται καὶ συμμαχίαν καὶ ἀγχιςείαν. Νογᾶς ἐπιπορεύεται τὴν Πόλσκαν πορθῶν. Κολακεύει καὶ ἐξαρτᾶται τὰ ςρατεύματα. Αποςατεῖ. Καταπολεμεῖται ὑπὸ τῶν μογγϐλων. Σώζεται, ποτὲ μὲν τῇ ἀλωπεκῇ, ποτὲ δὲ τῇ λεοντῇ χρώμενος. Τῆς ἀρχῆς τῶν κϐμάνων γενέσθαι βϐλεται κύριος. Διαπράττεται τϐτο. Τιμωρήσασθαι θέλων τὸν Βήλαν, ἀποτυγχάνει. Διαβαίνει τὴν Μολδόβαν. Περαιϐται τὸν Ἴςρον, σύμμαχον ἔχων Κωνςαντῖνον βασιλέα βϐλ-

γάρων. Απαλλάττει τὸν αἰχμάλωτον τῶν κωνϛαντινȣπολιτῶν Ἐζεδὶν πολλὰ οἱ ὑποσχόμενον. Λεηλατεῖ τȣ̀ς νομȣ̀ς τῶν κωνϛαντινȣπολιτῶν. Αναϛρέφει ἐντὸς τȣ̃ Ἴϛρȣ μετὰ τȣ̃ ἀπαλλαγέντος. Βȣλεύεται Μοαγγυορίας λεηλασίαν. Απείργεται ϛαυροφορίᾳ τȣ̃ πάππα. Συμμαχεῖ τοῖς βȣργάροις κατὰ τῶν κωνϛαντινȣπολιτῶν. Αποσπᾶται ἐξ ἐκείνων ὑπὸ τȣ́των δώροις, καὶ γάμῳ τῆς νόθȣ θυγατρὸς Ευφροσύνης τȣ̃ αὐτοκράτορος, τῆς χριϛιανῆς ὁ μὴ χριϛιανός. Στρέφει τὰ τόξα κατὰ βȣργάρων. Υποτάττει τὴν Δόμπριτζαν, τὴν καὶ μικρὰν ποτὲ λεγομένην Σκυθίαν, τὴν πέραν τȣ̃ Ἴϛρȣ.

## Κορδοκȣβᾶς.

Θριαμβεύει δὲ κατὰ τῶν νογαδῶν ὁ περίφημος ῥȣμȣ̃νος Κορδοκȣβᾶς, καὶ διώκει τȣ́τȣς ἐκ τῆς Δομπρίτζης, καὶ καταναγκάζει περαιȣ̃σθαι τὸν Ἴϛρον. Ὡρμητο δὲ ὁ Κορδοκȣβᾶς ἐκ ταπεινȣ̃ παντάπασι γένȣς καὶ ἐκ ταπεινοτέρȣ ἔτι ἐπαγγέλματος· ἦν

γὰρ συοφορβὸς, καὶ συοφορβὸς ὄχ ἁπλῦς, ἀλλ' ὀνομαςὸς τοῖς περὶ αὐτὸν βοσκοῖς διὰ σκαιότητα καὶ εὐήθειαν· καὶ συχνάκις ἐν τοῖς βοσχομίλοις χλεύη καὶ παίγνιον, διὰ τὴν εὐήθειαν αὐτῦ καὶ τὸ βοσκηματῶδες, ἐς διατριβὴν ἑταίρων ἐτύγχανε· καὶ ποτε ἐν συμποσίῳ, τῶν βοσκῶν ἀςειεζομένων, ἔφη τις πρὸς αὐτὸν εἰρωνευόμενος, ὅτι μέγας καὶ πολὺς ἐς τύπιὸν ἔσοιτο. Ἐκεῖνος μὲν παίζων ἐς εὐθυμίαν τῦτ' εἴρηκε· Κορδοκυβᾶς δὲ ὡς πρόῤῥησιν ὑπερανθρωπίνην τῆς μελλόσης αὐτῷ μεγάλης κατασάσεως σπυδαίως ἐξέλαβε, καὶ τὸ ἀπὸ τῦτυ, προκαταληφθεὶς ὑπὸ τῆς προῤῥήσεως τ..ύτης, τῇ ἐν συοφορβικῇ κεφαλῇ κάρτα ἐγκολαφθιείσης, ἔμφροντις τῆς ἐκτελέσεως γίνεται. Κακυμένης ὖν τηνικαῦτα τῆς Βυργαρίας τοῖς νογάδαις, αἴφνης ὁ Κορδοκυβᾶς, ὡς ἐν θεάτρῳ, τῷ κόσμῳ ἔνοπλος, ἔφιππος, ὡς σωτὴρ τῆς Βυργαρίας, ὡς ἔλεγε, παρίςαται. Πιςεύυσιν αὐτίκα οἱ ἀκύοντες, ὅτι τῷ ὄντι ἄνωθέν ποθεν, ἐκ κρείττονος ἢ κατὰ ἄνθρωπον μέρυς, ὥσις ἡ

ἐνορμὴ, καὶ τὸ πρᾶγμα δηλαδὴ ατεχνῶς θεοπνευςία ὑπῆρχε σωτήριος· καὶ αὐτίκα ὁ ἡγεμὼν συῶν ἐς βοσκὴν, ἡγεμὼν ἀνδρῶν ἐνθέως μαχίμων ὁρᾶται ἐς πόλεμον, καὶ νικήσας τὲς νογάδας, βασιλεὺς Βεργαρίας ἀναγορεύεται, καὶ τὴν χήραν τε βασιλέως τὴν ἐκ τε βασιλικε οἴκε τῶν κωνςαντινεπολιτῶν νυμφεύεται, καὶ τε θηριώδες οἱ πειραθῆναι ταύτην ποιεῖν ὃ μέλλει, ἰταμότερον καὶ μέχρις ἄρσεως χειρὸς αὐτῇ προσφερόμενος. Ἀλλὰ γάρ Νεμέσεως αὐτῷ τηλικαύτην τύχην φθονησάσης, διώκεται, καὶ πρὸς Νογᾶν καταφεύγει, καὶ μετ' ἄριςον, ἐν Βασσαραβίᾳ πε, μᾶλλον δὲ μετὰ σκυθοποσίαν, οἰνόφλυξ ἤδη καθήμενος ἐφ' ἕδρας καὶ κοιμώμενος, καὶ ῥέγχων καὶ οἰνοφλυγίαν πολλὴν ἐρευγόμενος, ἐπιταγῇ τε Νογᾶ, οἰνόφλυγος καὶ αὐτε ὄντος, τῷ πενθερῷ χαριζομένε, φονεύεται, περὶ τὸν ἑβδομηκοςὸν ἕβδομον ἐνιαυτὸν τῆς δεκάτης τρίτης ἑκατονταετηρίδος. Ουτος ἐςὶν ὁ ὑπὸ τῶν κωνςαντινεπολιτῶν ὀνομαζόμενος Λαχανᾶς. Σκέψαι, φίλε, οἷος ὁ κό-

σμος! καὶ οἱ κορδοκȣβᾶδες ȣδέποτε ἐπιλείψȣσι.

Νογᾶς δὲ, μετὰ ἓξ ἐνιαυτȣ̀ς περί πȣ, μετὰ Ολδαμȣ̀ρ ἡγεμόνος κȣμάνȣ, εἰσβάλλει ἐς Μοαγγυορίαν, ἐκτελέσαι τὴν πρὸ πολλȣ̃ βȣλευομένην κατάκτησιν τῆς χώρας βȣλόμενος· ἀλλὰ μηδὲν πλέον λεηλασίας ἀνύσας, λοιμῷ καὶ λιμῷ ἐνοχλȣ́μενος, ἐς Μολδόβαν ὑπέςρεψε. Διαλλάττεται ἔπειτα τῷ βασιλεῖ τῶν μοαγγυόρων, καὶ οἱ νογάδαι καὶ κȣμάνοι, καί περ μωαμεθανοὶ καὶ ἐθνικοὶ ὄντες, πολλῶν προνομίων ἐν Μοαγγυορίᾳ ἀπήλαυον. Ου λέγω εἰδωλολάτραι· οἱ γὰρ κȣμάνοι ȣδενὶ ἐχρῶντο εἰδώλῳ· ἐλάτρευον δ' ἀμέσως τῷ ȣρανῷ καὶ γῆν δημιȣργήσαντι. Λεηλατεῖ ἔπειτα ὁ Νογᾶς τὴν Πόλσκαν· καὶ ἐν τῷ ἐννενηκοςῷ τετάρτῳ ἐνιαυτῷ τῆς αὐτῆς ἑκατονταετηρίδος, ἡττᾶται ἐν μεγάλῃ μάχῃ ὑπὸ τȣ̃ Τοχταγȣ̃ υἱȣ̃ τȣ̃ Μαγγȣ̃, ὅπȣ καὶ φονεύεται ἀμυνόμενος.

Οι δὲ Νογάδαι διασπείρονται εἰς πολλὰ μέρη, καὶ οἱ ἐν Μολδόβῃ καταμείναντες,

την τῶν κωνςαντινεπολιτῶν γῆν ἐλεηλάτησαν ἐν τοῖς ἐνιαυτοῖς δεκάτῳ ἐννάτῳ, εἰκοςῷ ἕκτῳ, τριακοςῷ δευτέρῳ, τριακοςῷ ἑβδόμῳ καὶ τεσσαρακοςῷ πρώτῳ τῆς δεκάτης τετάρτης ἑκατονταετηρίδος, μόνοι ἢ μετὰ βεργάρων· ὁρῶμεν γὰρ αὐτὲς συμμάχες ἐν τοῖς κατὰ τῶν κωνςαντινεπολιτῶν πολέμοις, πάντως καὶ μετὰ τῶν γειτόνων καὶ ἀναμεμιγμένων αὐτοῖς ῥεμένων. Ἐξασθενήσαντες δὲ ταύταις ταῖς λεηλασίαις καὶ ταπεινωθέντες, ὑπετάγησαν τοῖς ῥεμένοις ἢ τοῖς μετ' αὐτὲς Μολδοβάνοις, ὓς ἐν τέτοις ἤδη τοῖς χρόνοις ἀξιοσεβάςες ἱκανῶς τοῖς γείτοσι βλέπομεν· καὶ ἡ χώρα αὐτῶν τὰ ἀναμεταξὺ Ἴςρε καὶ Τύρα παραπόντια, ὑποχείρια ῥεμένοις ἐγένετο. Διήκει ἡ χώρα τῶν δακῶν (τῶν ἀγρορεμένων), φησὶν ὁ Χαλκοκονδύλης, ἀπὸ Ἀρδελίε τῆς παιόνων Δακίας ἀρχομένη, ἔς τε ἐπὶ εὔξεινον Πόντον· ἔχει δὲ ἐπὶ δεξιὰ μὲν καθήκεσα ἐπὶ θάλασσαν, τὸν Ἴςρον ποταμόν· ἐπ' ἀριςερὰν δὲ, Μπογδανίαν Ἀλλὰ ταῦτα μὲν ἐπὶ Χαλκοκονδύλε, ὅτε

κατ' αὐτὸν, καὶ Μεχμὲτ ὁ β'. Κωνςαντινόπολιν ἑλὼν, περὶ τὸ μέσον τῆς δεκάτης πέμπτης ἑκατονταετηρίδος, μεγάλῳ ςρατῷ ἐπὶ Βλάδον ἐςράτευσε, τίσων ταῖς δύο μυριάσιν, ὡς φασι, τῶν ἀνασκολοπισθέντων τύρκων, καὶ ὁ ἡγεμὼν τῆς Μπογδανίας σύμμαχος τῷ Μεχμὲτ τυγχάνων, ἐπολιόρκησε τὸ Κελλίον, ἀνῆκον τῷ Βλάδῳ, καὶ ἑλεῖν ὐκ ἠδυνήθη. Ἀλλὰ τὸ Κελλίον πολὺ πρότερον ἐν τῷ δωδεκάτῳ ἐνιαυτῷ τῆς αὐτῆς ἑκατονταετηρίδος, ἀνῆκε τοῖς Μολδοβάνοις. Τοιγαρῦν ἡ τύχη τῶν ἐσχάτων ἀριςερῶν παριςρίων, ταῖς ἀξιότησι τῶν ἡγεμόνων εἵπετο, ὁτὲ μὲν ἀγροτερεμένοις, ὁτὲ δὲ, μολδοβάνοις ἀνηκόντων. Οἱ δὲ νογάδαι τάταροι διέβησαν μετὰ τῶν κυρίων αὐτοῖς ρεμένων τὸν Ἴςρον, καὶ τὴν τῶν κωνςαντινεπολιτῶν ἐλῄσαντο· ὑπολῃςεύοντες γὰρ ἄλλοις τοσῦτον χρόνον οἱ βέλτιςοι ρεμῦνοι, ἤδη ἐκπεπαιδευμένοι τὴν τέχνην, ἀρχιλῃςεύεσι.

Περὶ τέτες τὲς χρόνες καὶ Βασσαράβας ἐν τῷ Ρεμενικῷ ἀγρῷ μετὰ κλέες ἡγε-

μόνευεν, ὁ καὶ Κάρολον τὸν βασιλέα τῶν μοαγγυόρων, τύφῳ καὶ πλεονεξίᾳ καὶ θεοληψίᾳ παρασπονδήσαντα, καὶ δυνάμει μεγάλῃ ἐς τὸν Ρȣμȣνικὸν ἀγρὸν πολεμίως ἐσβαλόντα, κατὰ κράτος νικήσας, ὥςε μόλις πολλοςημόριον τȣ̃ μεγάλȣ ςρατȣ̃, καὶ αὐτὸν τὸν Κάρολον, παρ' ἐλπίδα πᾶσαν, ξενείμονα διασωθῆναι. Μήποτε τȣ̃ Βασσαράβα τὰ πέραν Σιρέτȣ μέχρι θαλάσσης παρίςρια χειρωσαμένȣ, ὁ ὑπὲρ Πρȣ̃τον ὑπονομὸς ἀπὸ τȣ̃ κατακτήτορος παρωνομάσθη, καὶ ἀπ' ἐκείνȣ μέχρι τȣ̃ νῦν, ἐξαπλωθὲν μέχρι τȣ̃ Τύρα, τὸ ὄνομα διασῴζεται; Οἱ δὲ νογάδαι, ὑποταχθέντες τῷ ζυγῷ τῶν ῥȣμȣ́νων, τήν τε θρησκείαν καὶ τὸν λοιπὸν τρόπον τȣ̃ βίȣ τῶν κρατȣ́των ἐναγκαλίζονται, καὶ αὐτοῖς ἀναμίγνυνται· εἰσὶ δὲ οἳ καὶ πέραν τȣ̃ Τύρα περαιȣ̃νται, ὅσοις ὑποταγὴ καὶ θρησκεία ἀπήρεσκε· καὶ γὰρ ἀπὸ τȣ̃ Τύρα μέχρι τῆς χερσονήσȣ νογάδαι τὴν χώραν ἐνέμοντο. Επειτα δὲ ὑποχωρηθείσης τῆς Βασσαραβίας τοῖς τύρκοις ὑπὸ τȣ̃ μεγάλȣ Στεφάνȣ·

ἦρχον γὰρ μέχρι τῦ Πόντυ τότε οἱ μολδοβάνοι· νογάδαι τάταροι μωαμεθανοὶ ὄντες, ἐκ τῶν πέραν τῦ Τύρα ἐς τὸ μέσον τῆς Βασσαραβίας μετανέστησαν, καὶ Μπυντζιὰκ τὴν χώραν ὠνόμασαν, ὥσπερ ἔτι καὶ νῦν οἱ τάταροι καί τινες ἄλλοι αὐτὴν ὀνομάζυσι.

Τὰ ἐφεξῆς ἀναγινώσκονται ἔτι ἐπὶ στήλης τεθειμένης ὑπὲρ τὴν πύλην τῆς ἐκκλησίας Ρεσμποὲν, ἐν τῇ Μολδόβῃ πέραν τῦ ποταμῦ Σιρέτυ.

**ΣΤΕΦΑΝΟΣ ΕΛΕΕΙ ΘΕΟΥ ΗΓΕΜΩΝ ΤΗΣ ΓΗΣ ΤΗΣ ΜΟΛΔΟΒΗΣ, ΥΙΟΣ ΜΠΟΓΔΑΝΟΥ ΗΓΕΜΟΝΟΣ ΕΝ ΕΤΕΙ ΚΟΣΜΟΓΟΝΙΑΣ, 6984.**

Εν τῷ εἰκοςῷ ἐνιαυτῷ τῆς ἡμετέρας ἡγεμονίας ὁ δυνατὸς βασιλεὺς τῶν τύρκων Μεχμὲτ μετὰ πασῶν τῶν τῆς Ασίας δυνάμεων, καὶ μετὰ τῦ βοεβόδα Βασσαρά-

βα, ἄγοντος καὶ αὐτȣ̃ πάσας τὰς δυνάμεις τῆς γῆς Βασσαραβίας ἦλθε τὴν γῆν τῆς Μολδόβης ἐλῶν, καὶ δȣλωσόμενος, καὶ ἐνταῦθα ἐς τὴν Βαλεάλμπαν ἵκετο· ἡμεῖς τε Στέφανος ὁ δεύτερος μετὰ τȣ̃ ἡμετέρȣ υἱȣ̃ Ἀλεξάνδρȣ βοεβόδα, ἐνταῦθα ἰκόμενοι, ὑπὲρ πατρίδος ἐν μεγάλῃ πρὸς αὐτὸν μάχῃ ἠμυνάμεθα, κατὰ τὴν εἰκοςὴν ἕκτην τȣ̃ ἰȣλίȣ μηνός· δόξαν δὲ ἄλλως τῷ Θεῷ, ηττήθησαν οἱ χριςιανοὶ ὑπὸ των ἐθνικῶν [παγγύνων, πρόφερε το γγ ὡς πρὸ τȣ̃ α], καὶ τὸ τριτὸν τῆς Μολδόβης ἀπωλέσαμεν. Τȣτȣ ἕνεκα ἰδίᾳ καὶ χρηςῇ προαιρέσει ὁ Στέφανος τὸν ναὸν τȣ̃τον ἐπ' ὀνόματι τȣ̃ ἀρχιςρατήγȣ Μιχαὴλ ἐκτίσατο, εἰς με-

σιτείαν ὑπὲρ ἑαυτȣ̃ καὶ τῆς δόμνης Μαρίας, καὶ τῶν υἱῶν Ἀλεξάνδρȣ καὶ Μπογδάνȣ, καὶ εἰς μνημόσυνον τῶν ἐνταῦθα πεσόντων ὀρθοδόξων. Εν ἔτει κοσμογονίας 7004 ἐν τῇ ὀγδόῃ τȣ̃ σεπτεμβρίȣ.

Τῷ τῆς Βασσαραβίας ὀνόματι ἐνταῦθα, ὁ Ρεμȣνικὸς ἀγρὸς ἐννοεῖται, καὶ ȣ̔́τως, ὡς ἔοικεν, ἐπὶ Στεφάνȣ ὠνομάζετο, ὑπόγε τῶν μολδοβάνων, οἵτινες νῦν Μȣντενικὸν ἀγρὸν ὀνομάζȣσι (Τζάραν μȣντενιάσκαν) καὶ μȣντένȣς τȣ̀ς κατοίκȣς ἐν τῇ ἐπιχωρίῳ γλώσσῃ. Ουδὲν ξένον, καινοτροπίᾳ τὸ πᾶν ἐν τοῖς ἀνθρώποις ἁπλῶς ὑπόκειται, καὶ λέξεις παλαιωθεῖσαι, ὡς τετριμμένον ἱμάτιον, ἀποῤῥίπτονται δι' ȣ̓δὲν ἄλλ' ἢ θύειν τὸ πᾶν φιλȣ́ντων παραλόγως τῶν ἀνθρώπων καινοτροπίᾳ. Καλὸν ἡ μεταβολὴ ἐπὶ τὸ κρεῖττον, ὅ ἐςιν, ἐπὶ τὸ εὔκολον καὶ εὐκολώτερον, ἐπὶ τὸ εὔχρηςον καὶ εὐχρηςότερον, ἐπὶ τὸ ὀλιγο-

δάπανον καὶ ὀλιγοδαπανώτερον, ἐπὶ τὸ ὑγιὲς καὶ ὑγιέςερον· καὶ ὁ πατὴρ τῆς ἠθικῆς, ὁ Πυθαγόρας χρηματίζων, πολὺ πρὸ πρὸ πολλȣ̃ ἤδη Μὴ δυσκόλυνε τὸν βίον· τοιȣ̃τό τι λέγειν συνεπτυγμένως, ἐβȣ́λετο· ἀλλ' οἱ ἄνθρωποι ȣ̓χ ȣ̃τω τὰ πολλὰ, μᾶλλον δὲ, σχεδὸν τὰ πάντα κακῇ τύχῃ βαδίζȣσι, καινοτροπικὰ τρόπον τινὰ ζῶα, ἀλλ' ȣ̓ λογικὰ τυγχάνοντες· τῇ γὰρ καινοτροπίᾳ πολὺ μᾶλλον ἢ τῷ λόγῳ ὁδρῶνται ἑπόμενοι, καὶ συγκινȣ̃νται τὰ πολλὰ ἑτέροις ὥσπερ γελοῖοι πίθηκοι. Σύγγνωθί μοι, φίλε πολλάκις παρεκβαίνοντι, καὶ καινοτροπίαν ἀποτρόπαιόν τι ἡγȣ̃ καὶ ἀποςρέφȣ ὡς ἐκ διαμέτρȣ τῷ ὀρθῷ λόγῳ ἀντικειμένην· ἄλλως γὰρ καινοτροπικὸν καὶ σὺ ζῶον, καὶ πάλιν σύγγνωθι. Μήποτε ἀποβαλόντες οἱ ἀγροῤῥȣμȣ̃νοι τὰ πέραν τȣ̃ ποταμȣ̃ Σιρέτȣ, συναποβαλεῖν ἠθέλησαν καὶ τὸ ὄνομα τῆς χώρας αὐτῶν, καὶ ἑτέρως ταύτην ὠνόμασαν, καὶ ἐν τοῖς ἀποβεβλημένοις τὸ ὄνομα ἔμεινεν, ἢ οἱ μολδοβάνοι ἔπειτα ὀνομάζοντες τὸ κατάκτημα Βασσαραβίαν, τῷ Τζάρα μȣντενιά-

σκα ἐχρῶντο, τὸν Ῥεμενικὸν ἀγρὸν ὀνομάζοντες, οὔτε ῥεμένοι μνήμνην ἥττης αἰσχυνόμενοι, τὸ ὄνομα τῆς χώρας μετέβαλον; Ἡ ςήλη αὕτη τὸ παλαιότερόν ἐςι μολδαβικὸν ὑπόμνημα, καὶ διὰ τῦτο πάντων τῶν ἄλλων τὸ ἀξιολογώτερον. Τῷ βοεβόδας Βασσαράβας, ἕτερος βοεβόδας ἐννοεῖται τῷ Στεφάνῳ περὶ ἑκατονταετηρίδα μετὰ τὸν νικητὴν τῦ Καρόλυ ἀκμάζοντι. Τῶν δύο ἐτῶν, τὸ πρῶτον, τὸν χρόνον ἐμφαίνει ἴσως καθ' ὃν ἡ μάχη συνέβη. καὶ τὸ δεύτερον, τὸν χρόνον καθ' ὃν ἡ ἐκκλησία ἐκτίσθη, ἐν τῷ τεσσαρακοςῷ ἤδη τῆς ἡγεμονίας τῦ Στεφάνυ, ὅς ἐν τῷ μέ· ἔτει τῆς ἡγεμονίας αὐτῦ τὸν βίον μετήλλαξε.

## Γενυαῖοι. Ῥαγυζαῖοι.

Ἐν τῇ δεκάτῃ τρίτῃ ἑκατονταετηρίδι, οἱ γενυαῖοι, τῶν κωνςαντινυπολιτῶν παντάπασιν αἰσχίςως ταπεινωθέντων, διαβάντες τὸν Ἑλλήσποντον καὶ τὸν θρακικὸν βόσπορον, τῦ ἐμπορίυ τῦ Πόντυ γίνονται κύριοι· καὶ Καφᾶν ὀνομαςὴν ἐν Κρὶμ πό-

λιν ἀποθήκην ἐμπορικὴν εἶχον, ἣν οἱ ἐνετοὶ κατὰ τὸν ἐννενηκοςὸν ἕβδομον ἐνιαυτὸν τῆς αὐτῆς ἑκατονταετηρίδος ἑλόντες, πάλιν αὐτοῖς ἀπέβαλον, καὶ ὅτοι τὸ κράτος ἐν τῷ εὐξείνῳ Πόντῳ ἔχοντες, πᾶσαν ἑτέραν σημαίαν τϐ ἐς αὐτὸν πλϐ ἀπεῖργον, καὶ ὥσπερ προπύργιον τϐ Πόντϐ ἐν τῷ τετάρτῳ ἐνιαυτῷ τῆς ἐφεξῆς ἑκατονταετηρίδος, Γαλατᾶν, ὅπϐ καὶ ςόλος ἦν αὐτοῖς ἐπὶ τϐτῳ, ἐς μέγα ὄνειδος τῶν ἀντικρὺ βασιλεύειν λεγόντων, ἐκτήσαντο. Ορᾶς, φίλε, οἷοί σοι οἱ καλοὶ κωνςαντινϐπολῖται τότε ἐτύγχανον, παίγνιον μικρᾶς ἐπικρατείας τῆς Γενϐης; Ειτα ϐκ ᾐσχύνοντο βασιλεύειν λέγειν οἱ ἄθλιοι, ὀλιγοδρανϐντες ϐτω, καὶ ὑπὸ μικρᾶς πάντη ϐτω ἐξϐσίας περιφρονϐμενοι ϐτω καὶ καταπατϐμενοι; Εκθηλυσμὸς καθαρὸς ἐκ τρυφῆς τὸ πρᾶγμα ἦν καὶ ϐδὲν ἕτερον. Σκέπτϐ, φίλε, καὶ φρίττε καὶ μὴ θέλε καὶ σὺ ἀσεβεῖν καὶ βλασφημεῖν ἑτέρῳ τινι, ἀλλ' ϐχ ὦ δεῖ ἐπιφέρων τὸν τῆς θεομυσϐς τρυφῆς ὄλεθρον, ὥσπερ ἐκεῖνοι δι' ἠλίθιον τῖφον ἐποίϐν, τὰ ἐκ

τῆς διὰ τρυφὴν ἀπροορασίας δειτὰ, ὡς δῆθεν αὐτοὶ τȣ͂ δέοντος μὴ ἁμαρτόντες, ὡς τάχα αὐτοὶ μηδενὸς τῶν σωτηρίων μέσων ἀμελήσαντες, ἑτέρῳ τινι ἀσεβῶς μάλα τὰ κακὰ προσαναγράφοντες. Η Κωνςαντινόπολις τότε ἡ πολυανθρωποτέρα πόλις τȣ͂ δυτικȣ͂ τῆς οἰκȣμένης μέρȣς ἐτύγχανε, πολλὰς ἑκατοντάδας χιλιάδων κατοίκων ἔχȣσα, καὶ ὅσας ȣ̓δὲ πᾶσα ἡ ἐπικράτεια τῆς Γενȣ́ης, ἀλλὰ τὸ ἱερὸν πῦρ τȣ͂ ὑπὲρ πατρίδος καὶ πίςεως ἐνθȣσιασμȣ͂ ἔσβεςο πάντῃ, καὶ αἱ ἑςιάδες, ὑπὲρ τὸ δέον πληθυνθεῖσαι, ῥάδιον βίον φυλακὴν πυρὸς ἐκδεχόμεναι, τρυφῇ συνδιαφθαρεῖσαι καὶ αὗται, ἐν παρειμένῃ ἀρχῇ παρανομȣ͂σαι ὅλως παραβλεπόμεναι, παρὰ τὸ τρυφᾷν ȣ̓δενὸς ἑτέρȣ ἐφρόντιζον, καὶ ἀπολȣ́μεναι καὶ αὗται ȣ̓κ ᾐσθάνοντο, κάκιςαι ἑςιάδες γενόμεναι. Ην μὲν ȣ̓͂ν τὸ πᾶν ἄψυχόν πως ἐν τοῖς τότε χρόνοις καὶ ἕρμαιον τοῖς τυχȣ͂σι, καὶ λεία ῥᾴςη τοῖς ἁπλῶς ἐπερχομένοις ἑτέρωθεν.

Ησαν ἔτι τοῖς γενȣαίοις καὶ ἐν Μολδόβῃ, πρῶτον μὲν ἐμπορικαὶ οἰκίαι, εἶτα

δὲ καὶ φρέρια, ἐξ ὧν ἀντίςασιν δρῶντες, ἠμύνοντο, ȣ μόνον ἐν τῇ παραλίᾳ, ἀλλὰ καὶ ἐν τοῖς παραποταμίοις, καὶ ἃ νῦν βλέπομεν παρὰ τὸν Τύραν ἐν δεξιᾷ, πάντως ἢ αὐτῶν ἢ τῶν ῥαγȣζαίων ἐτύγχανον κτίσματα. Τινὲς δὲ κἀν τῇ μητροπόλει τῇ Σȣτζιάβῃ ἐμπορικὰς αὐτῶν ὀχυρὰς οἰκίας εἶναι λέγȣσιν. Ἀλλὰ κατὰ τὸν πεντηκοςὸν πέμπτον ἐνιαυτὸν τῆς δεκάτης πέμπτης ἑκατονταετηρίδος, ἀνδρῶν ἤδη ἐν Κωνςαντινȣπόλει ὄντων, ἀπολέσαντες τȣτοις Γαλατᾶν, καὶ Καφᾶν τοῖς ἰδίοις πάλιν, μετὰ ἐννεακαίδεκα ἔτη, τὸ ἐμπόριον αὐτῶν καὶ τὴν δύναμιν συναπώλεσαν, καὶ ἐς Ἀκερμὰν καταφυγόντες ἠτύχησαν. Ἔτι δὲ καὶ ῥαγȣζαίȣς ὁρῶμεν ἐμπορευσομένȣς, ἐς τὴν Μολδόβην καὶ Βασσαραβίαν συχνάζοντας, οἳ καὶ ἐοίκασι πρὸ γενȣαίων ἐλθεῖν ἐνταῦθα. Ἐν γὰρ τῇ τῆς Ραγȣζῆς ἱςορίᾳ ὁρῶμεν αὐτȣς, παρὰ τῷ λατίνῳ ἐν Κωνςαντινȣπόλει βασιλέως, καὶ παρὰ τῶν ἐν Ἡρακλείᾳ καὶ Τραπεζȣντι κωνςατινȣπολιτικῶν βασιλέων, γράμμασι τὸν πλȣν ἐν τῷ Πόν-

τῷ σφίσιν ἐπιτρέπουσιν, ἐφοδιαζομένους, περὶ τὸν πέμπτον ἐνιαυτὸν τῆς δεκάτης τρίτης ἑκατονταετηρίδος· καὶ ἔπειτα περὶ τὸν ὀγδοηκοστὸν τέταρτον ἐνιαυτὸν τῆς δεκάτης πέμπτης ἑκατονταετηρίδος, πολλὰ ἐμπορικὰ ἱδρύματα ἐν τοῖς παραλίοις τοῦ Πόντου καὶ ἐν Μολδόβῃ, ὁρῶμεν αὐτοὺς ἀπολέσαντας, διὰ τοὺς ἀναμεταξὺ τύρκων, ῥούσσων καὶ πόλσκων πολέμους.

## Απόγονοι τίνων οἱ ῥουμοῦνοι.

Τὰ ἔθνη γοῦν τὰ ἐκ τοῦ μυχοῦ τῆς Ἀσίας ἐνταῦθα ἐκραγέντα, καὶ ὑπ' ἀλλήλων ὑποταγέντα, καὶ κατασυντριβέντα κατ' ὀλίγον ἐκ περιόδου, ἐξηφανίζοντο τὰ πλείω· οἱ δὲ ἡμέτεροι ῥουμοῦνοι ἐνδιδόντες ταῖς ὁρμαῖς καὶ μανικαῖς αὐτῶν ὤσεσιν, ἐσῴζοντο καὶ ηὔξανον. Οι δὲ ἔσχατοι πάντων μογγοῦλοι, ἦλθον, καὶ διὰ τὸν σωτήριον τῇ Ευρώπῃ τοῦ Τζιαγατάη θάνατον, ἀπῆλθον, καὶ ὑποστρέφοντες, ὥσπερ σφοδρὰ καταιγὶς ἐκ δυσμῶν καταῤῥηγνυμένη, πᾶν τὸ ὑπαντώμενον ἀπολλύουσιν. Οι ῥουμοῦνοι ὡς ἔθνος

ὑποκείμενον καὶ ἀρχόμενον, ἐλάσσονα πάντων ἔπασχον, τῶν ἐπερχομένων, ὡς ἔθος τὰ πολλὰ, κατὰ τῶν τὸ κράτος ἐχόντων ἐκμαινομενων καὶ λυσσόντων, καὶ τοῖς ἀρχομένοις προσηνέςερον καὶ ἠπιώτερον φερομένων, καὶ τὺς τὰ δυσπρόσιτα καὶ ἀνακεχωρηκότα οἰκῦντας, ὡς εἰκὸς, σεβομένων. Τὸν λαὸν τῦτον τὸν τὰ μεταξὺ Τύρα' καὶ Πόντυ Ἴςρυ καὶ Τισσῦ νεμόμενον, σύμμικτον ἐκ πολλῶν λαῶν ἡγητέον κατάγεσθαι, ἐκ κιμμερίων καὶ σκυθῶν καὶ σλάβων πάντως τῆς ῥίζης, τῶν παλαιοτέρων ἀγνουμένων, ἐκ γετῶν καὶ ἐκ τῶν ὁμογλώττων αὐτοῖς γότθων καὶ δακῶν καὶ βαςάρνων καὶ γεπίδων, ἔτι δὲ καὶ ὔννων, ῥοξολάνων, σλαβίνων, ἄντων, βανδήλων, βεργάρων, ἀβάρων, χαζάρων, καγγάρων, ὔγγρων, ὔζων, κυμάνων καὶ νογαδῶν, οἱ πᾶντες, ὅσοι κατέμειναν ἐνταῦθα, τὰ τῶν ῥυμάνων ἐναγκαλισάμενοι, κατ' ὀλίγον ἐξεῤῥυμανίσθησαν, καὶ ὐδὲ ἴχνος αὐτῶν τῷ τόπῳ καταλέλειπται· ἐκτὸς τινων ὀνομάτων, γνωςῶν μόνων καὶ τύτων τοιύτων

ὄντων, ἀμυδρὸν λέγω, μεγάλων ἐθνῶν οἰκηθέντων μνημόσυνον, τοῖς περὶ ἱςορίαν σπȣδάζȣσιν. Εισὶ δὲ ταῦτα τὰ ἡμῖν γνωςὰ, πρὸς τοῖς ἀφορῶσι τȣ̀ς ȣ̓̈ζȣς ὧν περ ἀνωτέρω ἐμνήσθημεν, δύο Κȣμανὲς ἐν Μολδόβῃ, ἀγρίδια καὶ κῶμαι, ὧν τὸ μὲν, ἐν τῷ ὑπονομῷ Δȣροχόϊ, τὸ δὲ, ἐν τῷ ὑπονομῷ ἐςι Μπακοέȣ, παρὰ τὸν ποταμὸν Τροτȣ̀ς, δύω πȣ ὥρας ὑπερκείμενον τῆς Οκνης· Πατζινὲς, κώμη ἐν Αρδελίῳ καὶ Πατζινὲκ κωμόπολις, ὡς ἀκȣ́ομεν, ἐν Βȣργαρίᾳ, καὶ δύο κῶμαι ἐν Αρδελίῳ Κόμανα ὀνομαζόμεναι. Οια τὰ ἀνθρώπινα, καὶ ἐφ᾽ οἷοις κομπάζȣσι καὶ ὑψηλοφρονȣ̃σιν οἱ ἄνθρωποι! Αθλιοι καὶ τρισάθλιοι βροτοί! Ετι δὲ καὶ κῶμαι ὅλαι ἐν τοῖς δυτικοῖς καὶ ὀρεινοῖς τῆς Μολδόβης εἰσὶ, ὧν οἱ κάτοικοι μȣκάνοι, ἀλλ᾽ ȣ̓ κȣμάνοι καλȣ̃νται, καὶ τινα παρ᾽ αὐτοῖς ἰδιάζοντα ἔθιμα, καὶ ἐρωτῶσιν ἡμῖν; τὴν αἰτίαν μαθεῖν βȣλομένοις, ταῦτα μȣκάνοις εἴθιςαι, ἀλλ᾽ ȣ̓ μολδοβάνοις, οἱ ἐρωτηθέντες ἀπεκρίναντο. Η γλῶσσα δὲ αὐτῶν ῥȣμȣνικὴ ἐςί.

## Κεφαλαιον έ.

### Βοεβόδαι ῥυμῦνοι.

Ῥυμῦνοι δὲ, οἳ καὶ πρότερον ἔν τισιν ἐρυμνοῖς μέρεσι δι᾽ ἑαυτῶν αὐτονόμως καὶ ἀνεξαρτήτως ἐπολιτεύοντο, νῦν ἤδη μετὰ τὸν ἐξαφανισμὸν τῶν ἑώων κυμάνων, καὶ μετὰ τὴν παντελῆ ἐκπόνησιν καὶ ταπείνωσιν τῶν δυτικῶν, ἐπαίρειν ἤρξαντο τὴν κεφαλὴν, καὶ πολιτικοῖς συςήμασι σπυδαιότερον ἐνασχολεῖσθαι, βοεβόδας ἔχοντες ἀρχηγεμόνας, ὥσπερ καὶ πρότερον, ὓς αὐτοὶ ἐκλογῇ δι᾽ ἑαυτῶν ἐψηφίζοντο· καὶ ἦσαν ἐντεῦθεν τὰ πολιτικὰ συςήματα αὐτῶν, ἀριςοκρατικὰ μὲν ἐν τοῖς ἀρχαιρεσίοις ἢ μεσοηγεμονίαις, μοναρχικὰ δὲ, τῶν ἡγεμόνων ἐκλεχθέντων καὶ ἀναγορευθέντων. Τῆς ἀρχῆς ὖν τῶν κυμάνων ἄρδην καταλυθείσης, καὶ ἐκ τῶν ῥιζῶν αὐτῆς ἐκτιλθείσης, καὶ τῶν μοαγγυόρων ταπει-

νωθέντων, καὶ τῶν νογαδῶν ἀτυχησάντων, καὶ ταῖς πρὸς τὲς βεργάρες μάχαις πάντη ταπεινωθέντων, ῥεμενικὰς ἐπικρατείας δύο ὁρῶμεν, τήν τε ἐν τῷ Φεγγαρὰς καὶ τὴν ἐν τῷ Μαραμὸς, τὰς ἀξιολογωτέρας, καὶ μείζες τῶν ἄλλων, ἐς τὰ μεσημβρινὰ καὶ ἑῷα τῆς Ρεμενίας ἐκτεινομένας, καὶ ἐντὸς ὀλίγε μέχρι τε Ιςρε καὶ Πόντε ἱκομένας. Ησαν δὲ καὶ ἐν τοῖς κάτω παρολτίοις βοεβόδαι ῥομῦνοι τρεῖς· οἱ μὲν δύο, πέραν τε Ολτε, ὁ δὲ τρίτος, ἐντὸς τε Ολτε· πάντως δὲ καὶ τέτων ἔτι καὶ ἕτεροι μικρότεροι ὑφ' ἑτέροις ὀνόμασι, ὥσπερ καὶ ἐν Μολδόβῃ, ἐν τέτοις τοῖς χρόνοις, πολλοὶ πάντως μικροὶ ἀρχηγοὶ ἀνεξάρτητοι ἐτύγχανον· καὶ τὸ Κυμπολεγγ τῆς Μολδόβης καὶ ἡ Βράντζα πάντως πολὺ πρὸ τε Δραγότζη, δυσβασιῶν καὶ δυσοδιῶν χάριτι, ναὶ δὴ καὶ τῆς ἀνδρίας τῶν κατοίκων, ἀρχήδια αὐτόνομα ἐτύγχανεν.

Οἱ δὲ ἐν τῷ Ρεμενικῷ ἀγρῷ βοεβόδαι μετὰ τὴν ὑπὸ τῶν Μογγέλων τῶν κεμάνων κατάλυσιν, παντὸς τε Ρεμενικε ἀγρε, ἐκ-

τὸς ἴσως τῶν προκατόχοις τȣ͂ Νεγροβόδα ἀνηκόντων, ἄρχειν ἐοίκασι, καὶ ἁπλέϛεροι καὶ ἄκακοι τυγχάνοντες, τὸς πρὸς σφᾶς ἐρχομένȣς παππιϛὰς, ὡς ξένȣς, τὸς προβατοσχήμȣς λύκȣς, ἐδέχοντο καὶ ἠνέχοντο, μηδὲν πλέον τȣ͂ ἐνεϛῶτος ὑπονοȣ͂ντες· καὶ ȣ͂ς ἕτεροι ναζηραίȣς ἐκάλȣν, αὐτοὶ ὡς ξένȣς ἁπλῶς καὶ ἀκάκως θεωρȣ͂ντες, ȣ̓δὲν τȣ́των ἐφρόντιζον, εἰ ἀληθῆ τὰ λεγόμενα, ὅτι ὁ βασιλεὺς τῶν μοαγγυόρων ναζηραίȣς ἐνταῦθα ἀπεϛάλκοι, τὰ ἀπὸ τȣ͂ Ολτȣ μέχρι τȣ͂ Ιαΐκ γελοίως ἐπιτετραμμένȣς, ὡς τάχα τῶν πέραν τȣ͂ Ολτȣ τοῖς μοαγγυόροις ὑπηκόων ὄντων. Οτι μὲν ȣ͂ν ῥȣμȣνικαῖς ἀρχαῖς καὶ τὰ πέραν καὶ τὰ ἐντὸς τȣ͂ Ολτȣ μετὰ τὴν κατάλυσιν τῶν κȣμάνων, ὑπήκοα ἦν, καὶ ἐξ ὧν οἱ λατῖνοι λέγȣσι, πρόδηλον· τὰ δ' ἕτερα καὶ λεπτομερέϛερα, ἀσαφῆ πᾶντα· οἱ γὰρ τότε γράφοντες λατῖνοι, μηδὲν τὸ παρὰ λατίνȣς φρονȣ͂ν οἰόμενοι, καὶ τὸ σύμφρον σφίσιν εἶναί τι, καὶ μικρὸν πάμπαν ὄν, ἡγȣ́μενοι, τȣ́τȣ μὲν πολλȣ͂ καὶ τȣ͂ παντὸς ἠξίωσαν λόγȣ, ἐκείνȣ δὲ

ὐδεμίαν, ὡς εἰμὴ ὅλως ὑπῆρχε, μνείαν ἐποίησαν· καὶ ἐπήλυδάς τινας ἢ φυγάδας καὶ ξένες τοῖς ῥεμένοις, ἐπῆραν καὶ ἐξύμνησαν, ὡς πολυαρίθμες αὐτόχθονας· τῶν δ᾽ αὐτοχθόνων καὶ πολυαρίθμων ῥεμένων, καὶ διὰ τῦτο πρωτευόντως λόγυ ἀξίων, σχεδὸν ὐδεὶς λόγος παρ᾽ αὐτοῖς, ὅτι μὴ πάρεργον· καὶ τὸ πάρεργον αὐτὸ, ὐχ οἷον ἦν, ἀλλ᾽ οἷον ἡ ἐξημμένη καὶ ἐκκεκαυμένη ὑπὸ τῆς θρησκομανίας φαντασία ἐζωγράφει, παρίςαται. Ταύτῃ τοι καὶ προσεκτέον τῷ τὰ ἀφορῶντα τὺς ὀρθοδόξυς ῥεμένυς, ὁποῖα ποτ᾽ ἂν ᾖ, ὑπὸ λατίνων παραδοθέντα, ἀναγινώσκοντι, καὶ εἰκάζειν δεῖ καὶ τεκμαίρεσθαι τὴν ἀλήθειαν, καὶ ταύτης, δι᾽ ἐξημμένην φαντασίαν λανθανέσης ἐνίοτε τὺς λέγοντας, ἅπτεσθαι.

## Νεγροβόδας.

Περὶ τὴν ἀρχὴν τῆς δεκάτης τετάρτης ἑκατονταετηρίδος, ἀναμεταξὺ τῦ δεκάτυ καὶ τρισκαιδεκάτυ ἐνιαυτῦ (1310 καὶ 1313), Ῥάδος ἢ Ῥάδυλος, ὁ ἐπονομαζόμενος Νε-

γροβόδας, ἤγϐν μέλας βοεβόδας, βοεβόδας τυγχάνων τῆς ἐν τοῖς ἄνω παρολτίοις ῥϐμϐνικῆς ἐπικρατείας, ςενῆς ϐσης τῆς χώρας καὶ ὑπὸ κακῶν καὶ ἑτεροθρήσκων γειτόνων, ὁμοθρήσκων τοῖς μοαγγυόροις, ἐνοχλϐμενος, τῶν σάξων καὶ τῶν Τζέκλερ, καὶ βλέπων ἑτέραν πολὺ κρείττω καὶ μείζω καὶ αὐτϐ τϐ Αρδὲλ χώραν ἐν μεσημβρίᾳ κειμένην, τῶν δυνατῶν ἐκεῖ ξένων σχεδὸν ἐξαφανισθέντων, καὶ τῶν ἤδη ἀρχόντων ῥϐμϐνων μηδένα ἱκανόν οἱ ἀνθίςασθαι, δυσχρηςϐσης οἱ χώρας ἑτέραν εὐχρηςϐσαν ἀντικαταλλάξασθαι ἔγνω κἀκεῖσε μεταναςῆναι. Εοικε δὲ ὅτι μετοικήσας ἐν τοῖς μεσημβρινοῖς, ὑποκείμενόν οἱ εἶχε καὶ τὸν τόπον ὅθεν ἐξῆλθεν· ὅθεν καὶ ἡγεμὼν τϐ ῥϐμϐνικϐ ἀγρϐ καὶ δϐξ τῶν περὶ Ομλὰς καὶ Φϐγαρὰς ἐπωνομάζετο· ἀλλὰ ταῖς ἐπιγραφαῖς καὶ ταῖς ἐπωνυμίαις πράγματα ἀεὶ τεκμαίρεσθαι καὶ συμπεραίνειν καὶ ἀποφαίνεσθαι ϐκ ἔῤῥωται· καταχρήσεις γὰρ καὶ τϐτων ἐποίϐν καὶ ποιϐσι καὶ ποιήσϐσι πάντως οἱ ἄνθρωποι, καὶ γελοίως πάντη ἐνίοτε.

*Απαίροντι δὲ ἐπὶ τῶν μεσημβρινῶν τȣ̃ Φȣγαρὰς τῷ Ράδῳ, συναπῆρον αὐτῷ πάντως καὶ οἱ ἐν ἀξιώμασι ϛρατηγικοῖς καὶ πολιτικοῖς, καὶ τῆς ὑπερορίȣ πάντως μέρος ἀξιόλογον καὶ πρότερον αὐτῷ ὑποκείμενον ἦν· καὶ Ράδος ὁ μείζων καὶ δυνατώτερος τῶν ῥȣμȣνικῶν βοεβοδῶν ἐτύγχανεν· ἄλλως γὰρ ἂν δυσχερὴς πάντη ἦν αὐτῷ καὶ ἡ εἰσβολὴ καὶ ἡ κατάκτησις, ἑτέρων πολλῶν ἐκεῖ βοεβοδῶν προϋπαρχόντων· Ἤδη γὰρ πρὸ χρόνȣ, ὅτε οἱ Θȣτίδαι τῶν ἐντὸς Τισσȣ̃ ἡγεμόνευον, οἱ ἐλεύθεροι ῥȣμȣ̃νοι κτηματικοὶ μεσημβρινῶν τόπων τȣ̃ Ἀρδὲλ ἐτύγχανον, καὶ τὸν Ρȣμȣνικὸν ἀγρὸν ἀνεξάρτητον ἐκέκτηντο, καὶ τὸ βόρειον αὐτȣ̃ μέρος, ἢ κἂν οἱ πλησιόχωροι ὑπονομοὶ τῷ Φȣγαρὰς, πάντως φȣγαρασικοῖς βόδαις ὑπέκειντο. Τοιȣ̃τό τι ἡμῖν δοκεῖ καὶ τῇ τȣ̃ Μαραμὸς ἐλευθέρᾳ ῥȣμȣνικῇ ἐπικρατείᾳ συμβῆναι, ὃ ἐςιν ἐκέκτητο καὶ αὐτὴ τὸ βόρειον τῆς Μολδόβης πολὺ πρότερον τῆς ἐπὶ τὸ ἀνατολικονότιον τȣ̃ Δραγότζῃ μετανας άσεως. Τὰ βόρεια τοίνυν τȣ̃ Ρȣ-*

μενικȣ̃ ἀγρȣ̃ Ῥάδῳ καὶ τοῖς πρὸ αὐτȣ̃ βοεβόδαις ὑπήκοα ὄντα, τὴν τῆς ἡγεμονίας μετάςασιν, καὶ παντὸς τȣ̃ ῥȣμενικȣ̃ ἀγρȣ̃ κατάκτησιν ἠυκόλυναν.

Αἱ ἐλεύθεροι καὶ δυνατώτεραι ῥȣμενικαὶ ἐπικράτειαι, πάντως καὶ σύςημα τέλειον ἐκκλησιαςικὸν εἶχον· καὶ ὁ Ῥάδος μεταθεὶς τὸν θρόνον, πάντως καὶ τὸν ἐπίσκοπον ἢ μητροπολίτην τȣ̃ Φȣγαρὰς συνεπηγάγετο· ῥᾷον γὰρ ȣ̓́τω κατὰ γνώμην οἱ ἀπέβαινε τὸ ἐγχείρημα. Τίνος δὲ ἕνεκα ȣ̓δεὶς λόγος τῶν κληρικῶν συςημάτων τοῖς ἱςορικοῖς, ȣ̓δ᾽ ἡμεῖς ἔχομεν λέγειν. εἰδὲ καὶ λέγειν τι ἀνάγκη, ἀπονέμομεν τὴν σιωπὴν, τȣ̃το μὲν, ἀμαθείᾳ καὶ σκαιᾷ ἀδιαφορίᾳ τινῶν, οἷς ȣ̓ φροντὶς τὰ κατ᾽ αὐτȣ̀ς ἀναγράφειν ἢ τὰ γεγραμμένα φυλάττειν· καὶ ἡμῖν ἐθελήσασι πρὸ δύο ἤδη ἐνιαυτῶν καὶ ἐπέκεινα, μαθεῖν τι τῶν ἀφορώντων τὸν κλῆρον καὶ τὴν ἀρχὴν τῆς ἡγεμονίας, διεγεῖραι τὴν φιλομάθειαν καὶ κινῆσαι καὶ νικῆσαι τὴν ῥȣμενικὴν νωθρότητα, ὑπῆρξεν ἀδύνατον, καὶ ἑπομένως

ὐδὲν παρ᾽ αὐτῶν, τῶν ἀφορώντων αὐτὲς ἐμάθομεν· τὅτο δὲ, θρησκομανίᾳ ἑτέρων, οἷς τὰ ὁμόφρονα, καὶ εὐτελῆ ὄντα, μεγάλε ἠξίωται λόγε, τὰ δ᾽ ἑτερόφρονα, καὶ πολλȣ̃ λόγε ἄξια ὄντα, περιεφρονήθησαν, ἢ ἑτεροίως πως παρεςάθησαν. Ράδος δὲ ὑποτάξας τὸν Ρεμενικὸν ἀγρὸν, τὲς ἐν αὐτῷ βοεβόδας ἀντιςῆναι βεληθέντας, βιασάμενος, καὶ ἐκκλησίας καὶ φρȣ́ρια καὶ μοναςήρια καὶ ἀγορὰς κτισάμενος, καὶ μέλλων ἤδη ἀποθνήσκειν, τοῖς ἐπισκόποις καὶ ἄρχεσιν, ἐκλογῇ καὶ ψήφῳ ἐκ τῶν υἱῶν τȣ̃ βοεβόδα, ἢ υἱȣ̃ μὴ ὄντος, ἐκ τῶν ἀρχόντων, τὸν ἀξιώτερον ἀναγορεύειν ἡγεμόνα ἐπέταξε. Θανόντα δὲ αὐτὸν διεδέξατο ὁ υἱὸς Βλάϊκος. Οι λέγοντες ὅτι ὁ Ράδος προτροπῇ τῆς γυναικὸς αὐτȣ̃, δύο μοναςήρια λατίνοις μοναχοῖς, ἀνεγείρατο, ἡμᾶς καὶ ἕκαςον εὖ συλλογιζόμενον, πειθομένες ἐκ ἔχεσι λέγοντες. ἐμενεν ἐδ᾽ ὅτι παπιόφρων ἡ σύζυγος τȣ̃ Ράδε ἐτύγχανε.

Βασσαράβας δὲ Βλάϊκον διαδέχεται, καὶ Κάρολον τὸν μοαγγυόρων βασιλέα, ἐφ᾽

ε ὁρμήσαντα δυνάμει μεγάλῃ, φιλίαν καὶ εἰρήνην ἀναιτίως παραβαίνοντα, καὶ πλῆθος θρησκομανῶν μοναχῶν συνεπαγόμενον, μᾶλλον δὲ αὐτὸν ὑπ ἐκείνων σύρδην ἀγόμενον, καὶ μηδενὶ τρόπῳ ἐξιλεωθῆναι καὶ διαλλαγῆναι θελήσαντα, νικᾷ ὁλοσχερῆ μάχην· καὶ ὁ χεῖρα ἄδικον ἄρας, μόλις ξενειμονίᾳ λαθὼν τὸν νικήσαντα, διαφεύγει τὸν ἀμυνόμενον. Οι δὲ θεομανεῖς μοναχοὶ, ὡς αἴτιοι τȣ̃ πολέμȣ, ἐπὶ ἐπικράτειαν, τὸν πάππαν μὴ γνωρίζȣσαν, λυσσῶντες, ἀνηλεέςατα τὰς κεφαλὰς ῥοπάλοις ὑπὸ τῶν ῥȣμένων παιόμενοι, ἐφονεύοντο. Βασσαράβαν δὲ Ἀλέξανδρός τις διαδέχεται, εἰμὴ Βασσαράβας αὐτὸς ἦν ὁ Ἀλέξανδρος. Τȣ̃τον πάλιν ὁ υἱὸς αὐτȣ̃ Βλάϊκος διαδέχεται, ὃς φοβηθεὶς τὸν Λȣδȣ̈βικον μετὰ δυνάμεως μεγάλης ἐν Ἀρδὲλ παραγενόμενον, τὴν ἀρχηγεμονίαν αὐτȣ̃ ἐγνώρισεν, ὥς φασι, μᾶλλον δὲ ὡς φλυαρȣ̃σι, καὶ φόρον τακτὸν ἐτήσιον τελεῖν αὐτῷ ἐπηγγείλατο, ὡς καταψεύδονται.

Μετὰ δὲ χρόνον τινὰ Λȣδȣ̈βικος, νομὸν

*Μοαγγυορίας τὸν ῥεμενικὸν ἀγρὸν ποιῆσαι βελόμενος, δυνάμει μεγάλη ἔρχεται· ἀποτυχὼν δὲ τῆ σκοπῆ, διαλλάττεται, καὶ τὰ πέραν τῆ Ολτε ὑπςορέφει τῷ βοεβόδα, ἐφ᾽ ᾧ τὲς ἐν τῷ Ρεμενικῷ ἀγρῷ λατίνες τοῖς ῥεμένοις μὴ ἐπηρεάζεσθαι, ὡς λέγεσι, ἀπίθανα πάντη λέγοντες· τὰ γὰρ πέραν τῆ Ολτε πρὸ πολλῆ ἦσαν ῥεμενικοῖς βοεβόδοις ὑπήκοα· καὶ οἱ λατῖνοι ἐδενὸς ἐδέοντο ξένε προςάτε· δολοπρακτῆντες δὲ καὶ ἀνηρεμῆντες καὶ ἀσελγαίνοντες, καὶ τὸν κόσμον ὅλον συμπαππίζειν ἐθέλοντες, ὡς κακοὶ ξένοι, φιλοξενίαν καταπατῆντες, λίθοις ἀποβάλλεσθαι ἦσαν ἄξιοι· Ει δὲ Λεδέβικος εἰσέβαλε παρασπόνδως ἐς τὰ πέραν τῆ Ολτε, οἰκειοποιεῖσθαι τὰ ἀλλότρια, ἐδένα λόγον εἶχε, καὶ τοιαύταις παρασπόνδοις εἰσβολαῖς, τὰ τῆς κτηματικότητος δίκαια θεμελιῆν, καθαιρεῖν ἐςι πᾶν κτηματικότητος δίκαιον. Οι μοναχοὶ λατῖνοι, φασὶ, πολλὲς ῥεμένες ἐς τὸ παππικὸν δόγμα ἐκ τῆ πατρῴε μετήνεγκον. Θῶμεν ἀληθὲς τὸ λεγόμενον. Ουκῆν ἔτω*

προσφερόμενοι, ἀνηρεμῦντες καὶ τῇ θρησκείᾳ τῦ τόπυ, ξένοι ὄντες, ἐπιβυλεύοντες, κατὰ ῥυμένων ἔπειτα προσανακλαιόμενοι, ὐκ ᾐσχύνοντο; Σωφρονῦντες οἱ ῥυμῦνοι καὶ τῆς κοινῆς ἐπιμελόμενοι ἡσυχίας, παρομοίυς σκανδαλοποιὺς καὶ ταραχοποιὺς ἀνθρώπυς, λίθοις τῆς χώρας ἐξελάσαι ὤφειλον. Ἀλλὰ τοιαύτας προφανεῖς ψευδολογίας ἐξερευγόμενοι ὐκ ᾐσχύνθησαν; Ἐιτα πῶς οἱ παῖδες ἐκείνων, οἵπερ τὰς κεφαλὰς τῶν παρομοίων μοναχῶν ῥοπάλοις κατέαξαν καὶ συνέτριψαν, τὴν ἀξιόποινον αὐθάδειαν τῶν φιλοθορύβων τύτων ξένων παρέβλεψαν; Εγὼ δὲ θαυμάζω ὁρῶν σοφὺς καὶ σεβασμίυς διὰ παιδείαν ἄνδρας μὴ παύοντας ἐπαναλαμβάνειν, καὶ λόγυ ἀξιῦν τοιαύτας προφανεῖς ψευδολογίας, σιωπῆς πάσης καὶ μὴν καὶ ἀποςροφῆς ἀξίας ὡς καταισχυνύσας τὸν ἄνθρωπον. Ο πάππας τὴν προθυμίαν καὶ τὸν ζῆλον αὐτῶν πυθόμενος, ὡς καλὺς οἱ ςρατιώτας, καὶ πρὸς τὺς κοσμαρχικὺς καὶ λαμικὺς σκοπὺς ἄριςα βαδίζοντας, προνομίοις καὶ προβιβασμοῖς

ἀντημείψατο, ἐξάπτων αὐτῶν ὅτως τὸ φιλοσκάνδαλον καὶ φιλοθόρυβον.

## Μπόγδανος βοεβόδας.

Ἤδη δὲ τῶν τῦ Ρȣμȣνικῦ ἀγρῦ ἡγεμόνων μετὰ κλέȣς ἡγεμονευόντων, Μπόγδανος ἕτερος ῥȣμῦνος βοεβόδας τῆς περὶ Τισσὸν ἀρχόμενον ἐπικρατείας· εἴδομεν γὰρ κἀκεῖ ῥȣμȣνικὴν ἐπικράτειαν πρὸ πολλῦ ἱδρυμένην, καὶ πρὸς ἀλκὴν καὶ ἄμυναν τȣς ἀνδρείȣς καὶ τόξων εὖ εἰδότας οἰκήτορας, κατὰ κȣμάνων καὶ καγγάρων, πάντως καὶ κατὰ μοαγγυόρων προθύμως τρέπεσθαι· Μπόγδανος, λέγω, ἐκ ταύτης τῆς ῥȣμȣνικῆς ἐλευθέρας ἐπικρατείας ὁρμῶν, καὶ ἐν τῷ δυτικοβορείῳ τῆς Μολδόβης τὴν μικρὰν ἀποικίαν ἱδρύσας· ἐκ γὰρ τριακοσίων ἀνθρώπων συνίςασθαι λέγȣσιν, ἕτεροι δὲ καὶ τὸν μικρὸν τῦτον ἀριθμὸν, πολὺ μείονα εἶναι βȣλονται, ἐντὸς ὀλίγȣ τὴν ἀρχὴν αὐτῦ ἐπὶ πολὺ ἐξέτεινεν· ἡ χώρα γὰρ εὔφορος ἦν, καὶ παντοδαποὶ ξένοι διὰ τῦτο τῷ Μπογδάνῳ προσήρ-

χοντο, ὡς τινες ἀπερισκεψίᾳ παντελεῖ καὶ ἀκρισίᾳ χυδαίᾳ, ἢ κακοηθείᾳ μεγάλῃ λέγουσιν, ὧν, τοῖς λεγομένοις ἀκακίᾳ καὶ ἀπανουργίᾳ ἀγροικῇ, καὶ πλείονί τινι ἢ τοιούτοις ἀντηχῶν καὶ ὁ Καντεμὶρ, λανθάνει βάζων παντάπασιν ἀνεμώλια, καὶ ὑπογράφων καὶ ψευδομαρτυρῶν καθ' ἑαυτοῦ ὁ πολύγλωσσος. Ηδη οὖν ὁ Μπόγδανος ταῖς τῶν παντοδαπῶν συγκλύδων, προσχωρήσεσι δυνατὸς ὢν, καὶ σύστημα ἀρχῆς ἔχων, πολλὰ μέρη τῆς Κουμανίας ὑπέταξε, καὶ τοὺς κουμάνους τοὺς καταμείναντας ὑπηκόους ἐποίησε, καὶ τὴν ἀρχηγεμονίαν ἐν τῷ τόπῳ τοῦ βασιλέως τῶν μοαγγυόρων γνωρίζειν οὐκ ἤθελεν. Ο δὲ δυνάμει μεγάλῃ ἱκόμενος, καὶ ἀντίστασιν μεγάλην εὑρὼν, τῶν νέων κατοίκων θαῤῥαλαιοτέρων ἤδη γενομένων, καὶ ὑπὲρ τῆς νέας πατρίδος κράτιστα ἀμυνομένων, ὀπισθορμᾷν ἠναγκάσθη, μηδὲν ἄλλο διαπραξάμενος, ὥς φασιν, ἢ τὴν ἀρχηγεμονίαν τοῦ ἔθνους καὶ φόρον τακτὸν ἐτήσιον, καὶ οὕτω συγκατανεύσας αὐτοῖς πολιτείαν αὐτόνομον. Ταῦτα πάντα

πάντως πάντη ἀπίθανα, τινὰ δὲ καὶ πλέον τι ἢ ἀπίθανα, λῆρος αὐτόχρημα· ὅθεν καὶ ἀποςροφῆς μὲν πολλῆς, ἐπιςροφῆς δὲ ὐδ' ὀλίγης τυγάνει ἄξια.

Η τῷ Θυύτῳ καταπολεμηθεῖσα ἐπικράτεια, ὡς λέγεται, ἡ παρὰ τὰς πηγὰς τῦ Τισσῦ κειμένη, σύμμαχος δὲ μᾶλλον ἢ ὑπήκοος Θυύτῳ ὑπάρχυσα, συνίςατο ἐκ τῶν πρὸς τὸ βόρειον τῦ Αρδὲλ καὶ τῶν περὶ Τισσὸν ἀρχόμενον τόπων, ὅπυ τὰ πλέσια τῶν μοαγγυόρων χρυσεῖα μέχρι τῦ νῦν ὀρύττεται, καὶ τὸ περίφημον τοῖς μολδοβάνοις Μαραμὸς κεῖται. Αλλ' ἴσως ἡ θρυλλυμένη ἧττα τῦ βοεβόδα, πλάσμα ἐςὶν, ὥςπερ καὶ πολλὰ ἄλλα, χαμερπῶν συγγραφέων κολακείας μᾶλλον ἢ ἀληθείας φίλων, ἢ Θυύτῳ ἥρωι τότε ὄντι καὶ οἱ ῥυμῦνοι τῷ καιρῷ ἐνδόντες, καί τινος καὶ τῦ χρυσῦ μεταδόντες, σύμμαχοι καὶ φίλοι αὐτῷ ἐγένοντο. Τινὲς λέγυσιν ὅτι οἱ περιτίσσιοι ῥυμῦνοι, ἐν τῇ δωδεκάτῃ ἑκατονταετηρίδι ἐς τὸ ἀνατολικονότιον μετανέςησαν· ὗτοι παραγόμενοι πάντως, τοιαῦτα

*λέγειν προήχθησαν, ἔκτασιν ἀρχῆς πρὸς μέλαιναν Κυμανίαν, ἐκλαβόντες μετάθεσιν· ἔοικε γὰρ ὅτι πολὺ πρότερον οἱ περιτίσσιοι ῥυμοῦνοι τὴν ἀρχὴν αὐτῶν πρὸς τὰς ὑπονομὰς Σετζιάβαν καὶ Τζιαρναὺτζ ἐξετετάκεσαν· οἱ δὲ βοεβόδαι ἐν τοῖς περὶ τὸν Τισσὸν ἔμενον μέχρι τοῦ μέσου τῆς δεκάτης τετάρτης ἑκατονταετηρίδος, καὶ τηνικαῦτα μετανέστησαν, ἐνοχλούμενοι ἴσως ἐκεῖ ὑπὸ τῶν ἑτεροθρήσκων καὶ πιεζόμενοι καὶ ὅλως δυσχρηστούμενοι, ὥσπερ καὶ οἱ παρόλτιοι ῥυμοῦνοι, καὶ βλέποντες καὶ κυμάνους ταπεινωθέντας παντάπασι, καὶ τοὺς νογάδας ταῖς ἐπδρομαῖς καὶ ταῖς πρὸς βουγάρους συμπλοκαῖς ἐκπονηθέντας. Μετανέστησαν δὲ οἱ βοεβόδαι σύστημα ἀρχῆς ἔχοντες καὶ δυνάμεις ἱκανὰς, ἵνα ἔχοιεν τοὺς ἀντιστησομένους ἐκεῖ ῥυμουνοκυμάνους καὶ νογάδας ἐκβιάσασθαι· οὐ γὰρ ἦν ἔρημος ἡ χώρα, ὥς τινες ἁπλούστερον ἢ κακοηθέστερον ᾠήθησαν.*

*Ταῦτα πολὺ πιθανότερα καὶ τῇ ἀληἀληθεία πολὺ πλησιέστερα, ἢ ἅπερ οἱ*

λατῖνοι καὶ ἕτεροι τούτους μεταφράζοντες ἐξέδωκαν, ἐξευτελίζειν τὰ ῥωμαίων ἀεὶ πειρώμενοι καὶ χαμαὶ ἐς κολακείαν ἕρποντες· ἐβούλοντο γάρ ὡς φυγάδας ὑπηκόους μοαγγνόρων δεῖξαι καὶ παραςῆσαι τοὺς ῥωμαίους, καὶ κατ' αὐτῶν μὴ βουλομένων τῷ πάππᾳ προσχωρῆσαι, καὶ τῆς καθόλου καὶ παλαιᾶς ἀποσχισθῆναι ἐκκλησίας, ἐξεμαίνοντο καὶ ἐλύσσων. Μήτις ἡμῖν Ουρέκην, μηδὲ μὴν Μυρόνην προβαλλέσθω, οἵ τινες καὶ οὗτοι εἰδότες, ὁ μὲν Ουρέκη τὴν λατινικὴν γλῶσσαν, ὁ δ' ἕτερος τὴν πολσκικὴν, πολλὰ ἡμῶν ἐξ ἁπλότητος καὶ ἀγνοίας ἀκάκως πάντη καὶ ἀπανούργως κατεψεύσαντο, ἑτέροις πιςεύοντες. Ει δὲ καὶ αὐτοὶ οἱ μολδοβάνοι τῆς τῶν προγόνων λαμπρότητος ἄξιόν τι λέγειν, ὥς περ δὴ καὶ δεικνύειν οὐκ ἔχουσιν, ἐκτὸς κυνὸς πνιγομένης καὶ βονάσου κτεινομένης, τῶν οἴκτου μᾶλλον ἢ λόγου ἀξίων, τῶν ἀξίων λόγου παραβλεπομένων, μεμπτέον τῷ χρόνῳ, τούτῳ τὴν πολλῆς μομφῆς ἀξίαν σιωπὴν ἀπονέμοντας. Τί δὲ καὶ τοὺς τὸν ἡμέτερον Ράδον καὶ Δρα-

γότζην εὐγενεῖς μοαγγνόρυς λέγοντας εἶναι, ὀνομαςέον; φλυάρυς καὶ ψεύςας ἀναιδεῖς, κομποῤῥημόνως τὰ ἑαυτῶν ἐπαίροντας, καὶ τὰ ἑτέρων ἐξευτελίζοντας, καὶ τὴν ἱερὰν ἀσεβῶς καταπατῦντας ἀλήθειαν· ἢ χυδαίυς διηγητὰς καὶ τῷ ὄντι συρφετολόγυς· καὶ συντακτέοι οἱ τοιῦτοι ἑτέροις συρφετολόγοις, τοῖς τὺς βυργάρυς κρέατα ἵππων καταβιβρεώσκειν νῦν, ἐν ταῖς ἀθλίαις αὐτῶν συρφετολογίαις ἐκδιδῦσιν. Ιςορικὺς καὶ γεωγράφυς ὀνομάζειν τὺς οἰκτρὺς τύτυς, νὴ τὴν ἀλήθειν, βεβηλῦν ἐςὶ τὰ τῆς ἱςορίας καὶ γεωγραφίας ἱερὰ ὀνόματα.

Μπόγδανος ὖν πρῶτος διὰ τὰς προειρημένας αἰτίας, ὁρμήσας ἐκ τῶν περὶ Τισσὸν ἀρχόμενον τόπων, πρὸς τὸ ἑῷον τῆς Ρυμυνίας ἵκετο, οἵτε τριακόσιοι ἄνδρες, οἱ ἄνω πυ τῶν ποταμῶν Μολδόβης ἢ Συτζιάβης φανέντες πρῶτον, ἢ τροφυλακὴ πάντως τῦ Μπογδάνυ ἢ τῦ υἱῦ αὐτῷ Δραγάτζη ἐτύγχανον. Ουτω Δραγότζης μετὰ ςρατιᾶς ἀξιομάχυ ἱκόμενος, τὺς τε πολυαρχυμένυς ῥυμένυς βίᾳ ἢ πειθοῖ πρὸς

ἑαυτὸν ῥαδίως εἵλκυσε, καὶ τὺς κυμάνυς καὶ νογάδας, ἐξασθενήσαντας μὲν ἤδη, ἀντιςῆναι δὲ ἔτι δυναμένυς, ἐξελθεῖν τῆς χώρας ἢ ὑποταγῆναι ἠνάγκασε, καὶ ἐντὸς ὀλίγυ τῆς μελαίνης Κυμανίας, αὐτὸς ἢ ὁ μετ' αὐτὸν, κύριος ἐγένετο. Ἃ δὲ ἕτεροι ἱςορῦσι, κινδυνεύυσι μῦθοι εἶναι, τοῖς ἐν τοῖς πρὸ τῆς ἑλληνικῆς ἱςορίας χρόνοις συμβαίνυσιν ἐοικότες. Δραγότζης ὑκ ἔρημον τὴν χώραν ἐκτήσατο, μᾶλλον δὲ ἔρημον παντελῶν, οἰκυμένην δὲ μέχρι τῦ Πόντυ ὑπὸ πολλῶν ῥυμένων ὀπαδῶν τῦ παλαιῦ καὶ καθόλυ δόγματος· οἵτε σύμμαχοι τῷ αὐτοκράτορι Μανυὴλ τὴν Βασσαραβίαν ᾤκυν, καὶ νῦν ἔτι ἐν ταύτῃ ῥυμῦνοι ἐκ παλαιῦ κάτοικοι εἰσί· πλείυς ἔτι ἐπὶ κυμάνων, καὶ τῶν ἐπιλοίπων προτέρων ἐθνῶν ἦσαν, καὶ λέγειν τι ἐς ἀπόδειξιν, ὐδὲ καιρὸς, ὐδὲ θέλησις, ὡς περιττολογία τῦ πράγματος ὄντος τοῖς νυνεχέσιν ἀναγινώσκυσιν.

Ἀλλὰ γὰρ καὶ πολλῷ ὕςερον, καὶ συγχρόνως τῷ Δραγότζῃ, εἰ μὴ μῦθοι λατινι-

κοὶ πάντη τὰ λεγόμενα εἶεν. Λυδὄβικος, ὥς φασι, βασιλεὺς μοαγγυόρων, ὁ περὶ τὸν τεσσαρακοςὸν δεύτερον ἐνιαυτὸν τῆς δεκάτης ἑκατονταετηρίδος, βασιλεύειν ἀρ-ξάμενος, καὶ ἑπομένως περὶ δώδεκα ἐνιαυτὺς πρὸ τῆς ἐς τὴν μελαιναν Κυμανίαν ἐσβολῆς τῦ Δραγότζη, μετὰ μεγάλυ ςρατῦ ἐσέβαλεν ἐς τὴν Κυμανίαν, τιμωρήσων, ὡς ἔλεγε, τοῖς μάρτυσι, καὶ τὸ νεώτερον δόγμα, τὸν παππισμὸν, ἐγκεντριῶν τῇ χώρᾳ, λόχυς ὅλυς ἐπι τύτῳ θεομανῶν ἐπαγόμενος, μᾶλλον δὲ, φοράδην ὑπ᾽ αὐτῶν κομιζόμενος, ἢ κημῷ συρόμενος. Οὐκῦν ἡ μέλαινα τότε Κυμανία ἔρημος κατοίκων ὐκ ἦν· ὐ γὰρ ἂν εἴπερ, μεγάλυ ςρατῦ ἐδέησε τῷ Λυδυβίκῳ, ὕμενυν ὐδὲ τῆς παρυσίας αὐτῦ, διὰ ςρατηγῦ ῥᾷςα τὸ σκοπύμενον διαπράξασθαι δυναμένυ. Οἱ δὲ μάρτυρες αὗτοι μοναχοὶ λατῖνοι ἦσαν ἐκτόπως θεομανεῖς καὶ κακόζηλοι καὶ κακοήθεις, μινορῖται καλύμενοι, ἐν τῷ Σιρέτῃ πόλει παρὰ τὸν ὁμώνυμον ποταμὸν ἱδρυμένοι, ὓς οἱ ἐγχώριοι κυμάνοι καὶ ῥυμῦνοι ἀπειροκα-

κῦντες δεξάμενοι αὐτὲς, τέλος, ὡς τῆς τῦ τόπυ θρησκείας ἐπιβύλυς, καὶ ἀναφανδὸν πολεμίυς, καὶ ἑπομένως σκανδαλοποιὺς, φιλοθορύβυς καὶ ταραχοποιὺς ἐπικινδύνυς, καὶ διὰ ταῦτα ἀνυποίςυς, ἀποδυσπετήσαντες, ποιναῖς ἀξίαις καθυποβεβλήκεσαν, καθ' ὃν ἠβυλήθησαν τρόπον, ἢ καθ' ὃν ἠδυνήθησαν.

Αφικόμενος ὖν ὁ Λυδύβικος, καὶ μηδένα τὸν ἀνθιςάμενον ἔχων, ἐν πεντήκοντα ἡμέραις, εἴκοσι μυριάδας κατοίκων ἐβάπτισε, καὶ τὺς μινυρίτας τὸ παππάρεςον τῦτο ἔργον τῷ ἑαυτῶν τάγματι ἀπονέμοντας καὶ προσάπτοντας, μεγάλως ὁ πάππας ἀντήμειψεν. Ου μύθοις ἐοικότα δοκεῖ τὰ λεγόμενα; Τύτοις γεμὴν καὶ μύθοις ὖσι, καὶ πολλοῖς ἄλλοις σὺν λόγῳ τεκμαίροιτ' ἄντις, ὅτι ἡ μέλαινα Κυμανία πολυάνθρωπος ἦν, ςερήσει δὲ ἀξιολόγυ πολιτεύματος διὰ τὰς προσυμβάσας ἐπιδρομὰς, κακῶς ἀρχόμενοι οἱ κάτοικοι καὶ πολυαρχύμενοι, εἰ ἀληθὴς ἡ τῦ Λυδυβίκυ εἰσβολὴ, ποιῆσαι ὐκ ἠδύναντο ἀντίςασιν ἀξιόχρεων· ὐ γὰρ

ἱκανὴ, ἐδ' ἐπιτηδεία ἡ πολυάνθρωπος χώρα ἐς ἀντίςασιν καὶ ἐς ἄμυναν, ἀλλ' ἡ καλῶς ἀρχομένη καὶ ἄριςα διοικεμένη καὶ πολιτευομένη. Ο ἀριθμὸς τῶν βαπτισθέντων πολὺ τῆ ἀληθείας ἀνώτερος· ἀλλ' ἔςω καὶ τὸ δεκατημόριον· καὶ ἔτω πάλιν πολυάριθμοι οἱ κάτοικοι τῆς χώρας· πολλοςημόριον γὰρ πάντως αὐτῶν ἐβαπτίθη· ἐξόμωσις γὰρ θρησκείας καὶ ἑνὸς μόνε ἀνθρώπε, ἐ ῥάδιον ἐςὶν, ἐδ' ὀλιγοχρόνιον, ἐχ ὅπως καὶ μυριάδων ὅλων ἀνθρώπων.

Ἀλλ' οἱ ἀναιδεῖς θεομανεῖς, τἕτο μὲν, σφάλλειν κακοήθως τὲς ἄλλες βελόμενοι, ἵνα τῆ τῶν μολδοβάνων τάχα ἐς τὸ σφέτερον δόγμα, τὸν νεωτερισμὸν, ῥαδία προσχωρήσει, καὶ ἐκεῖνοι, ὡς ἀπόδειξιν ἀληθείας ταύτην ἐκλαμβάνοντες, ῥᾶςα καὶ αὐτοὶ ὀπαδοὶ σφῶν ὑπὸ σφῶν σφαλλόμενοι γένοιντο· τἕτο δε, ἵνα καὶ τῷ σφῶν ἡγεμόνι πρὸς ἀρέσκειαν καὶ ἥδιςα πράττειν τάχα, φαινόμενοι, προνόμια καὶ προβιβασμὲς ἐξ αὐτἕ ἐκβιάσωνται, ῥᾶςα ἐκ μικρῶν πάντη, καὶ ἐκ μηδόλως ὑπαρξάντων

ἐνίοτε, ἐπολλαπλασίαζον καὶ ἔπλαττον μεγάλες ἀριθμὲς, τὴν ἱερὰν ἀσεβῶς καταπατῦντες ἀλήθειαν, ἀεὶ καταψευδόμενοι καὶ καταφλυαρῦντες ἡμῶν ἀναιδέςατα. Ουκῦν καὶ πυρὶ καὶ ξίφει ὁ θεόληπτος Λεδέβικος εὐαγγελικῶς πάντως ἐχρήσατο· οὔτε θεοσεβεῖς, ὑπηρέται καὶ αὐτοὶ ἦσαν τῦ ἱεροῦ πυρὸς τύτε προθυμότατοι· ἄλλως γὰρ ἂν, ὐδὲ τὸ πολλοςημόριον τῶν λεγομένων βαπτισθῆναι, ἐβαπτίσθη.

Πάντως καὶ ἐπίσκοπος μένει τῶν προσηλύτων καὶ ςρατηγὸς τῦ νέε κτήματος φύλαξ. Αλλὰ πῦ ἦν αὐτὸς, ὅτε Δραγότζης πρῶτον ἐφάνη. Τίνος δὲ ἔτι ἕνεκα ὁ θρησκομανὴς Λεδέβικος καὶ ὁ θρησκόληπτος Κάρολος ὁ πατὴρ αὐτῦ, τὺς ἐν Αρδὲλ καὶ Μπανὰτ καὶ Γύλα ῥεμένες, ὀρθοδόξες ὄντας, παρέβλεπον, καὶ μόνον τὺς ἐν τῇ ἑῴα καὶ μεσημβρινῇ Ρεμενίᾳ ἀκύειν ὐκ ἠνέχοντο; Ετεροῖα πάντῃ, φίλε, παρὰ τὰ πράγματα τὰ λεγόμενα. Ουμενυν, ὐδὲ πλείες τῶν ῥεμένων τὺς ἀναμεμιγμένες αὐτοῖς κυμάνες καὶ νογάδας ἡγητέον· ὐδὲ γὰρ

ἐδὲ τὰ πολυάριθμα ςρατεύματα, εὐθὺς συςαθείσης τῆς ἀρχῆς, ἐξ ἀλλοδαπῆς ξενολογεῖσθαι οἴεσθαι δεῖ, ὡς ὁ νεώτερος Κτησίας, ὁ Καντεμὶρ ἐν τῷ περὶ Μολδόβης αὐτῦ πονήματι βόλεται· ἐδ᾽ ἀπὸ γῆς, ὥςπερ μύκητες, τοσαῦτα ςρατεύματα ἡγητέον ἀναφύεσθαι.

Λυδόβικος ὁ βασιλεὺς τῶν μοαγγυόρων ἀρχὴν νέαν συςαθῆναι πυθόμενος ἐντὸς τῦ Τύρα, καὶ ὅσα τοῖς κυμάνοις πρότερον, καὶ τὰ ἐπέκεινα τῦ Βόλγα καὶ Ιαΐκ πάντως; ἐξοικειοποιόμενος, φιλοδοξίας καὶ καὶ πλεονεξίας ὅρια τῶν ἀνθρώπων σπανίως τιθεμένων, εὐθὺς μετὰ δυνάμεως μεγάλης ςρατεύει ἐπὶ Μολδόβαν· (δευτέρα αὕτη ἐκςρατεία τῦ Λυδυβίκυ ἐπὶ Μολδόβαν,) ὅτω γὰρ ἡ μέλαινα Κυμανία μετωνομάσθη· καὶ πάσχει ἴσως καὶ ὅτος, ἃ καὶ ὁ πατὴρ αὐτῦ ἐπεπόνθει ἐν τῷ Ρυμυνικῷ ἀγρῷ· ἀλλ᾽ ὐχ, ὥς περ λέγυσι, διαπραξάμενος δὲ μηδὲν ἄλλο, ἢ ἀρχηγεμονίαν Μολδόβης, καὶ φόρον τακτὸν ἐτήσιον, καὶ συςρατείαν αὐτῷ πολεμῦντι, καὶ ἐπιτρέψας ὅτως αὐτοῖς

*πολίτευμα ἀνεξάρτητον καὶ αὐτόνομον, ὑπέςρεψεν οἴκαδε. Απίθανος πάντη ὁ φόρος, ἡττηθέντος Λȣδȣβίκȣ· ἀπίθανον πάντη καὶ τὸ αὐτόνομον πολίτευμα, καὶ ἡ ἐλευθερία τῶν μολδοβάνων, νικήσαντος. Νικήσας μὲν γὰρ ὁ θρησκομανὴς, καὶ πλεονέκτης Λȣδȣβικος, ȣδ᾽ ἂν προνόμοια ἁπλῶς ἀκȣ̃σαι ἠνέσχετο, σχολῇ γε ἂν καὶ ἐλευθερίᾳ καὶ αὐτονομίᾳ συναινέσαι καὶ συγκατανεῦσαι ἠβȣλήθη. ἡττηθέντος δὲ, εὐήθεια πάντως, ἀρχηγεμονίας, καὶ φόρȣ τακτȣ̃ ἐτησίȣ, καὶ συςρατείας ὀφειλομένης μεμνῆσθαί τινα, καὶ ὀλίγιςον σωφρονȣ̃ντας τȣ̀ς μολδοβάνȣς ὑπολαμβάνοντα. Αλλ᾽ ὡς ἔοικεν, αὐτὸς μὲν ὑπέςη καὶ ἔπαθε καὶ αὐτὸς ἐνταῦθα, ἅπερ καὶ ὁ πατὴρ αὐτȣ̃ ἐν τῷ Ρȣμȣνικῷ ἀγρῷ, ἄρξας χειρῶν ἀδίκων, διὰ παρομοίαν αὐθάδειαν· οἱ δὲ παρορμήσαντες αὐτὸν θεομανεῖς, κρύπτειν ὑπȣλως τὴν ἐξ ἀποτεύξεως αὐτῶν καταισχύνην βȣλόμενοι, ἄλλ᾽ ἀντ᾽ ἄλλων ἐξέδοσαν ἀναιδέςατα.*

*Δραγότζην δὲ ἀποθανόντα διαδέχεται ὁ υἱὸς αὐτȣ̃ Στέφανος, ȣ̃περ ἀποθανόντος*

καὶ τῶν υἱῶν αὐτȢ διαφωνȢ́ντων καὶ διχονοȢ́ντων καὶ ἐριζόντων, καὶ ἀναφανδὸν ϛασιαζόντων, δυσχρηϛȢ́μενος ὁ λαὸς, ϛασιάζει τέλος καὶ ἐπανίϛαται. Διώκει τȢ̀ς παλαιȢ̀ς κατοίκȢς ῥȢ́σσȢς, καὶ ἀπὸ τῆς ἐκκλησίας τῆς Ῥώμης εἰς τὴν τῶν γραικῶν μεταπηδᾷ. Απίϑανα πάντη τὰ λεγόμενα καὶ λογοποιῶν ἀνϑρώπων πλάσματα τὰ γραφόμενα, πρὸς ἀρέσκειαν δι᾽ ἀναίδειαν γραφόντων μᾶλλον ἢ πρὸς ἀλήϑειαν. Ισως δύω ἢ τρεῖς παρασυρέντες καὶ δελεασϑέντες καὶ σφαλέντες ὑπό τινων ϑεομανῶν λατίνων, μεταγνόντες καὶ ἀνασφήλαντες ὑπέϛρεψαν ἐς τὸ πατρῷον δόγμα, καὶ οἱ λατῖνοι καϑολικεύοντες ἀναιδῶς, ἐξέδωκαν ἀναισχύντως μάλα, ὅτι ὁλαὸς τὴν ἐκκλησίαν τῆς Ῥώμης καταλίποι. Οι μολδοβάνοι καὶ πάντες οἱ ῥȢμȢ̃νοι ἀνέκαϑεν τῇ παλαιᾷ καὶ καϑόλȢ καὶ ἀνατολικῇ ἐκκλησίᾳ ἀναποσπάϛως καὶ πιϛῶς προσέκειντο. Οι παρατίσσιοι ῥȢμȢ̃νοι ὑπὸ τὸν τῆς Γαλίτζης μητροπολίτην ἦσαν τὸν ἔχοντα ὑφ᾽ ἑαυτὸν τȢ̀ς ἐπισκόπȢς Βλανδιμὶρ, Περεμόσλης, ΛȢξί-

σκης, Τερόβης, Χόσμης καὶ Σμολένσκε, καὶ ὑπὸ τὸν πατριάρχην τῆς Κωνςαντινεπόλεως τελεντα. Στασιασάντων γεν τῶν ἀδελφῶν Πέτρε καὶ Στεφάνε, καὶ τε Στεφάνε δυνάμει τῶν τὸ κράτος ἐν Γαλίτζῃ ἐχόντων ἐπὶ τὸν ἡγεμονικὸν θρόνον ἀναβῆναι βελομένε, εἴπερ ἀληθῆ τὰ λεγόμενα, οἱ ῥεμενοι τὸν τῷ μητρολίτῃ τῆς Γαλίτζης ὑποκείμενοι κλῆρον ἐξέωσαν, καὶ τὴν ἐκκλησίαν ἀμέσως τῷ πατριάρχῃ τῆς Κωνςαντινεπόλεως ὑπέταξαν. Επειτα τε μητροπολίτε Μητροφάνες ἐς φλωρεντίαν μετὰ τε πατριάρχε Ιωσὴφ ἐλθόντος, καὶ τὰ δόξαντα ἐκεῖ ὑπογράψαντος, ὥς περ καὶ ὁ πατριάρχης, καὶ οἴκαδε ἐπανελθεῖν μὴ τολμήσαντος, τε ἡγεμόνος τοῖς πεπραγμένοις αὐτῷ δυσαρεσθέντος καὶ χαλεπήναντος, ψηφίζεται ὁ ἀρχιδιάκονος τε Ερέσε μητροπολίτης Μολδόβης, καὶ ὑπὸ τε πατριάρχε τῆς Οχρίδας χειροτονεῖται, κἀντεῦθεν ἡ ἐκκλησία τῆς Μολδόβης τὴν κυριαρχίαν τε πατριάρχε τῆς Οχρίδας ἐγνώριζεν ἄχρι τε Βασιλείε βοεβόδα, ὃς πάλιν τὸν μητροπο-

λίτην τῆς Μολδόβης τῷ πατριάρχῃ τῆς Κωνςαντινȣπόλεως ὑπέςρεψε. Ταῦτα ἐν συντομίᾳ τὰ τῆς ἐκκλησίας τῆς Μολδόβης.

Ου τοίνυν τὸ δόγμα τȣ͂ πάππα ἀπέῤῥιψεν ὁ λαὸς τῆς Μολδόβης, ὅπερ ȣδεπώποτε ἐσχήκει. Ευήθων οἱ παραπλήσιοι λόγοι ἑαυτȣ̀ς λανθανόντων, ἐπίθανα πάντῃ καὶ ἀνακόλȣθα ἐρευγομένȣς. Ειτα δὲ πῶς ὁ θρησκομανὴς Λȣδέβικος τοῖς ἀποῤῥίψασι τὸ δόγμα τȣ͂ πάππα κατὰ Στεφάνȣ ἐπικȣρεῖ, ὁ λυσσῶν κατὰ παντὸς μὴ παππόφρονος; Αλλ' ὁ Πέτρος ἐπιμένει τῷ πρώην δόγματι καὶ ὁμόφρων Λȣδοβίκῳ τυγχάνει, ἀλλ' ȣ̔́τως Πέτρον πάντως ὁ λαὸς ἑτερόφρονα ȣ̓κ ἂν ἐδέξατο, σχολῇ γε ἂν καὶ ὑπὲρ αὐτȣ͂ ἐμαχέσατο. Κρύφα δοκεῖ Πέτρος ὁμοθρησκήσειν Λȣδȣβίκῳ ὑποσχέσθαι, δύναμιν παρ' αὐτȣ͂ ἐπὶ τὸν ἡγεμονικὸν ἐξαιτȣ́μενος θρόνον· ἄλλως γάρ ἂν, λάϊνον χιτῶνα οἱ καλοὶ μολδοβάνοι ἐνέδυσαν αὐτὸν πράτερον, ἢ τὴν ἡγεμονικὴν ἀλȣργίδα. Αλλὰ γὰρ ἡ ἱςορία τῆς Μολδόβης ἀρχομένης, τῶν μὲν ἀπίθανα πάντῃ λεγόντων,

καὶ πρὸς ἀρέσκειαν ἑτέρων καὶ ἑαυτῶν, την ἀλήθειαν μετατρεπόντων, τῶν δὲ μηδόλως τȣ̃ μέλλοντος φροντιζόντων, ἴσως καὶ τῶν γεγραμμένων τῷ χρόνῳ ἀπολομένων, ὥσπερ ἐν νέφεσι καὶ σκότῳ κειμένη, ἀσαφὴς ἡμῖν καὶ ἄδηλος περιεργοτέροις ἔσεται· καὶ γὰρ καὶ ἡ παρὰ τȣ̃ Μυρόνη μετὰ Ουρέκην συλλεγεῖσα ἱςορία τῆς Μολδόβης, μόνων σχεδὸν τῶν ὀνομάτων τῶν ἡγεμόνων ποιεῖται μνείαν, καὶ τȣ́των ἄλλων παρ' ἄλλοις καὶ ἄλλως σωζομένων.

Πέτρον μὲν ȣ̃ν συνάρσει τῶν μοαγγυόρων, καὶ συῤῥοίᾳ τῶν ἐν ἀγροῖς οἰκȣ́ντων, τὴν ἡγεμονίαν λαβόντα, ὡς λέγȣσι, διαδέχεται Λάσκος, τῇ ἀνατολικῇ μὲν ἐκκλησίᾳ προσκείμενος, ὑπὸ δέ τινων μοναχῶν λατίνων πεισθεὶς, μεταπηδήσας ἐς τὴν δυτικὴν, ὡς φλυαρȣ̃σι καὶ καταψεύδονται τινὲς ἱςορικοὶ, καὶ ἔνθερμος ζηλωτὴς, ὡς προείρηται, τȣ̃ νέȣ δόγματος γενόμενος· καὶ εὐθὺς οἱ μολδοβάνοι ἀγεληδὸν ἐλατίνιζον· ἀλλὰ, μετ' ὀλίγον πάλιν τὸ ἀνατολικὸν δόγμα τὸ κράτος εἶχε, προςιθέα-

σιν. Ἔοικεν ἄρα κατ' αὐτὲς λαὸν ὅλον, ὥσπερ χιτῶνα, θρησκείαν ἀλλάσσειν ῥάδιον· καὶ νῦν μὲν ἀνατολικὲς, νῦν δὲ δυτικὲς, τὲς μολδοβάνες πᾶντας ἀνακηρύττεσθαι. Ταῦτα εὐήθων πάντη καὶ πάντως, καὶ παραφρονέντων ἀνθρώπων παραλαλήματα, ὃς ἱςορικὲς ὀνομάζειν, βεβηλῶν ἐςι τὸ τῆς ἱςορίας ἱερὸν ὄνομα, τῆς πρώτης καὶ ἱερᾶς διδασκάλε τῆς ἀνθρωπότητος. Παυσώμεθα δε καί τι περαιτέρω λέγειν, ἀφορῶν τὰς περιφήμες μὲν, κατά τινας, ἐπισκοπὰς τῦ Μπακοέυ, Μιλκόβυ καὶ Σιρέτυ, κατὰ δὲ τὲς εὖ φρονῦντας ἀηδία, ναυτία καὶ οἶκτος αὐτόχρημα, καὶ ἀποτρόπαια μῆλα ἔριδος ἐριννυακῶς τοῖς ἔθνεσι ῥιπτόμενα.

Οὕτως ἦν ἡ ἀνάςασις, ἡ ὑπεροχὴ καὶ ἡ ἀρχηγεμονία τῶν ἐν τοῖς ἑῴοις καὶ μεσημβρινοῖς μέρεσι τῆς Ρυμυνίας ῥυμένων, τῇ ἐνοχλυμένῃ καὶ ἐπηρεαζομένῃ ὀρφανείᾳ τῦ νέυ Τιμυσσῆ πρωτευόντως ὀφείλεται· ὕτω γὰρ ὁ μέγας κοσμοκαταγωνιςὴς Τζιγγησχὰν ὠνομάζετο πρότερον, ὅς τις ἐς μάχας,

καὶ μὴ βȣλόμενος, ἀναγκασθεὶς, ἐφ' ᾧ τὴν μικρὰν ἐθναρχίαν ἐπηρεαζομένην καὶ κινδυνεύȣσαν σώσασθαι, κύριος πάσης τῆς μεγάλης Σκυθίας καὶ τȣ̃ ἡμίσεως τῆς Σίνης ἐγένετο. Αγανακτȣ̃ντος δ' ἔπειτα δικαίως, διὰ τὰ δόλια, ὑπεροπτικὰ καὶ ἄδικα κινήματα τȣ̃ δυνατωτέρȣ βασιλέως τῆς δυτικῆς Ασίας Μεχμὲτ, τὰ τῆς ἀγανακτήσεως αὐτȣ̃ κοσμόλεθρα ἀποτελέσματα μέχρι τȣ̃ ἀδριατικȣ̃ κόλπȣ, καὶ τῶν ἐκβολῶν τȣ̃ μεγάλȣ Ομπ καὶ μέχρι σχεδὸν τῆς Βαλτικῆς θαλάσσης, καὶ τȣ̃ Νείλȣ ἀφίκοντο· καὶ ὁ θρακικὸς βόσπορος καὶ ὁ Τίβρις καὶ ὁ Σικȣάνας ἔφριξαν, καταιγίδος ἐξαισίας καὶ λαύρως καταρασσομένης προοίμια αἰσθανόμενοι· καὶ μικρȣ̃ οἱ ἐπὶ τȣ́των θρόνοι ἀνετράπησαν. Ουτως ȣ̃ν αἱ ἀρχαὶ τȣ̃ Ρȣμȣνικȣ̃ ἀγρȣ̃ καὶ τῆς Μολδύβης ἐμορφώθησαν, καὶ διεσώζοντο κȣ μίλα Δȣ̈ι ντȣμνεζέȣ σὲ κȣ σάμπια, ὥσπερ τις τῶν πάλαι ἡγεμόνων ἔλεγεν, ὅ ἐςιν, ἐλέει θεȣ̃ καὶ ξίφει. Χρόνῳ δὲ ὑπέπεσον τῇ τῶν τύρκων ἀρχηγεμονίᾳ· ȣ̓δὲ γὰρ ἦν μικραῖς ἀρχαῖς δια-

μένειν ἀνεξαρτήτως, περικυκλωμένας ὑπὸ μεγάλων. Ἀλλὰ γὰρ, καὶ ὑπὸ τὴν ἀρχηγεμονίαν τῶν τέρκων, ὑπὸ ἰδίως νόμως καὶ ἡγεμόνας, ὥσπερ ἀρχηγεμονικῶς οἱ ῥωμῶνοι πολιτεύονται.

Αυτη ἐςὶν ἡ ἱςορία τῆς περιφήμω ταύτης χώρας τῆς ἀναμεταξὺ Τισσῶ, Ἰςρω, Πόντω καὶ Τύρα ἀπολαμβανομένης, ἣν ὡς ἀπόπειραν προσφέρει τοῖς ἀναγινώσκωσιν ὁ Φιλίππω καὶ Ἀλεξάνδρας ἀπὸ τῆς μητρὸς γῆς παρώνυμος ὑιὸς, καὶ ὡς πρόδρομον ἑτέρας ταυτησὶ πολὺ κρείττονος, ἣν παρ' ἑτέρω συγγραφησομένην ἰδεῖν εὔχεται. Ὠνομάσαμεν δὲ τὴν χώραν ταύτην Ῥωμωνίαν, ἀπὸ τῶ πρωτεύοντος διὰ τὴν ἀρχαιότητα καὶ τὸν ἀριθμὸν ἔθνως τῶν ῥωμένων παρονομάζοντες, πᾶσαν ἄλλην ὀνομασίαν ἀποῤῥίπτοντες, ὡς ἀπροσφυᾶ καὶ ἀνοίκειον, ὡς φιλαυτικήντε καὶ δοξόσοφον, καὶ τῇ ἱςορίᾳ καὶ τῇ γεωγραφίᾳ συγχύσεως πρόξενον. Επειτα δεῖ πανταχῶ τὸν ἄνθρωπον αἰδεῖσθαι αὐτὸν τῶτον καὶ σέβεσθαι. Ειθε δὲ καὶ ὅσοι ἱςορίας ἐθνῶν καὶ τόπων

ἀνέγραψαν, τὰ κύρια καὶ ἐθνικὰ ὀνόματα, τὰ ἐπιχώρια πρὸ τῶν ἀλλοτρίων, χλεύης ἢ ὕβρεως ἢ περιφροσύνης τὰ πολλὰ ὀζόντων, ἐτίθεντο. Ἔτι δὲ ἐ γελοῖον καὶ πάντη ἄτοπον ἐνίοτε, ἐτυμολογίας καὶ ἀρχὰς ἀναζητεῖν ἐθνικῶν ὀνομάτων, ἅπερ οἱ ἐπιχώριοι ἐ γνωρίζεσι, καὶ σελίδας ὅλας καταναλίσκειν ἐπὶ τέτῳ, δέον ἐδὲ λόγε ἀξιεῖν ἐνίοτε ταῦτα, ἐχ ὅπως καὶ φιλολογίας; Ἐῶ μεν λέγειν ὅτι καὶ ἀφιλόσοφον πάντη, ἱςορεντας τὲς ἄλλες ὁποιεσεν, εἴτε τὲς Ἰτελμανὲς, εἴτε τὲς ὑπὲρ τέτων κοραΐκὲς καὶ τὲς ὑπὲρ τέτων ἔτι τζέκτζες, τὲς ἀγριωτάτες πάντων τῶν ἐθνῶν τῆς Σιβηρίας, εἴτε τὲς πρὸς ἕω τῶν τζέκτζων νησιώτας, τὲς τὸ βόρειον ἢ Μπεριγγικὸν ἀρχιπέλαγος, τὸ ἀναμεταξὺ τε βορειοτάτε τῆς Κολομβικῆς καὶ τε βορείε τῆς Καμτζιάτκης, μᾶλλον δὲ Ἰτελμανίας, ἐν βραχυχρονίῳ διάρματι κείμενον, δίκην θηρίων νεμομένες, καὶ φωλεύοντας ἐν τρώγλαις μᾶλλον ἢ ἐν καλύβαις, τῆς κορυφῆς μόνον ἐξεχέσης, ὧν ἑκάςη κώμην συνίςησι, κοινὸν ἐμβιωτήριον πολλῶν

δεκάδων σωμάτων τυγχάνεσα, σκοτεινὸν μάλα, καὶ δυσωδίας καὶ ψυλλῶν καὶ φθειρῶν καὶ ἄλλων ζωδαρίων κατάπλεων· τέτες σύμπαντας, λέγομεν, μὴ ὡς ἀδελφὲς ἑαυτῶν ἡγεῖσθαι, ὡς ἐκ τῶν αὐτῶν χειρῶν τε δημιεργε προκύψαντας. Ειδὲ καὶ ἑτερόβιοι καὶ ἑτεροήθεις καὶ ἑτερόγλωσσοί εἰσιν, ἀλλ' ἡ ἀνθρωπότης, ἀλλ' ἡ ἱερὰ μορφὴ τε ἀνθρώπε, ἀλλὰ τὸ λογικὸν, τὰ ἀΐδια χαρακτηριςικὰ τε ἀνθρώπε, εχ ἱκανὰ διεγείρειν ἐν ἡμῖν τὸ σέβας τὸ πρὸς τὸν ἄνθρωπον; Αλλὰ βδελυκτέον, φαίη τις ἂν, καὶ μισητέον τὰ βάρβαρα ἔθνη, τὰ διὰ δίαιταν τοῖς ἀγρίοις θηρίοις παραβλητέα, ὡς τέτοις παραπλήσια. Ε, ε, φίλε! ἀφιλοπροσωπότερον καὶ αὐςηρότερον τὰ ἑαυτων ἐξετάσαντες καὶ κρίναντες, καὶ τῇ ὄπισθεν ἐξηρτημένῃ πήρᾳ ἀπαθέςερον ἐνιδόντες, νὴ τὴν ἱερὰν ἀλήθειαν, πολλάκις ἑτεροῖόν τι καὶ φρονῆσαι καὶ εἰπεῖν περὶ ἑαυτῶν ἀναγκασθησόμεθα.

ΤΕΛΟΣ

Τε πρώτε μέρες.

## Σημείωσις.

Επειδὴ παραςῆσαι, ὅσον οἷόν τε ἦν, ξένας τινὰς λέξεις κατὰ τὴν τῶν ἐπιχωρίων φωνὴν, δι' ὃς σποράδην ἐξέθημεν λόγȣς, ἔγνωμεν, καὶ ἴσως τινὲς, γράμμασι χρωμένȣς ἡμᾶς ἀσυνήθως βλέποντες, ἀπορήσωσιν, ἔςωσαν τὰ ἐφεξῆς ἐς ἐξήγησιν.

Μοαγγυδρ, πρόφερε δισυλλάβως τὴν λέξιν, καὶ θεώρει τὸ οα καὶ υο ἢ ιο ὡς διφθόγγȣς. Η τȣ̃ οα προφορὰ πλησιάζει μᾶλλον τῇ τȣ̃ α ἢ τῇ τȣ̃ ο, ὥσπερ καὶ ἡ τȣ̃ υο ἢ ιο πλησιάζει μᾶλλον τῇ τȣ̃ ο ἢ τῇ τȣ̃ ι. Συνήθης μάλα αὕτη ἡ τȣ̃ ιο προφορὰ τοῖς νῦν ἕλλησι, παλαιόθεν πάντως, καὶ λεγέτωσαν τινὲς, ὅ, τι ἂν λέγειν ἐθέλωσιν. Ομοία ἡ προφορὰ τȣ̃ υο ἐν τῷ μοαγγυὸρ τῇ, τȣ̃ ιο ἐν τῷ ἥλιος δισυλλάβως προφερομένῳ, ὡς ἐκ παλαιόθεν προεφέρετο.

Εν τισι ξέναις λέξεσιν, οἷον ἐν τῷ Τζιαγατάης καὶ τοῖς λ: πρόφερε τὸ ια μονοσυλλάβως, ὡς προφέρȣσιν οἱ νῦν ἕλληνες αὐτὸ ἐν τῷ κιτριὰ, λεμονιὰ καὶ ἐν τοῖς λ:

*Παλαιὰ καὶ αὕτη ἡ προφορὰ, καὶ τὸ ιο καὶ ια εἰσὶν αἱ μόναι τῷ ὄντι δίφθογγοι, καὶ λεγέτωσαν ἔτι, ὅ, τι ἂν βέλωνται, οἱ τὸ ἐναντίον βελόμενοι· ἡ φύσις, κἂν ταῖς γλώσσαις, συντομίαν ὡς ἐπὶ τὸ πολὺ θέλει, καὶ ἔχεις μυρία ἐς πίςωσιν παραδείγματα· καὶ ἴσθι, ὅ,τι ἂν, καθόλε, ποιῇς, μηδὲν βέβαιον ποιῶν, ἐναντία τῇ φύσει, τῷ δημιεργῷ δηλαδὴ τῆς φύσεως, ποιῶν, καὶ ἐν ἀέρι κτίζων, τὸ δὴ λεγόμενον.*

*Πρόφερε τὸ μπ ἐν ταῖς ξέναις λέξεσιν, ὡς οἱ λατῖνοι τὸ* **b**·
*τὸ τζ, ὡς οἱ λατῖνοι τὸς πρὸ τε ε καὶ ι.*
*τὸ ντ, ὡς οἱ λατῖνοι τὸ* **d**.

*Αρ' ἐκ ἔδει, γεωγραφολογεντάς γε καὶ ἱςορολογεντας, πλεσιωτέρῳ τινὶ χρῆσθαι ἀλφαβήτῳ, ὥςε ἔχειν ἔτως παριςᾶν καὶ ἑτέρας φωνὰς, καὶ ἀποδιδόναι πιςῶς ἔτω τινὰς λέξεις, ἃς γελοῖον μετακινεῖν κατὰ φωνὴν, καὶ γελοιότερον ἔτι μεταφράζειν, καὶ πάντη ἄτοπον, τὰ κύρια ὀνόματα φέρ' εἰπεῖν. Η ἐπιμιξία τῶν ἀνθρώπων ἤδη καθολική ἐςι, τῶν ἐμπορικῶν καὶ πολιτικῶν*

σχέσεων ἐκτεταμένων ἤδη ἐπὶ πολὺ, καὶ περιπολεσῶν ἤδη τὴν οἰκεμένην, καὶ μηδενὸς σχεδὸν ἀπονενησωμένε· καὶ τὰ κύρια ὀνοματα ἤδη ἐν πολλοῖς ϛόμασι τυγχάνεσι. Ταῦτα δὴ τὰ ὀνόματα, ἱϛορίας γε καὶ γεωγραφίας ἕνεκα, ἐκ ἔδει προφέρεσθαι, ὅσον ἔνι, ὥϛπερ ὑπὸ τῶν ἐπιχωρίων, καὶ μὴ μετακινεῖν ἄλλες ἄλλως, ἵνα μὴ καὶ ἄλλοι τὰς τῶν ἄλλων αὐτῶν μετακινήσεις μετανικεντες καὶ ἀπομακρύνοντες πάντη τῶν ἐπιχωρίων, ἃ θέλεσιν ἐκφράσαι ὀνόματα, ἐκφράζωσιν ἑπομένως ἄλλ' ἀντ' ἄλλων παντάπασιν; Ἀλλά γε τὲς γεωγράφες γε καὶ τὲς ἱϛορικὲς ἐκ ἔδει φροντίσαι τέτε, καὶ τὴν γεωγραφίαν καὶ τὴν ἱϛορίαν πολλῶν δυσκολιῶν καὶ μεγάλης ἀπαλλάξαι συγχύσεως; Πολλὰ κύρια ὀνόματα μεταφραζόμενα, ἢ μετακινέμενα, ἄλλοις ὀνόμασι συμπίπτεσιν. Ου σύγχυσις καὶ τἕτο τῇ ἱϛορίᾳ καὶ τῇ γεωγραφίᾳ; Πολλῶν ἱϛορικῶν καὶ γεωγραφικῶν ὀνομάτων ἀγνοεῖται νῦν πάντη τὰ σημαινόμενα, μεταφράζειν ἢ μετακινεῖν τῶν συγγραφέων εἰωθότων τὰ

ἐπιχώρια ὀνόματα· καὶ τὸ κακὸν μεῖζον ἔτι ἐν τοῖς μεθ᾽ ἡμᾶς χρόνοις ἔσεται, ἐν πολλαῖς ἤδη γλώσσαις ἱϛοριῶν καὶ γεωγραφιῶν ἀναγραφομένων. Τινὲς μετακινεῖν τὴν γραφὴν εὐλαβϐμενοι, ἁμάρτημα τὸ πρᾶγμα οἰόμενοι, μετακινϐντες τὴν φωνὴν, λανθάνϐσι πραγματικῶς ἁμαρτάνοντες. Ἀλλὰ καὶ οἱ τὴν ἐπιχωρίαν προφορὰν φυλάξαι ἀμετακίνητον βϐλόμενοι, χήτει καὶ ὅτοι παραϛατικῶν σημείων, ἁμαρτάνϐσι καὶ ὅτοι καὶ μὴ βϐλόμενοι. Ἀλλὰ τὸς ἱϛορίας καὶ γεωγραφίας συγγράφοντας ὀκ ἔδει πλϐσιωτέρῳ τινὶ ἀλφαβήτῳ χρῆσθαι; Ἀλλὰ κἂν ἐν ταῖς τῶν τῆς Εὐρώπης κατοίκων φωναῖς ὀκ ἔδει χρῆσθαι τοιϐτῳ τινὶ ἀλφαβήτῳ, τὸς γεωγράφϐς γε καὶ τὸς ἱϛορικὸς, καὶ ἐκφράζειν, ὡς ἔνι, κατὰ τὸς ἐπιχωρίϐς, τὰ πρωτεύοντα κύρια ὀνόματα; Οὐκ ἀταξία καὶ σύγχυσις τῇ ἱϛορίᾳ καὶ τῇ γεωγραφίᾳ, τὴν αὐτὴν πόλιν, τὸν αὐτὸν ποταμὸν, τὸ αὐτὸ ὄρος πολλαχῶς ὀνομάζεσθαι; τὸ αὐτὸ πρωτότυπον πολλὰς ἔχειν τὰς παραϛατικὰς εἰκόνας; Εἰσί τινες, οἱ πολυ-

μάθειαν τάχα ἐπιδεικνύμενοι, ἐπὶ τούτῳ σεμνύνονται· ἀλλ' ὅτοι οἱ τινὲς ὐδενός εἰσι λόγε ἄξιοι, μάςιξ τῶν λόγων καὶ τῶν ἐπιςημῶν τῷ ὄντι τυγχάνοντες.